6 την αὐτῶν γεγενημένον. 6. ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος ἐναψάμενος διφθέραν ἐργάζομαι τὴν γῆν ὑπόμισθος ὀβολῶν τεττάρων, τῇ ἐρημίᾳ καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν. ἐνταῦθα τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας· ἀνιαρότατον γὰρ τοῦτό γε. ἤδη ποτὲ οὖν, ὦ Κρόνου καὶ Ῥέας υἱέ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος καὶ νήδυμον — ὑπὲρ τὸν Ἐπιμενίδην γὰρ κεκοίμησαι — καὶ ἀναρριπίσας τὸν κεραυνὸν ἢ ἐκ τῆς Οἴτης ἐναυσάμενος μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διός, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ καὶ τῆς ἐκεῖ ταφῆς μυθολογούμενα.

Eine ἐπιδιόρθωσις oder ἐπανόρθωσις. Vgl. c. 40. — οὐκέτι οὐδέ, Ver. hist. 1, 6: καὶ οὐκέτ' οὐδὲ στεῖλαι τὴν ὀθόνην δυνατὸν ἦν. — ὁδῷ βαδίζων, d. i. unterwegs. Eine bei Luc. gewöhnl. Redensart. καί auch, obschon es nicht oft der Fall ist. — ὑπτίαν . . ἀνατετραμμένην, s. v. a. ἀνατετραμμένην ὥστε ὑπτίαν εἶναι. IV, 3: ὁπόταν τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ. Das Adjectiv drückt erst die Folge der Handlung aus (proleptisch); Kr. Gr. §. 57, 4, 2. — ἑτέραν, näml. ὁδόν.

6. ὑπόμισθος ὀβολῶν τεττάρων, um einen Tagelohn von vier Obolen. — μηκέτι ὄψεσθαι κτέ., Epexegese zum vorhergehenden τοῦτο. — παρὰ τὴν ἀξίαν, gegen ihr Verdienst, *praeter meritum;* vgl. Prom. 2. — τοῦτον, hinzeigend. So οὗτος oft zwischen dem Artikel und seinem Nomen, wenn auf den Artikel noch ein Attribut folgt. Kr. Gr. §. 50, 11, 20. 51, 7, 7. Vgl. c. 35. 48. III, 4. 18. IV, 24. — ὑπὲρ τὸν Ἐπιμενίδην, d. i. länger als Epimenides. Vom Epimenides, einem Dichter und Seher aus Kreta, erzählt man, dass er, als er ermüdet sich in einer Höhle niedergelegt hatte, in einen Schlaf von 40, nach Andern von 50 oder 57 Jahren gefallen sei. — Οἴτης, Gebirge des südlichen Thessalien, wo Herakles vermittelst eines Scheiterhaufens sich verbrannt hatte. Zur Vertheidigung des handschriftlichen Οἴτης, wofür man Αἴτνης vorgeschlagen, lässt sich vielleicht anführen Soph. Trach. 436:

μή, πρός σε τοῦ κατ' ἄκρον
Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψῃς λόγον.

— ἐπιδείξαιο, gemilderter Imperativ; s. Kr. Gr. §. 54, 3, 1. — τὰ

7. ΖΕΥΣ. Τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς 7 Ἀττικῆς παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ, πιναρὸς ὅλος καὶ αὐχμῶν καὶ ὑποδίφθερος; σκάπτει δὲ οἶμαι ἐπικεκυφώς· λάλος ἄνθρωπος καὶ θρασύς. ἦ που φιλόσοφός ἐστιν· οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν.

ΕΡΜ. Τί φῄς, ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου τὸν Κολλυτέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ' ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας, παρ' ᾧ λαμπρῶς ἑορτάζειν εἰώθειμεν τὰ Διάσια.

ΖΕΥΣ. Φεῦ τῆς ἀλλαγῆς· ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦτοι φίλοι; τί παθὼν τοιοῦτός ἐστιν; αὐχμηρός, ἄθλιος καὶ σκαπανεὺς καὶ μισθωτός, ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν.

8. ΕΡΜ. Οὑτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν 8 καὶ φιλανθρωπία καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος, ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια καὶ εὐήθεια καὶ ἀκρισία περὶ τῶν φίλων, ὃς οὐ συνίει κόραξι καὶ λύκοις χαριζόμενος, ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο, ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν χαί-

. . . μυθολογούμενα. Nach einer Sage der Kreter lag Zeus in der Nähe der Stadt Knosos begraben. Vgl. Jup. tr. 45. De sacrif. 10.

7. ΖΕΥΣ, im Olymp zu denken. — Ὑμηττόν, Gebirge in Attika. — ἦ που, sicherlich wol. Beachte die Ironie. — οὐ γὰρ ἂν κτέ., näml. εἰ μὴ φιλόσοφος ἦν. Vgl. c. 24. — οὕτως ἀσ. τοὺς λόγους διεξῄει, d. i. οὐ γὰρ ἂν οἱ λόγοι, οὓς διέξεισι, οὕτως ἀσεβεῖς ἦσαν. — Κολλυτέα. Κολλυτός war ein Demos der Phyle Aegëis. — καθ' ἱερῶν τελείων ἑστιάσας, der mit vollkommenen Opfern uns bewirthet hat. Eine Redeweise, die so nicht wieder vorkommt; vgl. hiermit Philops. 21: ἀγανακτεῖ, ἣν μὴ ἐφ' ἱερῶν τελείων ἑστιαθῇ. Sonst sagt man καθ' ἱερῶν ὀμόσαι, καθ' ἑκατόμβης εὔχεσθαι. ἱερὰ τέλεια entsprechend dem homerischen τελήεσσαι ἑκατόμβαι. — ὁ νεόπλουτος, der eben noch reiche. Sonst bedeutet das Wort: 'der eben erst reich geworden.' — ὁ τὰς ὅλας ἑκατόμβας, der mit den ganzen Hekatomben. Eine elliptische, aber erst bei Späteren vorkommende Ausdrucksweise; ebenso IV, 14: ὁ τὸ διάδημα. Dial. mort. 10, 4: ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα und sonst sehr oft. — τὰ Διάσια, ein grosses Fest zu Athen, das dem Ζεὺς μειλίχιος zu Ehren im Monat Anthesterion gefeiert wurde. — φεῦ τῆς ἀλλαγῆς, häufiger Genetiv des Ausrufs bei Interjectionen; vgl. c. 45. 48.

8. οὑτωσὶ μὲν εἰπεῖν, so zu sagen, wenn man so sagen wollte, man könnte sagen, Gegens. ὡς δὲ ἀληθεῖ λόγῳ, näml. εἰπεῖν, s. Kr. Gr. §. 55, 1, 2. 3. Ebenso οὑτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι Abdicat. 26. — ὃς οὐ συνίει . . χαριζόμενος, der nicht einsah, dass er; vgl. Prom. 6. — τὸ ἧπαρ. Auf welche Fabel wird

ϱοντας τῇ βοϱᾷ· οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκϱιβῶς καὶ πεϱιτϱαγόντες, εἰ δέ τις καὶ μυελὸς ἐνῆν, ἐκμυζήσαντες καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς, ᾤχοντο αὖον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωϱίζοντες ἔτι οὐδὲ πϱοσβλέποντες — πόθεν γάϱ; — ἢ ἐπικουϱοῦντες ἢ ἐπιδιδόντες ἐν τῷ μέϱει. διὰ ταῦτα δικελλίτης καὶ διφθεϱίας, ὡς ὁϱᾷς, ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ μισθοῦ γεωϱγεῖ μελαγχολῶν τοῖς κακοῖς, ὅτι οἱ πλουτοῦντες παϱ' αὐτοῦ μάλα ὑπεϱοπτικῶς παϱέϱχονται οὐδὲ τοὔνομα, εἰ Τίμων καλοῖτο, εἰδότες.

9 9. ΖΕΥΣ. Καὶ μὴν οὐ παϱοπτέος ἁνὴϱ οὐδὲ ἀμελητέος· εἰκότως γὰϱ ἠγανάκτει δυστυχῶν· ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταϱάτοις κόλαξιν ἐκείνοις ἐπιλελησμένοι ἀνδϱὸς τοσαῦτα μηϱία ταύϱων τε καὶ αἰγῶν πιότατα καύσαντος ἡμῖν ἐπὶ τῶν βωμῶν· ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνῖσαν αὐτῶν ἔχω. πλὴν ὑπ' ἀσχολίας τε καὶ θοϱύβου πολλοῦ τῶν ἐπιοϱκούντων καὶ βιαζομένων καὶ ἁϱπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παϱὰ τῶν ἱεϱοσυλούντων — πολλοὶ γὰϱ οὗτοι καὶ δυσφύλακτοι καὶ οὐδὲ ἐπ' ὀλίγον καταμύσαι ἡμῖν ἐφιᾶσι — πολὺν ἤδη χϱόνον οὐδὲ ἀπέβλεψα ἐς τὴν Ἀττικήν, καὶ μάλιστα ἐξ οὗ φιλοσοφία καὶ λόγων ἔϱιδες ἐπεπόλασαν αὐτοῖς· μαχομένων γὰϱ πϱὸς ἀλλήλους καὶ κεκϱαγότων οὐδὲ ἐπακούειν ἔστι τῶν εὐχῶν· ὥστε ἢ ἐπιβυσάμενον χϱὴ τὰ ὦτα καθῆσθαι ἢ ἐπιτϱιβῆναι πϱὸς αὐ-

hier angespielt? — πόθεν γάϱ; Nachdrückliche Verneinung, woher sollte das kommen? wie wäre das möglich? Vgl. III, 12. Pseudol. 2. 13. — ἐν τῷ μέϱει, an ihrer Reihe, ihrerseits, d. i. hier: die Reihe wäre an ihnen gewesen zu helfen. — μισθοῦ, für Tagelohn. — μελαγχολῶν τοῖς κακοῖς, Gift und Galle über sein Unglück speiend. — εἰ, ob.

9. καὶ μήν, at vero, atqui. — ἠγανάκτει δυστυχῶν. Dial. mort. 27, 3: ἠγανάκτει πεζὸς βαδίζων. IV, 2. u. ö. — ἐπεί, sonst, alioqui, schliesst an ἀμελητέος an; Dial. mort. 10, 7: ὥστε ἀπόδυθι αὐτάς, ἐπεὶ καταδύσεις τὸ σκάφος τὸν ἕτεϱον πόδα ὑπεϱθεὶς μόνον. Vgl. De conscr. hist. 38. 44. Jup. tr. 43. Rhet. praec. 3. — πλήν, indess, jedoch; ebenso c. 10 z. E.; gewöhnlicher bei Luc. πλὴν ἀλλά. — φόβου, hängt noch von ὑπό ab. φόβος ὁ παϱὰ τῶν ἱεϱοσυλούντων, Furcht, welche von den Tempelräubern ausgeht, welche die T. einflössen. Gewöhnlicher in dieser Verbindung ist ἀπό, auch ἐκ. — ἐπ' ὀλίγον, auf kurze Zeit. Gewöhnlicher πϱὸς ὀλίγον. — ἐξ οὗ, seitdem. — λόγων ἔϱιδες, Wortzänkereien. — αὐτοῖς, zu beziehen auf ἐς τὴν Ἀττικήν. Synesis. Gerade so Nigrin. z. A. — ἐπιπολάζειν, obenaufschwimmen, überhand nehmen. — μαχομένων, näml. αὐτῶν. — πϱὸς αὐτῶν, s. zu c. 25. — ἀϱετήν τινα, virtutem nescio quam, verächtlich. Es wird damit auf die Stoiker angespielt.

τῶν, ἀρετήν τινα καὶ ἀσώματα καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων. διὰ ταῦτά τοι καὶ τοῦτον ἀμεληθῆναι ξυνέβη πρὸς ἡμῶν οὐ φαῦλον ὄντα. 10. ὅμως δὲ τὸν Πλοῦτον, ὦ Ἑρμῆ, παραλαβὼν ἄπιθι παρ᾽ αὐτὸν κατὰ τάχος· ἀγέτω δὲ ὁ Πλοῦτος καὶ τὸν Θησαυρὸν μεθ᾽ αὑτοῦ καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι μηδὲ ἀπαλλαττέσθωσαν οὕτω ῥᾳδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. περὶ δὲ τῶν κολάκων ἐκείνων καὶ τῆς ἀχαριστίας, ἣν ἐπεδείξαντο πρὸς αὐτόν, καὶ αὖθις μὲν σκέψομαι καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω· κατεαγμέναι γὰρ αὐτοῦ καὶ ἀπεστομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον ἠκόντισα πρῴην ἐπὶ τὸν σοφιστὴν Ἀναξαγόραν, ὃς ἔπειθε τοὺς ὁμιλητὰς μηδὲ ὅλως εἶναί τινας ἡμᾶς τοὺς θεούς. ἀλλ᾽ ἐκείνου μὲν διήμαρτον, — ὑπερέσχε γὰρ αὐτοῦ τὴν χεῖρα Περικλῆς — ὁ δὲ κεραυνὸς εἰς τὸ Ἀνακεῖον παρασκήψας ἐκεῖνό τε κατέφλεξε καὶ αὐτὸς ὀλίγου δεῖν συνετρίβη περὶ τῇ πέτρᾳ. πλὴν ἱκανὴ ἐν τοσούτῳ καὶ αὕτη τιμωρία ἔσται αὐτοῖς[, εἰ] ὑπερπλουτοῦντα τὸν Τίμωνα ὁρῶσιν. 10

11. ΕΡΜ. Οἷον ἦν τὸ μέγα κεκραγέναι καὶ ὀχληρὸν εἶναι καὶ θρασύν. οὐ τοῖς δικαιολογοῦσι μόνοις, ἀλλὰ καὶ τοῖς εὐ- 11

— ἀσώματα, Atome. — καὶ λήρους, καὶ *denique, ut verbo dicam*. Vit. auct. 11: οὐ γάρ σοι δεήσει παιδείας καὶ λόγων καὶ λήρων. — ξυνείρειν τι, in Einem fort schwatzen über etwas.

10. κατὰ τάχος, in Eile, eilig. So κατά häufig zur Umschreibung des Adverbiums, c. 57: κατὰ σπουδήν c. 18. — ὅτι μάλιστα. ὅτι, ὡς, ᾗ und οἷος mit dem Superl. das Lat. *quam*. — αὖθις μέν, später. Gegens. zu Ende des c. in den Worten πλὴν ἱκανὴ κτέ. — ἐπισκευάσω. Welches Tempus ist im Latein. entsprechend? — κατεαγμέναι. Bei einem att. Schriftsteller würde es heissen κατεάγασι.— φιλοτιμότερον, näml. als es recht war. — Ἀναξαγόραν. Dieser berühmte Philosoph, geboren zu Klazomenae, lebte lange Zeit in Athen, wo er des Atheismus angeklagt nur durch Verwendung des Perikles davon kam. — ἔπειθε, zu bereden versuchte. — ὑπερέσχε αὐτοῦ τὴν χεῖρα. Diese Redensart wird gewöhnlich von den Göttern gebraucht und hier passend auf den Perikles, den allgewaltigen Staatsmann seiner Zeit, angewendet. — Ἀνακεῖον. Der Tempel der Dioskuren (Ἄνακες). Wahrscheinlich wird hier auf eine wirkliche Begebenheit angespielt. — ὀλίγου δεῖν. S. zu I, 6. — περὶ τῇ πέτρᾳ, an dem Felsen. So sonst nicht in att. Prosa. — ἐν τοσούτῳ, inzwischen. IV, 14. Pisc. 21. Alex. 51. Conviv. 15 u. ö. — ἱκανὴ . . αὕτη τιμωρία. Welches Wort ist hier das Subject? Kr. Gr. §. 61, 7. IV, 3: ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰομένους. Dial. deor. 5, 3: παιδεραστῶν οὗτοι λόγοι. u. ö.

11. οἷον ἦν, s. v. a. οἷον ἦν ἀγαθόν. Navig. 44: οἷον δὲ κἀκεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν. — τοῖς δικαιολογοῦσι, den Advokaten, Sachwal-

χομένοις τοῦτο χρήσιμον· ἰδού γέ τοι αὐτίκα μάλα πλούσιος ἐκ πενεστάτου καταστήσεται ὁ Τίμων βοήσας καὶ παρρησιασάμενος ἐν τῇ εὐχῇ καὶ ἐπιστρέψας τὸν Δία· εἰ δὲ σιωπῇ ἔσκαπτεν ἐπικεκυφώς, ἔτι ἂν ἔσκαπτεν ἀμελούμενος.

ΠΛΟΥΤ. Ἀλλ' ἐγὼ οὐκ ἂν ἀπέλθοιμι, ὦ Ζεῦ, παρ' αὐτόν.

ΖΕΥΣ. Διὰ τί, ὦ ἄριστε Πλοῦτε, καὶ ταῦτα ἐμοῦ κελεύσαντος;

12 12. ΠΛΟΥΤ. Ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμὲ καὶ ἐξεφόρει καὶ ἐς πολλὰ κατεμέριζε καὶ ταῦτα πατρῷον αὐτῷ φίλον ὄντα, καὶ μόνον οὐχὶ δικράνοις ἐξεώθει με τῆς οἰκίας καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χειρῶν ἀπορριπτοῦντες. αὖθις οὖν ἀπέλθω παρασίτοις καὶ κόλαξι καὶ ἑταίραις παραδοθησόμενος; ἐπ' ἐκείνους, ὦ Ζεῦ, πέμπε με τοὺς αἰσθησομένους τῆς δωρεᾶς, τοὺς περιέψοντας, οἷς τίμιος ἐγὼ καὶ περιπόθητος· οὗτοι δὲ οἱ λάροι τῇ πενίᾳ ξυνέστωσαν, ἣν προτιμῶσιν ἡμῶν, καὶ διφθέραν παρ' αὐτῆς λαβόντες καὶ δίκελλαν ἀγαπάτωσαν ἄθλιοι τέτταρας ὀβολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους δωρεὰς ἀμελητὶ προϊέμενοι.

13 13. ΖΕΥΣ. Οὐδὲν ἔτι τοιοῦτον ὁ Τίμων ἐργάσεται περὶ σέ· πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπασιν ἀνάλγητός ἐστι τὴν ὀσφῦν, ὡς χρῆν σε ἀντὶ τῆς πενίας προαιρεῖσθαι. σὺ μέντοι πάνυ μεμψίμοιρος εἶναί μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπετάσας ἠφίει περινοστεῖν ἐλευθέρως οὔτε ἀποκλείων οὔτε ζηλοτυπῶν· ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλουσίων κατακε-

tern. Sonst selten die active Form; Apol. 12. — μόνοις, nicht μόνον, des Gegensatzes wegen. Ebenso Lys. 5, 3: οὐ γὰρ τούτοις μόνοις εἰσὶ θεράποντες, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν. — ἰδού γέ τοι, siehe wenigstens. Dieselbe Formel Hermot. 51. 63. Anach. 33. Bis acc. 3. — καταστήσεται. Char. 2: τοῦτο τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί μοι. — βοήσας, dadurch dass oder weil er. — ἐπιστρέψας τὸν Δία, die Aufmerksamkeit des Zeus auf sich gezogen hat. — οὐκ ἂν ἀπέλθοιμι, ich möchte nicht. — καὶ ταῦτα, und zwar. Vgl. das folg. c. z. A.

12. ἐς πολλά, in viele Theile. — μόνον οὐχί, *tantum non*, beinahe. — δικράνοις ἐξεώθει, vgl. Horat. epist. 1, 10, 24. Zwei Vergleichungen in diesem Satze. — ἀπέλθω, soll ich gehen, zum Ausdruck des Unwillens. Vgl. c. 45. — παραδοθησόμενος, um.. — λάροι, Gimpel, Dummköpfe. — ἀγαπάτωσαν .. ἀποφέροντες, mögen zufrieden sein davonzutragen. Tox. 33: ἀλλ' οὐκ ἐκεῖνοί γε ἠγάπησαν οὕτως ἀφιέμενοι. u. ö.

13. τοὐναντίον, im Gegentheil, umgekehrt. — σημείων ἐπιβολαῖς, *sigillis impressis*. — πρός

κλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς καὶ κλεισὶ καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακῦψαί σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. ταῦτα γοῦν ἀπωδύρου πρός με ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ· καὶ διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαίνου καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν λογισμῶν καὶ ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο, παρ' αὐτῶν· καὶ ὅλως τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι, ἐν χαλκῷ ἢ σιδηρῷ τῷ θαλάμῳ καθάπερ τὴν Δανάην παρθενεύεσθαι ὑπ' ἀκριβέσι καὶ παμπονήροις παιδαγωγοῖς ἀνατρεφόμενον, τῷ Τόκῳ καὶ τῷ Λογισμῷ. 14. ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐτοὺς ἐρῶντας μὲν ἐς ὑπερβολήν, ἐξὸν δὲ ἀπολαύειν οὐ τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένους τῷ ἔρωτι κυρίους γε ὄντας, ἀλλὰ φυλάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ κύνα μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν μήτε τῷ ἵππῳ πεινῶντι ἐπιτρέπουσαν. καὶ προσέτι γε καὶ κατεγέλας αὐτῶν φειδομένων καὶ φυλαττόντων καὶ τὸ καινότατον αὐτοὺς ζηλοτυπούντων, ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης ἢ οἰκονόμος πεδότριψ ὑπεισιὼν λαθραίως ἐμπαροινήσει τὸν κακοδαίμονα καὶ ἀνέραστον δεσπότην πρὸς

14

με, *gegen* mich, *bei* mir, *zu* mir, nicht: zu *mir;* vgl. I, 15. Nigr. 12. 14. Hermot. 19 u. ö., Kr. Gr. §. 25, 1. 2. — ἐν πολλῷ τῷ σκότῳ. Hermot. 21: ἐν πολλῷ τῷ συρφετῷ. IV, 15: ἐκ πολλοῦ τοῦ βάθους. — πρὸς τὸ ἔθος, d. i. in Folge deiner Gewohnheit. — καὶ ὅλως, s. zu I, 10. — Δανάην. Diese wurde von ihrem Vater Akrisios, einem Könige der Argeier, weil ihm geweissagt worden war, dass er durch einen Sohn derselben umkommen würde, in ein ehernes Zimmer unter der Erde od., wie Horat. od. 3, 16. sagt, in einen ehernen Thurm gesperrt.

14. ἐρῶντας, näml. σέ, zu ergänzen aus ἔφασκες. — ἐξόν, Accus. absol. wie Genet. absol. zu übersetzen, obschon es in ihrer Macht steht. Ebenso ἐφειμένον Pisc. 25. ἐπιτραπέν σοι III, 6. ἐνόν De morte Peregr. 25. δέον c. 17. Pisc. 33 u. a. — ἐπ' ἀδείας, ohne Furcht, in Ruhe; auch μετ' ἀδείας. Ebenso ἐπ' ἐξουσίας, ἐφ' ἡσυχίας, ἐπὶ σχολῆς. — τῷ ἔρωτι, Gegenstand ihrer Liebe. — φυλάττειν, Gegensatz οὐδὲ ἐπ' ἀδ. χρωμένους τῷ ἔρωτι, daher man φυλάττοντας erwartet. Warum ist die Construction verändert und der Satz wieder an ἔφασκες angeknüpft? — τὸ verbinde mit ἔχειν; ἀπολαύειν abhängig von ἔχειν. — τὴν ἐν τῇ φάτνῃ κτέ. Adv. indoct. 30: τὸ τῆς κυνὸς ποιεῖς τῆς ἐν τῇ φάτνῃ κατακειμένης, ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει. — τὸ καινότατον, was das Seltsamste ist; Nigr. 4. 21.; ebenso τὸ παραδοξότατον IV, 23. — πεδότριψ, einer der die Fussfesseln abnutzt, von

ἀμαυρόν τι καὶ μικρόστομον λυχνίδιον καὶ διψαλέον θρυαλλίδιον ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. πῶς οὖν οὐκ ἄδικα ταῦτα, πάλαι μὲν ἐκεῖνα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικαλεῖν;

15 15. ΠΛΟΥΤ. Καὶ μὴν εἴ γε τἀληθὲς ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν· τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο ἀνειμένον ἀμελὲς καὶ οὐκ εὐνοϊκὸν ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη, τούς τε αὖ κατάκλειστον θύραις ἐν σκότῳ φυλάττοντας, ὅπως αὐτοῖς παχύτερος γενοίμην καὶ πιμελὴς καὶ ὑπέρογκος ἐπιμελουμένους, οὔτε προσαπτομένους αὐτοὺς οὔτε ἐς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι καὶ ὑβριστάς, οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ

16 τῶν εὐδαιμόνων με καταλιπόντες. 16. οὔτ' οὖν ἐκείνους οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τούς, ὅπερ ἄριστόν ἐστι, μέτρον ἐπιθήσοντας τῷ πράγματι καὶ μήτε ἀφεξομένους τὸ παράπαν μήτε προησομένους τὸ ὅλον. σκόπει γάρ, ὦ Ζεῦ, πρὸς τοῦ Διός, εἴ τις νόμῳ γήμας γυναῖκα νέαν καὶ καλὴν ἔπειτα μήτε φυλάττοι μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀφιεὶς καὶ βαδίζειν ἔνθα ἂν ἐθέλοι νύκτωρ καὶ μεθ' ἡμέραν καὶ ξυνεῖναι τοῖς βουλομένοις, μᾶλλον δὲ αὐτὸς ἀπάγοι μοι-

nichtsnutzigen Sklaven. Vgl. Saturn. 8. — ἐμπαροινήσει, sich unverschämt betragen wird, gegen dich, Plutos.

15. καὶ μήν, und doch, indess, *atqui;* vgl. c. 35. 57. — εἰ.. ἐξετάζοις, im Falle dass du. Vgl. c. 56: εἰ γάρ μοι πείθοιο, .. ἐμβαλεῖς. Toxar. 50: εἰ δέ μοι ὑπόσχοιο ..., ἥξω u. ö. — τὸ πάνυ τοῦτο ἀνειμένον, diese grenzenlose Zügellosigkeit. — ὡς πρὸς ἐμέ, wenigstens in Bezug auf mich, wenigstens mir gegenüber. Vgl. c. 42.

16. ἐκείνους, geht auf die eben erwähnten Geizigen, τούτους auf die dem Sprechenden jetzt näher stehenden Verschwender in Bezug auf Timon. Ebenso *ille* und *hic* im Lateinischen. — πρόχειρος, leichtsinnig, leichtfertig. — τοὺς μέτρον ἐπιθήσοντας, d. i. die Mass halten werden, wie sie es schon gehalten haben. Im Deutschen gebrauchen wir in solcher Verbindung das Praesens. — τὸ ὅλον, überhaupt; so oft bei Luc. — ὦ Ζεῦ, πρὸς τοῦ Διός, komisch; ebenso Dial. mort. 16, 1: οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος, μὰ τὸν Ἡρακλέα. — γήμας .. ἔπειτα. Oft stehen so ἔπειτα und εἶτα nach dem Participium, um die temporale Bedeutung des Particip. zu verdeutlichen (Kr. Gr. §. 56, 10, 3). Epist. Sat. 19: ἐχρῆν σε τὸ ἄνισον τοῦτο ἀφελόντα .. ἔπειτα κελεύειν ἑορτάζειν. — ἔνθα ἄν. ἄν könnte auch fehlen. — μεθ' ἡμέραν, bei Tage. c. 41. Nigr. 22. Bis acc. 16 u. ö. — τοῖς βουλομένοις, mit allen, welche. Alexand. 5: ἐπόρνευε καὶ συνῆν ἐπὶ μισθῷ τοῖς βουλομένοις u. ö. Sonst ist der Singular gewöhnlicher. — μοι-

χευθησομένην ἀνοίγων τὰς θύρας καὶ μαστροπεύων καὶ πάντας ἐπ' αὐτὴν καλῶν, ἆρα ὁ τοιοῦτος ἐρᾶν δόξειεν ἄν; οὐ σύ γε, ὦ Ζεῦ, τοῦτο φαίης ἂν ἐρασθεὶς πολλάκις. 17. εἰ δέ τις 17 ἔμπαλιν ἐλευθέραν γυναῖκα εἰς τὴν οἰκίαν νόμῳ παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ δὲ μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρθένου μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον δὲ καὶ στεῖραν κατακλείσας παρθενεύοι, καὶ ταῦτα ἐρᾶν φάσκων καὶ δῆλος ὢν ἀπὸ τῆς χρόας καὶ τῆς σαρκὸς ἐκτετηκυίας καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων, ἔσθ' ὅπως ὁ τοιοῦτος οὐ παραπαίειν δόξειεν ἄν, δέον παιδοποιεῖσθαι καὶ ἀπολαύειν τοῦ γάμου, καταμαραίνων εὐπρόσωπον οὕτω καὶ ἐπέραστον κόρην καθάπερ ἱέρειαν τῇ Θεσμοφόρῳ τρέφων διὰ παντὸς τοῦ βίου; ταῦτα καὶ αὐτὸς ἀγανακτῶ πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος καὶ λαφυσσόμενος καὶ ἐξαντλούμενος, ὑπ' ἐνίων δὲ ὥσπερ στιγματίας δραπέτης πεπεδημένος.

18. ΖΕΥΣ. Τί οὖν ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ 18 ἄμφω καλὴν τὴν δίκην, οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ

χευθησομένην, um sich hinzugeben.

17. ἔμπαλιν, dagegen. Vgl. c. 9. 29. Char. 1. Alex. 9 u. ö. — ἐπ' ἀρότῳ παίδων γνησίων, um rechtmässige Kinder zu zeugen. Eine in den Eheverträgen bei den Athenäern gewöhnliche Formel. — ὁ δέ, der aber, Wiederholung des Subjects mit Nachdruck nach vorangehendem Partic.; vgl. Jup. conf. 11: οἱ ἄνθρωποι δέον τῇ Εἱμαρμένῃ θύειν καὶ παρ' ἐκείνης αἰτεῖν τἀγαθά, οἱ δὲ ἐφ' ἡμᾶς ἴασι. Hermot. 28: ὃς δέον τὴν πελειάδα κατατοξεῦσαι ὁ δὲ τὴν μήρινθον ἔτεμεν. — στεῖραν. Vgl. Dial. mort. 28, 2. Dichterisches Wort; in Prosa erst bei Späteren. — δῆλος ὤν, näml. ἐρῶν. — τῆς σαρκὸς ἐκτετηκυίας, d. i. Magerkeit. — τῶν ὀφθαλμῶν ὑποδεδυκότων, hohle, in den Höhlen liegende Augen. — ἔσθ' ὅπως, ist es möglich, dass. — ὁ τοιοῦτος, der welcher so beschaffen ist, wie er eben beschrieben worden. Vgl. c. 16. 23. 31 u. ö. — παραπαίειν, wahnsinnig sein, oft bei Luc. u. A. — δέον, siehe oben zu 14. — καθάπερ ἱέρειαν τῇ Θεσμοφόρῳ. Unter Θεσμοφόρος, Gesetzgeberin, ist die Demeter zu verstehen, insofern sie durch Einführung des Ackerbaues den Grund zur bürgerlichen Gesellschaft und somit zur Gesetzgebung legte. Zu Ehren derselben wurden zu Athen und anderwärts von den Frauen alljährlich vom 9. Pyanepsion an 5 Tage lang die Thesmophorien gefeiert. Mit der ἱέρεια ist die jungfräuliche Tempelpriesterin hier und Dial. meretr. 7, 4 gemeint. S. Hermann's gottesdienstl. Alterth. §. 56, 26. — ταῦτα, darüber. Demosth. 8, 55: καίτοι ἔγωγ' ἀγανακτῶ καὶ αὐτὸ τοῦτο. Kr. Gr. §. 48, 8, 1.

18. ὥσπερ ὁ Τάνταλος. Tantalos, König von Phrygien, wurde wegen eines Vergehens, das er sich gegen die Götter hatte zu Schulden kommen lassen, von letzteren in der Art bestraft, dass er im Tartaros in einem See bis an

ἄγευστοι καὶ ξηροὶ τὸ στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ, οἱ δὲ καθάπερ ὁ Φινεὺς ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν Ἁρπυιῶν ἀφαιρούμενοι. ἀλλ' ἄπιθι ἤδη σωφρονεστέρῳ παρὰ πολὺ τῷ Τίμωνι ἐντευξόμενος.

ΠΛΟΥΤ. Ἐκεῖνος γάρ ποτε παύσεται ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιρροήν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν; ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ στέγοντος, ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιρρέοντος· οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνός του πίθου καὶ ἀκώλυτος ἡ ἔξοδος.

19 19. *ΖΕΥΣ. Οὐκοῦν εἰ μὴ ἐμφράξεται τὸ κεχηνὸς τοῦτο καὶ ἐς τὸ ἅπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. ἀλλ' ἄπιτε ἤδη καὶ πλουτίζετε αὐτόν· σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσωσιν· ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα.*

das Kinn im Wasser stehen und doch dursten, und trotz der über seinem Haupte hängenden Früchte doch hungern musste. Hom. Od. 11, 582 ff. Dial. mort. 17. — *ἐπικεχηνότες*, schnappend nach, *inhiantes*. — *καθάπερ ὁ Φινεύς*. Dieser, ein Sohn des Agenor, König von Salmydessos in Thrake, hatte seine Söhne auf Veranlassung ihrer Stiefmutter getödtet, wofür ihm zur Strafe die Harpyien zugesendet wurden, welche, sobald er essen wollte, ihm die Mahlzeit wegassen, und was sie nicht verzehrten, verunreinigten. — *τὴν τροφήν*, Accusativ beim Passiv., Objectsaccusativ. Hermot. 71: *ὑπὸ τοῦ ἐρωμένου ἀφαιρεθέντες ἅπαντα ἐκεῖνα τἀγαθά*. u. s. — *παρὰ πολύ*, um vieles, bei weitem. III, 11 u. ö. — *ἐκεῖνος γάρ*. *γάρ* in der Frage, wie unser denn, elliptisch. Was für ein Gedanke ist hier zu ergänzen? Vgl. c. 24. III, 16. — *κατὰ σπουδήν*, mit Eifer. — *ἐξαντλῶν*. Das Partic. bei *παύεσθαι* durch den Infin. zu übersetzen. Vgl. III, 17. — *μὴ ὑπ. εἰσπεσὼν ἐπικλ. αὐτόν*, d. i. damit ich ihn nicht so sehr überschwemme, dass an kein Ausschöpfen mehr zu denken ist. S. zu c. 4. — *ἐς τὸν τῶν Δαν. πίθον*. Die 50 Töchter des Danaos tödteten mit Ausnahme der einzigen Hypermnestra ihre Männer in der Brautnacht und mussten dafür zur Strafe in der Unterwelt ein leckes oder bodenloses Gefäss mit Wasser füllen. — *κύτους*, Gefäss. — *στέγειν* absol. wie unser 'halten'.

19. *ἐμφράξεται*, seltene Medialform. — *ἐς τὸ ἅπαξ*, ein für allemal, für immer. Vielleicht ist richtig, was ich zuerst einst vorgeschlagen *τὸ εἰσάπαξ*. — *μέμνησο ἄγειν*, s. zu IV, 7. — *Κύκλωπας*. Sie waren Gehilfen des Hephästos und verfertigten die

20. *ΕΡΜ.* Προΐωμεν, ὦ Πλοῦτε. τί τοῦτο; ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν. 20

ΠΛΟΥΤ. Οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ, ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διός, οὐκ οἶδ' ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μόλις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ περιμένοντος, ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει, πολὺ τῶν ὀνείρων ὠκύτερον· ἅμα γοῦν ἔπεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκώς, ὑπερπηδήσας τὸ στάδιον οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν.

ΕΡΜ. Οὐκ ἀληθῆ ταῦτα φής· ἐγώ γέ τοι πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι χθὲς μὲν οὐδὲ ὀβολόν, ὥστε πρίασθαι βρόχον, ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους καὶ πολυτελεῖς ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε. καὶ ὅμως πορφυροῖ καὶ χρυσόχειρες περιέρχονται οὐδ' αὐτοὶ πιστεύοντες, οἶμαι, ὅτι μὴ ὄναρ πλουτοῦσιν.

21. *ΠΛΟΥΤ.* Ἑτεροῖον τοῦτ' ἐστίν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε, οὐδὲ ὁ Ζεύς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐτοὺς ἅτε πλουτοδότης καὶ μεγαλόδωρος καὶ αὐτὸς ὤν· δηλοῖ γοῦν καὶ τῷ ὀνόματι. ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον ἐμ- 21

Donnerkeile des Zeus. Als ihre Werkstatt wird der Aetna angegeben.

20. ἐλελήθεις με . . ὤν, es war mir verborgen geblieben, ich wusste nicht, dass du . . bist. — ἀμφοτέροις, nämlich ποσί. Asin. 28: ἀμφοτέροις εἰς ἐμὲ ὑπολακτίζοντες. — τελεῖν ἐπὶ τὸ τέρμα, näml. ὁδόν, an's Ziel gelangen. Tox. 51: τριταῖος ἐτέλεσεν ἐκ Μαχλύων ἐς Σκύθας. Hermot. 71: αὐθημερὸν ἀπὸ τῆς Ἑλλάδος εἰς Ἰνδοὺς τελεῖ. — ἅμα γοῦν . . κἀγώ, s. zu I, 3. — ὕσπληγξ, eigtl. das Seil quer vor den Schranken der Wettläufer. Vgl. Calumn. 3. — γέ τοι, wenigstens doch. — ἐπὶ λευκοῦ ζεύγους, auf einem Gespann mit weissen Rossen. Dieses wird von Luc. oft als ein ganz besonderer Prunk aufgeführt; vgl. De merc. cond. 3: ἐπὶ λευκοῦ ζεύγους ἐξυπτιάζοντες. — οὐδὲ κἂν ὄνος, selbst oder sogar nicht einmal ein Esel. Elliptische Ausdrucksweise für καὶ ἐὰν ὄνος ᾖ. Catapl. 20: ὅμως κἂν μικρόν τι ἐς τὸ ἔθος ἐπιστέναξον. III, 2. 13. Rhet. praec. 9. — χρυσόχειρες, mit goldenen Ringen an den Händen. 'Später dienten die Ringe auch zum Schmucke, und daher trug man deren oft mehrere, ja in der Zeit verfallener Sitten belastete man förmlich die Hände damit.' Bekker's Charikl. 1 p. 345.

21. ὁ Πλούτων. Pluton, der Gott der Unterwelt, dessen Namensverwandtschaft Lucian benutzt, wird hier als Geber des Reichthums, der durch Erbschaft zufällt, gedacht. — ἅτε mit dem Partic. insofern, da nämlich, *quippe*, bei Angabe eines objectiven Grundes; s. Kr. Gr. §. 56, 12, 2. — δέλ-

βαλόντες με καὶ κατασημηνάμενοι ἐπιμελῶς φοράδην ἀράμενοι μετακομίζουσι· καὶ ὁ μὲν νεκρὸς ἐν σκοτεινῷ που τῆς οἰκίας πρόκειται ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς, ἐμὲ δὲ οἱ ἐπελπίσαντες ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες ὥσπερ τὴν χελιδόνα προσπετομένην τε-
22 τριγότες οἱ νεοττοί. 22. ἐπειδὰν δὲ τὸ σημεῖον ἀφαιρεθῇ καὶ τὸ λίνον ἐντμηθῇ καὶ ἡ δέλτος ἀνοιχθῇ καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης ἤτοι συγγενής τις ἢ κόλαξ ἢ καταπύγων οἰκέτης ἐκ παιδικῶν τίμιος, ὑπεξυρημένος ἔτι τὴν γνάθον, ἀντὶ ποικίλων καὶ παντοδαπῶν ἡδονῶν, ἃς ἤδη ἔξωρος ὢν ὑπηρέτησεν αὐτῷ, μέγα τὸ μίσθωμα ὁ γενναῖος ἀπολαβών, ἐκεῖνος μέν, ὅστις ἂν ᾖ ποτε, ἁρπασάμενός με αὐτῇ δέλτῳ θεῖ φέρων ἀντὶ τοῦ τέως Πυῤῥίου ἢ Δρόμωνος ἢ Τιβίου Μεγακλῆς ἢ Μεγάβυζος ἢ Πρώταρχος μετονομασθείς, τοὺς μάτην

τον, zu verstehen von dem Testamente, das auf eine mit Wachs überzogene Tafel geschrieben war. Dasselbe wurde in Gegenwart von Zeugen aus der Verwandtschaft versiegelt und gewöhnlich bei einem Bürger niedergelegt. Die Eröffnung fand gleichfalls vor Zeugen [hier öffentlich, ἐν τῇ ἀγορᾷ], und zwar bald nach eingetretenem Todesfalle statt. — ἐν σκοτεινῷ που τῆς οἰκίας, in irgend einem finstern Winkel des Hauses. — πρόκειται. Das eigtl. Wort von der Ausstellung der Todten an einem der vornehmsten Orte des Hauses. — σκεπόμενος. Ein nur bei spätern Schriftstellern gebräuchliches Verbum für das att. σκεπάζω. — οἱ ἐπελπίσαντες intr., die sich auf mich Hoffnung machen. ἐμέ gehört zu περιμένουσι. — οἱ νεοττοί, näml. περιμένουσι.

22. τὸ λίνον. Der mit dem Siegel versehene Bindfaden, der das Testament umgab. — ἤτοι . . ἤ öfter bei Luc., Catapl. 1. Vit. auct. 11. Necyom. 17. — ἐκ παιδικῶν ist gerade so gesagt wie ἐκ παίδων, und ἐκ παιδ. τίμιος bedeutet 'geehrt von der Zeit an als er sein Geliebter war.' — ὑπεξυρημένος ἔτι τὴν γνάθον, d. i. indem er sich noch rasiren lässt. Vgl. Dial. mort. 9, 4. Scyth. 3. — ἔξωρος, über die Blüthe der Jahre hinaus. — αὐτῷ, dem Herrn, im Gegensatz zu οἰκέτης. — ὁ γενναῖος, ironisch, ebenso wie c. 47 z. E. In Bezug auf die Stellung vgl. ὁ ἄθλιος im folg. cap. z. E. S. zu IV, 17. — ἐκεῖνος μέν. Der Vordersatz ist enthalten in den WW. ἐπειδάν bis ἀπολαβών, und der Nachsatz beginnt mit ἐκεῖνος μέν. Diesem μέν nun entspricht kein δέ, denn ὁ δέ c. 23 ist auf denselben mit ἐκεῖνος μέν, näml. auf den Erben, zu beziehen. Worin ist nun der Gegensatz hierzu enthalten? Die Unregelmässigkeit entstanden durch die Lebhaftigkeit der Rede. — αὐτῇ δέλτῳ, sammt dem Testamente. So αὐτῇ Κασταλίᾳ IV, 6. αὐτοῖς ὀβελοῖς Ep. Sat. 23. αὐτῇ ἀρετῇ De merc. cond. 24. αὐτοῖς θεοῖς Jup. trag. 14 u. ö. — θεῖ φέρων, läuft hastig. Icaromenipp. 19: ὁ δὲ ἁρπάσας ποθὲν ἢ [illegible] λίπος ἢ πυροῦ [illegible] θεῖ φέρων. Vgl. unten c. 35. Hermot. 35. Necyom. 8. De sacrif. 3 u. ö. — Πυῤῥίου ἢ Δρόμ. ἢ Τιβίου, gewöhnliche Sclavennamen. — Μεγακλῆς ἢ Μεγαβ. ἢ Πρωτ. Namen von Männern aus den vor-

κεχηνότας ἐκείνους ἐς ἀλλήλους ἀποβλέποντας καταλιπὼν ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών. 23. ὁ δὲ 23 ἐμπεσὼν ἀθρόως εἰς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς καὶ εἰ παριὼν μαστίξειέ τις, ὄρθιον ἐφιστὰς τὸ οὖς καὶ τὸν μυλῶνα ὥσπερ τὸ ἀνάκτορον προσκυνῶν οὐκέτι φορητός ἐστι τοῖς ἐντυγχάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει καὶ τοὺς ὁμοδούλους μαστιγοῖ, ἀποπειρώμενος εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν, ἄχρι ἂν ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν ἢ ἱπποτροφίας ἐπιθυμήσας ἢ κόλαξι παραδοὺς ἑαυτὸν ὀμνύουσιν, ἦ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτόν, εὐγενέστερον δὲ τοῦ Κέκροπος ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερον δὲ σύναμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ὁ ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν καὶ πανουργιῶν συνειλεγμένα.

24. ΕΡΜ. Αὐτά που σχεδὸν φῄς τὰ γιγνόμενα· ὁπόταν 24 δ' οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς ὢν εὑρίσκεις τὴν ὁδόν; ἢ πῶς διαγιγνώσκεις ἐφ' οὓς ἄν σε ὁ Ζεὺς ἀποστείλῃ κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους;

ΠΛΟΥΤ. Οἴει γὰρ εὑρίσκειν με οἵτινές εἰσι; μὰ τὸν Δία οὐ πάνυ· οὐ γὰρ ἂν Ἀριστείδην καταλιπὼν Ἱππονίκῳ καὶ Καλλίᾳ προσῄειν καὶ πολλοῖς ἄλλοις Ἀθηναίων οὐδὲ ὀβολοῦ ἀξίοις.

nehmsten Geschlechtern. — οἷος, d. i. ὅτι τοιοῦτος. Ver. hist. 2, 27: ἐδάκρυον, οἷα ἔμελλον ἀγαθὰ καταλιπὼν αὖθις πλανηθήσεσθαι. Dial. mar. 1, 1. Catapl. 16 u. ö. — θύννος. Dasselbe Bild Horat. sat. 2, 5, 22. — δέλεαρ, von den Geschenken von Seiten der Erbschleicher an den Reichen.

23. ἐμπεσών. Adv. indoct. 9: ἀπορρήγνυσι τρεῖς ἅμα χορδάς, σφοδρότερον τοῦ δέοντος ἐμπεσὼν τῇ κιθάρᾳ. — ἀθρόως, mit aller Macht. — παχύδερμος, in uneigentlicher Bedeutung. — εἰ παριὼν μαστίξειέ τις, wenn einer im Vorübergehen mit der Peitsche knallt. — τὸν μυλῶνα, Mühlenhaus, wo die Sklaven zur Strafe arbeiten mussten. — τοὺς ὁμοδούλους, seine ehemaligen Mitsklaven. — Νιρέως. Il. 2, 673: Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν. — Κέκροπος ἢ Κόδρου. Bekannte alte athenische Könige. — ἑκκαίδεκα, hyperbolisch = unzählige. Ebenso Dial. deor. 1. — ἐν ἀκαρεῖ τοῦ χρόνου, s. oben zu c. 3.

24. τὰ γιγνόμενα, das, was wirklich geschieht. Hermot. 3: αὐτὸ ἔφησθα, ὦ Λυκῖνε, τὸ γιγνόμενον. — αὐτόπους, im Gegensatz zu οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω c. 21. — οὐ γὰρ ἂν . . προσῄειν, s. zu c. 7. — Ἀριστείδην, bekannt seiner Rechtschaffenheit und Armuth wegen. — Ἱππονίκῳ καὶ Καλλίᾳ, ihres Reichthums wegen sprichwörtlich geworden (Καλλίου τοῦ Ἱππονίκου πλουσιώτερος), aber sonst nicht

ΕΡΜ. Πλὴν ἀλλὰ τί πράττεις καταπεμφθείς;

ΠΛΟΥΤ. Ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρι ἂν λάθω τινὶ ἐμπεσών· ὁ δέ, ὅστις ἂν πρῶτός μοι περιτύχῃ, ἀπαγαγὼν παρ' αὑτὸν ἔχει, σὲ τὸν Ἑρμῆν ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν.

25 25. ΕΡΜ. Οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς οἰόμενός σε κατὰ τὸ αὐτῷ δοκοῦν πλουτίζειν ὅσους ἂν οἴηται τοῦ πλουτεῖν ἀξίους;

ΠΛΟΥΤ. Καὶ μάλα δικαίως, ὦγαθέ, ὅς γε τυφλὸν ὄντα εἰδὼς ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιιὼν καὶ σαγηνεύομαι πρὸς αὐτῶν.

ΕΡΜ. Εἶτα πῶς, ἐπειδὰν καταλίπῃς αὐτούς, ῥᾳδίως φεύγεις οὐκ εἰδὼς τὴν ὁδόν;

ΠΛΟΥΤ. Ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς.

26 26. ΕΡΜ. Ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὤν, εἰρήσεται γάρ, καὶ προσέτι ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκε-

eben im besten Rufe, und daher von den Komikern oft derb mitgenommen; vgl. Jup. conf. 16. — ἄνω καὶ κάτω, *sursum deorsum*, oft bei Luc. wiederkehrende Formel. — σὲ τὸν Ἑρμῆν. Jeder unerwartete Gewinn oder Zuwachs an Vermögen wurde dem Hermes zugeschrieben (ἕρμαιον), der daher auch κερδῷος (41) genannt wird.

25. κατὰ τὸ αὐτῷ δοκοῦν, seinem Wunsche gemäss. Pisc. 44: κατὰ τὰ ἡμῖν δοκοῦντα. Conviv. 39 u. ö. — ὅς γε, er der, der ja, *qui quidem*, gibt nicht blos eine relativische Bestimmung, sondern drückt auch zugleich den Grund aus. — ἀναζητήσοντα, um aufzusuchen. Dial. deor. 24, 2: μηδὲ ἀναπνεύσαντα πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην. Ebenso nach ἥκειν c. 34. vgl. c. 55. III, 4. 7. — δυσεύρετον οὕτω χρῆμα, näml. τοὺς τοῦ πλουτεῖν ἀξίους. — πρὸ πολλοῦ, seit langer Zeit. Tox. 12. — ἐκλελοιπός, intr. verschwunden. — Λυγκεύς. Einer der Argonauten, berühmt wegen seines scharfen Gesichts und deshalb sprichwörtlich. Char. 7. Hermot. 20. Pro imag. 20. — τὸ πᾶν ἐπεχόντων. τὸ πᾶν ἐπέχειν das Regiment führen. Vgl. c. 27. — πρός mit dem Gen. bei Passiven, bei Luc. häufig, ist selten in der attischen Prosa. — εἶτα πῶς, d. i. dann, wenn dem so ist, wie kommt es dass. Dial. deor. 4, 1: εἶτα πῶς σύριγγα οὐκ ἔχεις;

26. εἰρήσεται γάρ, *dicendum enim est*, etwa unser 'unter uns gesagt'; vgl. Dial. mar. 4, 1. 13, 1. Zeux. 2. Anach. 16. Hermot. 50. Icarom. 13. — βαρὺς ἐκ τοῖν σκελοῖν, schwerfällig auf



λοῖν τοσούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν εἰς σέ, καὶ τυχόντας μὲν εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥστε καὶ ἐς βαθυκήτεα πόντον φέροντες ἔρριψαν αὑτοὺς καὶ πετρῶν κατ' ἠλιβάτων ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτιπερ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. πλὴν ἀλλὰ καὶ σὺ ἂν εὖ οἶδ' ὅτι ὁμολογήσειας, εἴ τι ξυνίῃς σαυτοῦ, κορυβαντιᾶν αὐτοὺς ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας.

27. ΠΛΟΥΤ. Οἴει γὰρ τοιοῦτον, οἷός εἰμι, ὁρᾶσθαι αὐτοῖς, χωλὸν ἢ τυφλὸν ἢ ὅσα ἄλλα μοι πρόσεστιν; 27

ΕΡΜ. Ἀλλὰ πῶς, ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσίν;

ΠΛΟΥΤ. Οὐ τυφλοί, ὦ ἄριστε, ἀλλ' ἡ ἄγνοια καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς· ἔτι δὲ καὶ αὐτός, ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖόν τι ἐρασμιώτατον περιθέμενος, διάχρυσον καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς ἐντυγχάνω αὐτοῖς· οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾶν τὸ κάλλος ἐρῶσι καὶ ἀπόλλυνται μὴ [ἐν]τυγχάνοντες. ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας ἐπέδειξέ με, δῆλον ὡς κατεγίνωσκον ἂν αὐτῶν ἀμβλυώττοντες τὰ τηλικαῦτα καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.

28. ΕΡΜ. Τί οὖν ὅτι καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι καὶ τὸ προσωπεῖον αὐτοὶ περιθέμενοι ἔτι ἐξαπατῶνται, 28

die Füsse. — τυχόντας, näml. σοῦ. — ἀνέχεσθαι mit Partic. ζῶντας, wir mit folg. Infin. Vgl. c. 37. Nigr. 34: ἀνέχονται ἀκούοντες. — ἐς βαθυκήτεα πόντον . . πετρῶν κατ' ἠλιβάτων nach Theognis, bei dem es 175 f. von der Armuth heisst: ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς μεγακήτεα πόντον ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων. — φέροντες, s. zu c. 22. — ὅτιπερ, weil eben, weil ja. Diese Worte enthalten eine Bemerkung des Hermes und gehören nicht zum Vorhergehenden. — οὐδὲ τὴν ἀρχήν, eigentl. von vorn herein nicht einmal, d. i. durchaus nicht. — εὖ οἶδ' ὅτι, s. zu I, 18. — εἴ τι ξυνίῃς σαυτοῦ, wenn du dich irgend selbst kennst, d. i. wenn du dir irgend Gerechtigkeit widerfahren lässest.

27. ὁρᾶσθαι, sichtbar werden, erscheinen, daher der Dativ, nicht = ὑπ' αὐτῶν. — ἡ ἄγνοια καὶ ἡ ἀπάτη κτἑ. Aehnlich IV, 21. — ποικίλα, nämlich ἱμάτια. De merc. cond. 42: Ἐλπὶς ποικίλα ἀμπεχομένη. Ebenso μέλανα ἀμπεχόμενος Tox. 26. — αὐτοπρόσωπον, in eigener Person, d. i. ohne Larve. — ὡς, denn. — τὰ τηλικαῦτα, in so hohem Grade.

28. τί οὖν ὅτι, wie nun kommt es, dass. — ἐν αὐτῷ τῷ πλουτεῖν γενόμενοι, d. i. in den wirklichen Besitz des Reichthums gekommen. Kr. Gr. §. 68, 12,4. — οὐ γὰρ δή, denn wahrlich nicht; vgl. Tox. 1. Abdic.

καὶ ἤν τις ἀφαιρῆται αὐτούς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δὴ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτούς, ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστίν, ἔνδοθεν τὰ πάντα ὁρῶντας.

ΠΛΟΥΤ. Οὐκ ὀλίγα, ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται.

ΕΡΜ. Τὰ ποῖα;

ΠΛΟΥΤ. Ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον, ἀναπετάσας τὴν θύραν, εἰσδέχηταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος καὶ ἡ ἄνοια καὶ ἡ μεγαλοψυχία καὶ μαλακία καὶ ὕβρις καὶ ἀπάτη καὶ ἄλλ' ἄττα μυρία· ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν θαυμάζει τε τὰ οὐ θαυμαστὰ καὶ ὀρέγεται τῶν φευκτῶν κἀμὲ τὸν πάντων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθηπε δορυφορούμενον ὑπ' αὐτῶν, καὶ πάντα πρότερον πάθοι ἂν ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν.

29 29. *ΕΡΜ. Ὡς δὲ λεῖος εἶ καὶ ὀλισθηρός, ὦ Πλοῦτε, καὶ δυσκάτοχος καὶ διαφευκτικός, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ αἱ ἐγχέλεις ἢ οἱ ὄφεις διὰ τῶν δακτύλων δραπετεύεις οὐκ οἶδ' ὅπως· ἡ Πενία δ' ἔμπαλιν ἰξώδης τε καὶ εὐλαβὴς καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι. ἀλλὰ μεταξὺ φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ μικρὸν διέλαθε.*

ΠΛΟΥΤ. Τὸ ποῖον;

ΕΡΜ. Ὅτι τὸν Θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα.

30 30. *ΠΛΟΥΤ. Θάρρει τούτου γε ἕνεκα· ἐν τῇ γῇ αὐτὸν ἀεὶ καταλείπων ἀνέρχομαι πρὸς ὑμᾶς ἐπισκήψας ἔνδον μένειν*

10. Pisc. 23 u. ö. — *τὰ ποῖα.* Der Artikel proleptisch, mit Bezug auf eine zu gebende Bestimmung (Kr. Gr. §. 50, 4, 7); vgl. c. 29. Catapl. 9. 11 u. ö. — *μεγαλοψυχία,* in malam partem, Einbildung, Aufgeblasenheit. — *δορυφορούμενον ὑπ' αὐτῶν,* von ihnen als Trabanten umgeben.

29. *ὡς δὲ λεῖος εἶ,* wie glatt aber bist du. Die Partikel *δέ* steht hier, da zu etwas Neuem übergegangen wird. — *δυσκάτοχος,* schwer festzuhalten. — *ἔμπαλιν,* s. oben zu c. 17. — *πλησιάσαντας.* Wie unterscheidet sich dieses von *τοὺς πλησιάσαντας?* — *μεταξὺ φλυαροῦντας,* s. zu I, 17.

30. *θάρρει τούτου γε ἕνεκα.* Ebenso Pisc. 9: *θαρρεῖτε τούτου γε ἕνεκα* u. s. — *ἐν τῇ γῇ αὐτὸν ἀεὶ κατ. ἀν. πρὸς ὑμᾶς,* wir: den jedesmal lasse ich ihn in der Erde zurück, wenn u. s. w. — *ἐπικλει-*

ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενί, ἢν μὴ ἀκούσῃ ἐμοῦ βοήσαντος.

ΕΡΜ. Οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς· καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρι ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι.

ΠΛΟΥΤ. Εὖ ποιεῖς, ὦ Ἑρμῆ, χειραγωγῶν· ἐπεὶ ἤν γε ἀπολίπῃς με, Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν. ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι καθάπερ σιδήρου πρὸς λίθον;

31. *ΕΡΜ. Ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. παπαῖ, καὶ ἡ Πενία πάρεστι καὶ ὁ Πόνος ἐκεῖνος, ἡ Καρτερία τε καὶ ἡ Σοφία καὶ ἡ Ἀνδρεία καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ Λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων.* 31

ΠΛΟΥΤ. Τί οὖν οὐκ ἀπαλλαττόμεθα, ὦ Ἑρμῆ, τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον.

ΕΡΜ. Ἄλλως ἔδοξε τῷ Διί· μὴ ἀποδειλιῶμεν οὖν.

32. *ΠΕΝ. Ποῖ τοῦτον ἀπάγεις, ὦ Ἀργειφόντα, χειραγωγῶν;* 32

ΕΡΜ. Ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός.

ΠΕΝ. Νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κα-

σάμενον. Ebenso im Medium Tox. 50. Philops. 25. Epist. Sat. 32.; im Activ. Conv. 20. — *ἐπιβαίνωμεν*, wir wollen betreten, Kr. Gr. §. 54, 2, 1. Vgl. c. 33. III, 1. IV, 4. — *ἐχόμενος*, dich festhaltend an. — *εὖ ποιεῖς χειραγωγῶν*, du thuest wohl daran, dass du, es ist ein Glück, dass du. Vgl. c. 45. De conscr. hist. 29: *εὖ γε ἐποίησε μὴ ὀμόσε χωρήσας*. Catapl. 27. Kr. Gr. §. 56, 8, 1. — *Ὑπερβόλῳ ἢ Κλέωνι*. Zwei berüchtigte Demagogen aus der Zeit des peloponnesischen Krieges, die ihrer Schlechtigkeit wegen oft von Aristophanes verspottet werden.

31. *οὑτοσί*, deiktisch wie im Folgenden *ἐκεῖνος*. — *ὁ τοιοῦτος ὄχλος*. Ebenso Necyom. 11: *ὁ τοιοῦτος ὅμιλος*. — *τῶν ὑπὸ τῷ Λιμῷ ταττομένων*, der unter dem Commando des L. Stehenden; ebenso Pisc. 20. De merc. cond. 10. Jup. conf. 7. Jup. trag. 36 u. ö. Mit dem Accus., Adv. Indoct. 20: *καὶ εἴ τις ἄλλος τῶν ὑπὸ τὸ ψεῦδος τεταγμένων*. — *τί οὖν οὐκ ἀπαλλαττόμεθα*. Gewöhnlich steht in einer solchen Frage der Aorist, s. Kr. Gr. §. 53, 6, 2.; jedoch ist auch das Präsens nicht ungebräuchlich, Plat. Protag. p. 311 A: *ἀλλὰ τί οὐ βαδίζομεν παρ αὐτόν*; Ueber den ähnlichen Gebrauch des *quin* s. Zumpt §. 542. — *τὴν ταχίστην*, sc. *ὁδόν*, auf's schnellste, schleunigst.

32 *Ἀργειφόντα*, Beiwort des Hermes, weil er den die in eine Kuh verwandelte Jo bewachenden Argos tödtete. — *ἐπὶ Τίμωνα*,

κῶς ἔχοντα ὑπὸ τῆς Τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα, τῇ Σοφίᾳ καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον ἀφαιρεῖσθαί με, ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν Ὕβρει καὶ Τύφῳ ἐγχειρίσας ὅμοιον τῷ πάλαι, μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον;

ΕΡΜ. Ἔδοξε ταῦτα, ὦ Πενία, τῷ Διί.

33 33. ΠΕΝ. Ἀπέρχομαι· καὶ ὑμεῖς δέ, ὦ Πόνε καὶ Σοφία καὶ οἱ λοιποί, ἀκολουθεῖτέ μοι. οὗτος δὲ τάχα εἴσεται, οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν καὶ διδάσκαλον τῶν ἀρίστων, ᾗ συνὼν ὑγιεινὸς μὲν τὸ σῶμα, ἐρρωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν καὶ πρὸς αὑτὸν ἀποβλέπων, τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστίν, ἀλλότρια ὑπολαμβάνων.

ΕΡΜ. Ἀπέρχονται· ἡμεῖς δὲ προσίωμεν αὐτῷ.

34 34. ΤΙΜ. Τίνες ἐστέ, ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε μιαροὶ πάντες ὄντες· ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων τοῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω.

ΕΡΜ. Μηδαμῶς, ὦ Τίμων, μὴ βάλῃς· οὐ γὰρ ἀνθρώ-

näml. πέμπεται. — κακῶς ἔχοντα ὑπὸ τῆς Τρυφῆς. ὑπό wegen des passiven Sinnes von κακῶς ἔχειν. Vgl. c. 55: ὑπὸ τοῦ ἀκράτου πονηρῶς ἔχων. Ebenso ὑπὸ τοῦ παιδὸς ἀπέθανεν Gall. 35. IV, 13 u. ö. — οὕτως ἄρα, *adeone igitur*. Tox. 38. — ἀγεννῆ, im Gegensatz zu γενναῖον. — ῥάκος, unser 'Lump'; vgl. Pseudol. 18.

33. καὶ ὑμεῖς δέ, und od. aber auch ihr, der gewöhnliche Gebrauch von καὶ.. δέ, mit Einschiebung des betonten, einem vorhergehenden entgegengesetzten, Begriffes. — οἱ λοιποί, ihr Uebrigen. So wird oft οἱ ἄλλοι oder λοιποί durch καί mit dem Vocativ verbunden; Kr. Gr. §. 45, 2, 8. — οἵαν με οὖσαν ἀπολείψει, d. i. was er an mir verlieren wird. — ἐρρωμένος τὴν γνώμην, stark an Geist. — διετέλεσεν, ohne ὤν, s. Kr. Gr. §, 56, 5, 4. Ebenso bei τυγχάνω Vit. auct. 19. — πρὸς αὑτὸν ἀποβλέπων, d. i. seiner eigenen Kraft vertrauend. Vgl. c. 36: ἐξ αὑτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου. Bis acc. 21: κατηνάγκασε ταύτης μὲν ἀπέχεσθαι, πρὸς ἑαυτὴν δὲ ἀποβλέπειν. — ὥσπερ ἐστίν, näml. ἀλλότρια, wie es wirklich ist.

34. οὐ χαίροντες, nicht ungestraft. Litotes. — μιαροὶ πάντες ὄντες, ihr Schurken, die ihr alle seid. — τοῖς βώλοις. Dieses Wort kommt als mascul. nur bei Späteren vor; ebenso Plut. Alex. 27. Ausserdem steht hier der Artikel, weil hier die Erdschollen und Steine gemeint sind, welche sich daselbst befinden. Vgl. c. 45. Pisc. 32: αὐτὸν

πους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὑτοσὶ δὲ ὁ Πλοῦτος· ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν εὐχῶν. ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον ἀποστὰς τῶν πόνων.

ΤΙΜ. Καὶ ὑμεῖς οἰμώξεσθε ἤδη καίτοι θεοὶ ὄντες, ὥς φατε· πάντας γὰρ ἅμα καὶ ἀνθρώπους καὶ θεοὺς μισῶ, τουτονὶ δὲ τὸν τυφλόν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ.

ΠΛΟΥΤ. Ἀπίωμεν, ὦ Ἑρμῆ, πρὸς τοῦ Διός· μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθω προσλαβών.

35. ΕΡΜ. Μηδὲν σκαιόν, ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλὼν προτείνας τὼ χεῖρε λάμβανε τὴν ἀγαθὴν τύχην καὶ πλούτει πάλιν καὶ ἴσθι Ἀθηναίων τὰ πρῶτα καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων μόνος αὐτὸς εὐδαιμονῶν. 35

ΤΙΜ. Οὐδὲν ὑμῶν δέομαι· μὴ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα· τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος.

ΕΡΜ. Οὕτως, ὦ τάν, ἀπανθρώπως;

τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε;

καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν θεῶν.

36. ΤΙΜ. Ἀλλὰ σοὶ μέν, ὦ Ἑρμῆ, καὶ τῷ Διὶ πλείστη χάρις τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι. 36

ἀπεδίωξε παίων τοῖς ξύλοις. 44. — ἀγαθῇ τύχῃ, wir: in Gottes Namen. — καίτοι mit dem Partic., wie bei den Attikern καίπερ, ist bei Späteren häufig. — ἐπιτρίψειν μοι δοκῶ, gedenke ich, will ich. cap. 42. Pisc. 29: προσθήσειν μοι δοκῶ. 39. Catapl. 26. Rhet. praec. 7. u. ö. Ebenso ἔοικα mit dem Infin. des Fut. IV, 6. — οὐ μετρίως, d. i. in hohem Grade.

35. μηδὲν σκαιόν, näml. ποίει. Ebenso wir. Vgl. μηδὲν ἄγαν, μηδὲν πρὸς ὀργήν u. ähnl. — τὸ πάνυ τοῦτο ἄγριον. Toxar. 7: κατὰ τοὺς πολλοὺς τούτους ἀνθρώπους. ebend. 9. S. oben zu 6. — καταβαλών, ablegend. — τὰ πρῶτα, die Hauptperson. c. 55: κολάκων ἐστὶ τὰ πρῶτα. Hipp. 3: ὁ δὲ μηχανικῶν ὢν τὰ πρῶτα. Kr. Gr. §. 43, 4, 14. — μόνος αὐτός, allein für deine Person. Dial. deor. 15, 3. Harmon. 3. u. s. — τόνδε φέρω κτέ. aus Homer. Il. 15, 202. — εἰκὸς ἦν. Wir brauchen hier im Deutschen das Praesens. — αὐτῶν, in Bezug auf das in μισάνθρωπον liegende ἀνθρώπων. Vergl. zu c. 42.

36. ἀλλά häufig zu Anfange einer Antwort, um nachdrücklich zu bejahen, unser nun ja, ei. — τῆς ἐπιμελείας, für euere Sorge.

ΕΡΜ. Τί δή;

ΤΙΜ. Ὅτι καὶ πάλαι μυρίων μοι κακῶν αἴτιος οὗτος κατέστη κόλαξί τε παραδοὺς καὶ ἐπιβούλους ἐπαγαγὼν καὶ μῖσος ἐπεγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ ἄφνω καταλιπὼν οὕτως ἀπίστως καὶ προδοτικῶς· ἡ βελτίστη δὲ Πενία πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα καὶ μετ' ἀληθείας καὶ παρρησίας προσομιλοῦσα τά τε ἀναγκαῖα κάμνοντι παρεῖχε καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμός, ὃν οὔτε κόλαξ θωπεύων οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος παροξυνθείς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος ἐπιβουλεύσας 37 *ἀφελέσθαι δύναιτ' ἄν. 37. ἐρρωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων τὸν ἀγρὸν τουτονὶ φιλοπόνως ἐργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης. ὥστε παλίνδρομος, ὦ Ἑρμῆ, ἄπιθι τὸν Πλοῦτον ἀπάγων τῷ Διί· ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν, πάντας ἀνθρώπους ἡβηδὸν οἰμώζειν ποιῆσαι.*

ΕΡΜ. Μηδαμῶς, ὠγαθέ· οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα καὶ μειρακιώδη καὶ τὸν Πλοῦτον παράλαβε. οὔτοι ἀπόβλητά ἐστι τὰ δῶρα τὰ παρὰ τοῦ Διός.

ΠΛΟΥΤ. Βούλει, ὦ Τίμων, δικαιολογήσομαι πρὸς σέ; ἢ χαλεπαίνεις μοι λέγοντι;

— *τί δή;* wie so denn? weswegen denn? — *καὶ πάλαι*, schon ehedem, *καί* zur Verstärkung von *πάλαι*; ebenso Tox. 16 u. s. — *τέλος*, s. zu I, 6. — *τῶν πολλῶν ἐκείνων*, jenen Ueberfluss; vgl. oben c. 33. — *ἐξ αὐτοῦ ἐμοῦ κτέ.*, s. zu c. 33 *πρὸς αὐτὸν ἀποβλέπων. ἐκ* steht wie *ἀπό* bei den Verb. des Anknüpfens, Abhangenlassen. — *ἐκκλησιαστής*, Redner in der Volksversammlung.

37. *ἄλφιτα*, Lebensunterhalt. — *ἱκανὸν ἦν*, es würde hinlänglich sein, ich würde zufrieden sein. Ebenso *ἐχρῆν* c. 38., *καλῶς εἶχεν, εἰκὸς ἦν, συνέβαινε* u. ähnl. oft; s. Kr. Gr. §. 53, 2, 7. Es ist an kein ausgelassenes *ἄν* zu denken. In Bezug auf das Latein. Zumpt §. 518. — *πάντας ἀνθρώπους ἡβηδόν*, d. i. alle Menschen, die im Mannesalter stehen. Vit. auct. 14: *ἐγὼ δὲ κέλομαι πᾶσιν ἡβηδὸν οἰμώζειν.* Eine bei Historikern nicht seltene Ausdrucksweise. — *τὰ ὀργίλα ταῦτα καὶ μειρακιώδη*, d. i. diese Ausbrüche des Zornes und Muthwillens. — *οὔτοι ἀπόβλητα.* Anspielung auf Hom. Il. 3, 65: *οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.* — *βούλει . . δικαιολογήσομαι.* Nach der att. Redeweise müsste es *δικαιολογήσωμαι* heissen (s. Kr. Gr. §. 54, 2, 3.). Häufig nämlich steht der Conjunctiv

ΤΙΜ. Λέγε, μὴ μακρὰ μέντοι, μηδὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες· ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα διὰ τὸν Ἑρμῆν τουτονί.

38. ΠΛΟΥΤ. Ἐχρῆν μὲν ἴσως καὶ μακρὰ εἰπεῖν πρὸς οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα· ὅμως δὲ ὅρα εἴ τί σε, ὡς φής, ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς καὶ προεδρίας καὶ στεφάνων καὶ τῆς ἄλλης τρυφῆς, περίβλεπτός τε καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα καὶ περισπούδαστος· εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι· μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλες ἀνδράσι καταράτοις ἐπαινοῦσι καὶ καταγοητεύουσι καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι. καὶ τό γε τελευταῖον ἔφησθα, ὡς προδέδωκά σε· τοὐναντίον δ' ἂν αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς οἰκίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλανίδος ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτέθεικεν. ὥστε μάρτυς ὁ Ἑρμῆς οὑτοσί, πῶς ἱκέτευον τὸν Δία μηκέθ' ἥκειν παρὰ σὲ οὕτω δυσμενῶς μοι προσενηνεγμένον. 38

39. ΕΡΜ. Ἀλλὰ νῦν ὁρᾷς, ὦ Πλοῦτε, οἷος ἤδη γεγένη- 39

so interrogativ (soll ich? sollen wir?) mit vorhergehendem βούλει, auch bei Luc., vgl. IV, 9: βούλει ἀκούσωμεν αὐτῶν; u. ö. Indessen findet sich auch das Fut. an Stellen, wo nur durch gewaltsame Aenderung dieser Sprachgebrauch beseitigt werden kann, wie IV, 7: ἀλλὰ βούλει κἀγὼ κατὰ τὸν Ὅμηρον ἐρήσομαί σε; Bis acc. c. 4: ἢ θέλεις ἐς νέωτα παραγγελοῦμεν; Navig. c. 4: ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι ἐς τὸ πλοῖον; Von andern späteren Schriftstellern soll hier gar nicht die Rede sein. — χαλεπαίνεις. Wir gebrauchen in solcher Verbindung auch das Präsens. Nicht nöthig daher χαλεπανεῖς zu schreiben. — ἀνέξομαι γάρ σε λέγοντα, s. zu c. 26.

38. ἐχρῆν, s. vorher zu c. 37. — καὶ μακρά, recht ausführlich. — πρὸς οὕτω κτἑ. Vgl. Pro imag. 16: καὶ μὴν πάνυ μὲν ἔδει μοι μακρῶν τῶν λόγων πρὸς οὕτω σφοδρὰν τὴν κατηγορίαν. — προεδρίας, im Theater und bei Festspielen. — στεφάνων, Ehrenkränze. — περίβλεπτός τε καί. Achte auf das Auffallende der Satzverbindung. — ἐκ τῶν κολάκων. ἐκ für ὑπό gebrauchen Spätere nach dem Vorgange des Herodotos oft bei Passiven und neutralen Verben. Ebenso Eunuch. 3, Cronos. 3: ὁπόσα ἐκ Κλωθοῦς καὶ τῶν ἄλλων Μοιρῶν πάσχετε. Arr. 2, 14, 2: οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. — μᾶλλον δέ, vielmehr, im Gegentheil. — διότι für ὅτι, wie oft bei Luc.; vgl. c. 45. — ὑπέβαλες, preisgegeben hast. — τὸ τελευταῖον, zuletzt; c. 55. — ἐπὶ κεφαλήν, *praeceps*, c. 44 u. ö. — χλανίς, ein feines leichtes Oberkleid. — προσενηνεγμένον. προσφέρεσθαί τινι, sich gegen Jmdn betragen, mit Jmdm umgehen. Phal. 1, 10: φιλανθρώπως προσφέρομαι τοῖς καιροῖς. u. ö.

39. οἷος ἤδη γεγένηται; d. i. wie sehr er sich bereits geändert

ται; ὥστε θαρρῶν ξυνδιάτριβε αὐτῷ· καὶ σὺ μὲν σκάπτε ὡς ἔχεις· σὺ δὲ τὸν Θησαυρὸν ὑπάγαγε τῇ δικέλλῃ· ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι.

ΤΙΜ. Πειστέον, ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε οἱ θεοὶ βιάζοιντο; πλὴν ὅρα γε, ἐς οἷά με πράγματα ἐμβάλλεις τὸν κακοδαίμονα, ὃς ἄχρι νῦν εὐδαιμονέστατα διάγων χρυσὸν ἄφνω τοσοῦτον λήψομαι οὐδὲν ἀδικήσας καὶ τοσαύτας φροντίδας ἀναδέξομαι.

40 40. ΕΡΜ. Ὑπόστηθι, ὦ Τίμων, δι' ἐμέ, καὶ εἰ χαλεπὸν τοῦτο καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι διαρραγῶσιν ὑπὸ τοῦ φθόνου· ἐγὼ δὲ ὑπὲρ τὴν Αἴτνην ἐς τὸν οὐρανὸν ἀναπτήσομαι.

ΠΛΟΥΤ. Ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ· τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν· σὺ δὲ αὐτοῦ περίμενε· ἀναπέμψω γάρ σοι τὸν Θησαυρὸν ἀπελθών· μᾶλλον δὲ παῖε. σέ φημι, Θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳὶ καὶ παράσχες σεαυτὸν ἀνελέσθαι. σκάπτε, ὦ Τίμων, βαθείας καταφέρων. ἐγὼ δὲ ὑμῖν ὑπεκστήσομαι.

41 41. ΤΙΜ. Ἄγε, ὦ δίκελλα, νῦν μοι ἐπίρρωσον σεαυτὴν καὶ μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν Θησαυρὸν ἐς τοὐμφανὲς προ-

hat. — σὺ μέν, Timon. — ὡς ἔχεις, wie du da bist, unverzüglich, *ut* oder *sicut es*. Necyom. 7: ἐπανάγει (με) ἐς τὴν οἰκίαν, ὡς εἶχον, ἀναποδίζοντα. Hermot. 63: σὺ δ' ὡς ἔχεις προχώρει ἐς τὸ πρόσθεν τῆς ὁδοῦ u. ö. — τί γὰρ ἂν καὶ πάθοι τις, denn was soll man wol machen. IV, 2: τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; u. ebenso Necyom. 3. Dial. deor. 20, 9. — πράγματα, Unannehmlichkeiten. — ἄχρι νῦν, bis jetzt, und μέχρι νῦν finden sich erst bei späteren Schriftstellern.

40. δι' ἐμέ, mir zu Gefallen, wie c. 37 zu E. — καὶ εἰ, auch od. selbst wenn, *etiamsi*. — ὅπως κτέ, schliesst an ὑπόστηθι an. Vgl. *invidia rumpantur ut ilia Codro* bei Vergil. διαρραγῆναι unser 'bersten'. — ὑπὸ τοῦ φθόνου, *prae sua invidia*. Ebenso ὑπὸ τῆς αἰσχύνης Rhet. praec. 19. ὑπὸ τῆς ὀδύνης Tox. 61. ὑπὸ τοῦ κρύους Catapl. 20. Bei Aristophanes ö. ὑπὸ τοῦ δέους u. ähnl. Ohne Artikel ὑπὸ φθόνου Dial. mar. 1, 2. Hermot. 63 u. s. — ὑπὲρ τὴν Αἴτνην. Warum in dieser Richtung? Vgl. c. 19. — ὡς δοκεῖ. Warum dieser Zusatz? — τῇ εἰρεσίᾳ τῶν πτερῶν. Ebenso Vergil. Aen. 6, 19: *remigium alarum*. — μᾶλλον δέ. s. zu c. 5. — παράσχες σεαυτὸν ἀνελέσθαι, lass dich. Kr. Gr. §. 55, 3, 20. Vit. auct. 2: πάρεχε σαυτὸν ἀναθεωρεῖν. — βαθείας καταφέρων, näml. τὰς πληγάς. cap. 53: κατοίσω γάρ σοι καὶ τρίτην. Vgl. Kr. Gr. §. 60, 7, 4. — ὑμῖν, Timon u. Thesauros.

41. μὴ κάμῃς . . προκαλουμένη,

καλουμένη. ὦ Ζεῦ τεράστιε καὶ φίλοι Κορύβαντες καὶ Ἑρμῆ κερδῷε, πόθεν τοσοῦτον χρυσίον; ἦ που ὄναρ ταῦτά ἐστι; δέδια γοῦν μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος· ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον, ὑπέρυθρον, βαρὺ καὶ τὴν πρόσοψιν ὑπερήδιστον.

ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς.

αἰθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν. ἐλθέ, ὦ φίλτατε καὶ ἐρασμιώτατε. νῦν πείθομαί γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν· τίς γὰρ οὐκ ἂν παρθένος ἀναπεπταμένοις τοῖς κόλποις ὑπεδέξατο οὕτω καλὸν ἐραστὴν διὰ τοῦ τέγους καταρρέοντα; 42. ὦ Μίδα καὶ Κροῖσε καὶ τὰ ἐν Δελφοῖς ἀναθήματα ὡς οὐδὲν ἄρα ἦτε ὡς πρὸς Τίμωνα καὶ τὸν Τίμωνος πλοῦτον, ᾧ γε οὐδὲ ὁ βασιλεὺς ὁ Περσῶν ἴσος. ὦ δίκελλα καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν· αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιάν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ, μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀποθανὼν ἕξειν μοι 42

ermüde nicht, lass nicht ab, zu . . — *τεράστιε*, so genannt, weil er die Wunderzeichen, als welches hier Timon die Auffindung des Schatzes ansieht, erscheinen lässt. Ein sonst seltenes Beiwort. — *Κορύβαντες*, die Priester der Kybele in Phrygien, welche ihren Dienst mit lärmender Musik und rasenden Gebehrden begingen. Tim. ruft sie an, weil ihm etwas Unerwartetes, so dass er ausser sich kommen könne, zugestossen ist. — *κερδῷε*, s. zu c. 24. — *μὴ ἄνθρακας κτέ.*, auch jetzt noch ein Volksglaube, dass ein gefundener Schatz sich in Kohlen verwandele. — *ἀλλὰ μήν*, aber wahrhaftig. — *ὦ χρυσέ κτέ.* Jambischer Trimeter aus des Euripides Danaë fr. 326 Nauck. — *δεξίωμα*, willkommenes Geschenk. — *αἰθόμενον . . διαπρέπεις* aus Pind. Ol. 1 z. A. — *μεθ' ἡμέραν*, s. zu c. 16. — *Δία γενέσθαι χρυσόν*. Zeus soll sich in der Gestalt eines goldenen Regens der Danaë (s. zu c. 13.) genähert haben.

42. *ὦ Μίδα*, König von Phrygien, bekannt wegen seines Reichthums. — *τὰ ἐν Δελφοῖς ἀναθήματα*. In dem Tempel zu Delphi, der berühmtesten Stadt in Phokis, befanden sich unermessliche Reichthümer, die schon in homerischer Zeit sprichwörtlich waren. — *ὡς οὐδὲν ἄρα ἦτε*, wie seid ihr doch nichts. So steht oft *ἦν*, besonders mit *ἄρα*, scheinbar für das Präsens, um anzudeuten, dass man die Wahrheit des Satzes früher nicht erkannt habe, jetzt aber einsehe (Kr. Gr. §. 53, 2, 6.). Conviv. 34: *οὐδὲν ὄφελος ἦν αρα ἐπίστασθαι τὰ μαθήματα.* — *ὡς πρὸς Τίμ.*, s. zu c. 15. — *τῷ Πανὶ τούτῳ*, diesem Pan, d. i. dieser Bildsäule des Pan, die sich dort befand. Es war Sitte bei den Alten, dass, wenn Jemand seine frühere Beschäftigung änderte, er die Abzeichen derselben dem Gotte weihte, der derselben vorstand. — *ἐσχατιά*, ein von der Stadt entlegenes Landstück am Meeresufer, hier bei Halä. — *πυργίον*. Pausanias 1, 30 erwähnt dieses Thurmes. — *τὸν αὐτόν* bezieht sich nur dem Sinne nach auf

δοκῶ. δεδόχθω δὲ ταῦτα καὶ νενομοθετήσθω πρὸς τὸν ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας καὶ ἀγνωσία καὶ ὑπεροψία· φίλος δὲ ἢ ξένος ἢ ἑταῖρος ἢ Ἐλέου βωμὸς ὕθλος πολύς· καὶ τὸ οἰκτεῖραι δακρύοντα ἢ ἐπικουρῆσαι δεομένῳ παρανομία καὶ κατάλυσις τῶν ἐθῶν· μονήρης δὲ ἡ δίαιτα καθάπερ τοῖς λύκοις, καὶ φίλος εἷς Τίμων. 43. οἱ δὲ ἄλλοι πάντες ἐχθροὶ καὶ ἐπίβουλοι· καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν μίασμα· καὶ ἤν τινα ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα· καὶ ὅλως ἀνδριάντων λιθίνων ἢ χαλκῶν μηδὲν ἡμῖν διαφερέτωσαν· καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν μήτε σπονδὰς σπενδώμεθα· ἡ ἐρημία δὲ ὅρος ἔστω πρὸς αὐτούς. φυλέται δὲ καὶ φράτερες καὶ δημόται καὶ ἡ πατρὶς αὐτὴ ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα. πλουτείτω δὲ Τίμων μόνος καὶ ὑπεροράτω ἁπάντων καὶ τρυφάτω μόνος καθ' ἑαυτὸν κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος· καὶ θεοῖς θυέτω καὶ εὐωχείσθω μόνος, ἑαυτῷ γείτων καὶ ὅμορος, ἐκσείων τὰ τῶν ἄλλων. καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω, ἢν δέῃ ἀποθανεῖν, καὶ αὑτῷ στέφανον ἐπενεγκεῖν. 44. καὶ ὄνομα μὲν ἔστω ὁ Μισάνθρωπος ἥδιστον, τοῦ τρόπου δὲ γνωρίσματα δυσκολία καὶ τραχύτης καὶ σκαιότης καὶ ὀργὴ καὶ ἀπανθρωπία· εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ διαφθειρόμενον καὶ κατασβεννύναι ἱκετεύοντα, πίττῃ καὶ ἐλαίῳ κατασβεννύναι· καὶ ἤν

πυργίον = πύργον; Art Attraction. Dial. mort. 28, 2: οὐ γὰρ ἀκήκοας τῆς Εὐριπίδου Μηδείας, οἷα εἶπεν οἰκτείρουσα τὸ γυναικεῖον, ὡς ἀθλίας οὔσας (näml. τὰς γυναῖκας) καὶ κτέ. vgl. ebend. 15, 2 u. ö. — ἔξειν μοι δοκῶ, s. zu c. 34. — ταῦτα bezieht sich auf das Folgende ἀμιξία u. s. w. — Ἐλέου βωμός. Dieser Altar des Mitleids befand sich auf dem Markte von Athen und war uralt. Vgl. Bis acc. 21. Demon. 57. Paus. 1, 17, 1. — ὕθλος πολύς, lauter Possen. — τοῖς λύκοις, vgl. Saturn. 34.

43. μόνον gehört zu ἴδω. — ἀποφρὰς ἡ ἡμέρα, Unglückstag, *dies nefastus*. — καὶ ὅλως, s. zu I, 10. — σπονδὰς σπενδώμεθα, s. zu c. 48. — φυλέται, Mitglieder derselben φυλή, einer Volksabtheilung, *tribus*, deren es anfangs vier, dann zehn gab; φράτερες, Mitglieder derselben φρατρία, deren drei eine φυλή bildeten; δημόται Mitglieder desselben δῆμος, deren mehrere zu einer φυλή gehörten. — μόνος καθ' ἑαυτόν, allein für sich. — τὰ τῶν ἄλλων. Diese Ausdrucksweise bezeichnet den Begriff selbst mit Allem was dazu gehört. — καὶ ἅπαξ δεδ., und ein für allemal sei beschlossen. — ἑαυτὸν δεξιώσασθαι, sich selbst die Hand zum Abschiede reichen. Ebenso steht das Wort bei Xen. Cyr. 8, 7, 28. — στέφανον ἐπενεγκεῖν. Es war Sitte den Todten, gleichsam als Siegern, einen Kranz aufzusetzen. ἐπιφέρειν, in der Bed., 'aufsezzen' erst bei Späteren; gerade so wie hier bei Plut. Pericl. 36 z. E.

44. κατασβεννύναι und ὠθεῖν

τινα τοῦ χειμῶνος ὁ ποταμὸς παραφέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων ἀντιλαβέσθαι δέηται, ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν βαπτίζοντα, ὡς μηδὲ ἀνακῦψαι δυνηθείη· οὕτω γὰρ ἂν τὴν ἴσην ἀπολάβοιεν. εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδου Κολλυτεύς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός. εἶεν, ταῦτα ἡμῖν δεδόχθω καὶ ἀνδρικῶς ἐμμένωμεν αὐτοῖς. 45. πλὴν ἀλλὰ περὶ πολλοῦ ἂν ποιησαίμην ἅπασι γνώριμά πως ταῦτα γενέσθαι, διότι ὑπερπλουτῶ· ἀγχόνη γὰρ ἂν τὸ πρᾶγμα γένοιτο αὐτοῖς. καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους. πανταχόθεν συνθέουσι κεκονιμένοι καὶ πνευστιῶντες, οὐκ οἶδα ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. πότερον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος, ἢ τό γε τοσοῦτον παρανομήσωμεν εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῷντο ὑπερορώμενοι; τοῦτο οἶμαι καὶ ἄμεινον. ὥστε δεχώμεθα ἤδη αὐτοὺς ὑποστάντες. φέρ' ἴδω, τίς ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ πρῴην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. ἀλλ' εὖ γε ἐποίησεν ἀφικόμενος· οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων. 45

hängen noch von δεδόχθω ab. — τοῦ χειμῶνος, zur Winterzeit. Catapl. 15: ῥιγοῦν τοῦ χειμῶνος u. ö. — τὴν ἴσην näml. μοῖραν. Vgl. ἐπ' ἴσης, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ u. a. — εἰσηγήσατο, hat beantragt, eingebracht. — Ἐχεκρατίδου, ohne Artikel ὁ Ἐχ. So besonders in Beschlüssen und Staatsschriften. Vgl. Kr. Gr. §. 47, 5, 4. — ἐπιψηφίζειν, abstimmen lassen, zur Abstimmung vorlegen. Dieses war Sache des Vorsitzenden (ἐπιστάτης), später mehrerer (πρόεδροι). Komisch vereinigt hier Timon die Person des Antragstellers u. Vorsitzenden in sich. — τῇ ἐκκλησίᾳ. Derselbe Dativus steht bei ἐπιψηφίζειν bei Diog. Laert. 7, 10. Regelmässig sagt man ἐπιψηφίζειν τινά. — εἶεν, nun gut.

45. περὶ πολλοῦ ἂν ποιησαίμην, ich würde viel darum geben; ἐποιησάμην, was bisher hier stand, bedeutet: ich hätte viel darum gegeben. περὶ πολλοῦ ποιεῖσθαι, über d. i. höher als Vieles schätzen; Kr. Gr. §. 68, 31, 5. — ταῦτα zu beziehen auf διότι ὑπερπλουτῶ. So öfter ταῦτα in Bezug auf einen einfachen Satz. — ἀγχόνη κτέ. d. i., würde ihnen den Hals zuschnüren. Ebenso βρόχος Pseudol. 19. — φεῦ τοῦ τάχους, s. zu c. 7. — οὐκ οἶδα ὅθεν oft so mitten in der Rede ausser der Construction, Tox. 33.; s. zu I, 18. — τοῦ χρυσίου. Pisc. 48: ὀσφρᾶται τοῦ χρυσίου. — ἀπελαύνω, soll ich forttreiben. — τοῖς λίθοις, s. zu c. 34. — ἐξ ὑπερδεξίων, von einem höher gelegenen Standpunkte aus. — τό γε τοσοῦτον, in soweit. — εἰσάπαξ, nur einmal. — ἀνιῷντο. Man sollte ἀνιῶνται erwarten; aber bei Luc. nicht zu ändern. — Γναθωνίδης. Ein in der neueren Comödie oft vorkommender Parasitenname ist Γνάθων. — ἐμημεκώς, komisch; dafür hätte man ἐκπεπωκώς erwartet. — εὖ γε ἐπ. ἀφικ., s. zu c. 30.

46 46. ΓΝΑΘ. Οὐκ ἐγὼ ἔλεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς οἱ θεοί; χαῖρε Τίμων εὐμορφότατε καὶ ἥδιστε καὶ συμποτικώτατε.

ΤΙΜ. Νὴ Δία καὶ σύ γε, ὦ Γναθωνίδη, γυπῶν ἁπάντων βορώτατε καὶ ἀνθρώπων ἐπιτριπτότατε.

ΓΝΑΘ. Ἀεὶ φιλοσκώμμων σύ γε. ἀλλὰ ποῦ τὸ συμπόσιον; ὡς καινόν τί σοι ᾆσμα τῶν νεοδιδάκτων διθυράμβων ἥκω κομίζων.

ΤΙΜ. Καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ ταύτῃ τῇ δικέλλῃ.

ΓΝΑΘ. Τί τοῦτο; παίεις, ὦ Τίμων; μαρτύρομαι· ὦ Ἡράκλεις, ἰοὺ ἰού, προσκαλοῦμαί σε τραύματος εἰς Ἄρειον πάγον.

ΤΙΜ. Καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προσκεκλήσομαι.

ΓΝΑΘ. Μηδαμῶς· ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι μικρὸν ἐπιπάσας τοῦ χρυσίου· δεινῶς γὰρ ἰσχαιμόν ἐστι τὸ φάρμακον.

ΤΙΜ. Ἔτι γὰρ μένεις;

ΓΝΑΘ. Ἄπειμι· σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος.

47 47. ΤΙΜ. Τίς οὗτός ἐστιν ὁ προσιών, ὁ ἀναφαλαντίας; Φιλιάδης, κολάκων ἁπάντων ὁ βδελυρώτατος. οὗτος δὲ ἀγρὸν ὅλον παρ' ἐμοῦ λαβὼν καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα, μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με πάντων σιωπώντων μό-

46. καὶ σύ γε, näml. χαῖρε. — διθυράμβων. Eine Gattung der lyrischen Poesie im kühnsten und erhabensten, später sogar schwülstigen Stil, ausgezeichnet durch besondere Freiheit im Versmass. Gegenstand derselben war das Lob des Dionysos, später auch anderer Götter. Ursprünglich war der Dith. antistrophisch, dann monostrophisch, und wurde auch namentlich bei Gelagen gesungen. — ἐλεγεῖον hier = ἔλεγος, Klagelied. — περιπαθῶς, in heftiger Gemüthsbewegung. — ὑπό, unter Begleitung. — προσκαλοῦμαί σε τραύματος εἰς, ich klage dich der Verwundung an vor ..; vgl. Vit. auct. 7. — Ἄρειον πάγον. Der höchste Gerichtshof in Athen, der über Verwundungen, vorsätzlichen Mord, Brandstiftung und Giftmischerei erkannte. — ἐπιβραδύνῃς. Vielleicht ἔτι βραδύνῃς, wie ich zuerst vorgeschlagen habe. — προσκεκλήσομαι, nicht = προσκληθήσομαι, sondern von einer unverzüglich oder unfehlbar als abgeschlossen bevorstehenden Folge (Kr. Gr. §. 53, 9, 3.). — οὐ χαιρήσεις . . γενόμενος, du sollst dich nicht freuen, es soll dir übel bekommen, dass u. s. w. Jup. conf. 6: πλὴν οὐ χαιρήσουσί γε τὰ τοιαῦτα διεξιόντες.

νος ὑπερεπῄνεσεν ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὴ νοσοῦντα πρῴην εἶδέ με καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινεν.

48. ΦΙΛ. Ὢ τῆς ἀναισχυντίας. νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὗτος ἀχάριστος ὤν. ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις καὶ ξυνέφηβοι καὶ δημόται ὅμως μετριάζομεν, ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. χαῖρε, ὦ δέσποτα, καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν διαφέροντας. οὐκέτι πιστευτέα τῶν νῦν οὐδενί· πάντες ἀχάριστοι καὶ πονηροί. ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ᾽ ὁδὸν ἤδη πλησίον ἤκουσα, ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον. ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων· καίτοι σύ γε οὕτω σοφὸς ὢν οὐδὲν ἴσως δεήσῃ τῶν παρ᾽ ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν. 48

ΤΙΜ. Ἔσται ταῦτα, ὦ Φιλιάδη. πλὴν ἀλλὰ πρόσιθι· καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ.

ΦΙΛ. Ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν.

47. τῶν κύκνων. Die Sage von singenden Schwänen ist durch das ganze Alterthum verbreitet. — ὁ γενναῖος, s. zu c. 22.

48. ὦ τῆς ἀναισχυντίας, s. zu c. 7. — ὅμως, dennoch, gleichwohl, obschon wir mehr Recht dazu hätten. — ἐπιπηδᾶν, daraufzuspringen, zudringlich sein. — ὅπως — φυλάξῃ, dass du dich hütest, hüte dich ja. Conviv. 5: ἀλλ᾽ ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς. III, 5: ὅπως ὡς δεινότατα κατηγορήσεις μηδὲ καθυφήσῃ τι τῶν δικαίων. — τοὺς μιαρ. τούτ. κόλ., s. zu c. 6. — τοὺς ἐπὶ τῆς τραπέζης μόνον, näml. φίλους ὄντας. Eine solche Sprechweise hat im Dialog nichts Auffälliges. — οὐδέν, in nichts. — πιστευτέα. Neutrum des Plur. der Verbalia auf τέος für den Singular. Lexiphan. 2: καὶ ἤδη γε ἀπιτητέα. 20: βοηθητέα τῷ ἀνδρί. Oft findet sich dieser Sprachgebrauch bei Thukydides. — τὰ κατεπείγοντα, die dringendsten Bedürfnisse. — καθ᾽ ὁδόν, unterwegs. — πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον, ebenso III, 15., s. zu IV, 11. Dagegen steht oben cap. 43 ohne nähere Bestimmung σπονδὰς σπενδώμεθα, weil der Plural gebraucht ist; vgl. Kr. Gr. §. 46, 5, 2. — ταῦτα bezieht sich auf die Rathschläge, die nun folgen sollten, die aber Philiades weglässt, da Timon ein so weiser Mann sei. — οὐδὲν δεήσῃ τῶν κτέ., Icarom. c. 14: καὶ μὴν οὐδέν γε ἐμοῦ δεήσει. — Νέστορι. Fürst von Pylos, der weiseste und älteste unter den Helden vor Troja, denen er stets mit seinem Rathe beistand. — καὶ σέ, auch dich. — κατέαγα τοῦ κρανίου, partitiver Genetiv. IV, 5: ξυντριβέντες τῶν κρανίων. Aristoph.

49 49. ΤΙΜ. Ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων. οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει — κατεδεδίκαστο γὰρ καὶ ἐδέδετο οὐκ ἀποδιδούς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτόν — ἐπειδὴ πρῴην ἔλαχε τῇ Ἐρεχθηΐδι φυλῇ διανέμειν τὸ θεωρικὸν κἀγὼ προσῆλθον αἰτῶν τὸ γινόμενον, οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με.

50 50. ΔΗΜ. Χαῖρε, ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα τῆς Ἑλλάδος· καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος καὶ αἱ βουλαὶ ἀμφότεραι περιμένουσι. πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα· „Ἐπειδὴ Τίμων [ὁ] Ἐχεκρατίδου Κολλυτεύς, ἀνὴρ „οὐ μόνον καλὸς κἀγαθός, ἀλλὰ καὶ σοφὸς ὡς οὐκ ἄλλος ἐν „τῇ Ἑλλάδι, παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράτ- „των τῇ πόλει, νενίκηκε δὲ πὺξ καὶ πάλην καὶ δρόμον ἐν

pax. 71: ξυνετρίβη τῆς κεφαλῆς. Vgl. Kr. Gr. §. 47, 15, 6.
49. οὗτος, deiktisch. — παρ' ἐμοῦ, d. i. aus meinem Beutel. Toxar. 22: ὁπόσην ἂν πλείστην (προῖκα) ἐπιδοῦναι παρ' αὐτοῦ δύνηται. Phal. 2, 13: ἀναλίσκοντα καὶ καταδαπανῶντα παρ' αὑτοῦ. Ebenso im Latein. *solvere* oder *numerare ab aliquo*. — ἐλυσάμην, ich befreite ihn mit meinem Gelde. — τῇ Ἐρεχθηΐδι φυλῇ. Luc. macht sich einer Unrichtigkeit schuldig; denn der δῆμος Κολλυτός gehörte zur ägeïschen Phyle. — τὸ θεωρικόν. Darunter ist das Geld zu verstehen, welches seit Perikles aus dem Schatze unter das Volk vertheilt wurde, theils um ihm das Eintrittsgeld ins Schauspiel zu erstatten, theils zu Opfern, womit eine öffentliche Speisung verbunden war. Demosthenes schaffte dasselbe 339 v. Chr. wieder ab. — τὸ γινόμενον, meinen Antheil. — οὐκ ἔφη, *negavit*, er erklärte, dass er nicht. Der Grieche negirt das Verbum des Hauptsatzes, der Deutsche das des Nebensatzes. — πολίτην ὄντα με. Nur ein Bürger konnte Theil daran haben.

50. τὸ μέγα ὄφελος, du grosser Förderer. Ebenso nennt Aeschin. de fals. leg. 24 ironisch den Demosthenes τὸ μέγα ὄφελος τῆς πόλεως. — τὸ ἔρεισμα τῶν Ἀθ. Ebenso Pindar. von Athen: αἱ λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθᾶναι. — τὸ πρόβλημα, du Schutzwehr, Vormauer. — καὶ μήν, wahrlich. — αἱ βουλαὶ ἀμφότεραι, der Rath des Areiopagos u. der der Fünfhundert. — ὑπὲρ σοῦ, zu deinen Gunsten. — ὁ Ἐχεκρατίδου. Oben c. 44 ohne Artikel, und so meistentheils bei den Rednern in Beschlüssen und Staatsschriften ohne denselben. — παρὰ πάντα χρόνον, neben aller Zeit hin, während . ., jederzeit. So παρὰ τὸν βίον IV, 18 u. ö. — διατελεῖ . . πράττων, fortwährend thut. διατελεῖ τὰ ἄρ. πράττων gewöhnliche Formel in Volksdecreten von Männern, die sich um den Staat verdient gemacht haben. — νενίκηκε πάλην, im Ringkampf. Für ἐν Ὀλυμπίᾳ wäre es sprachgemässer Ὀλύμπια, wie c. 53: νενικηκὼς Ὀλύμπια πὺξ καὶ πάλην. Vgl. IV, 17. Ebenso im Latein. *vincere Olympia*.

„Ὀλυμπίᾳ μιᾶς ἡμέρας καὶ τελείῳ ἅρματι καὶ συνωρίδι πω-
„λικῇ —"

ΤΙΜ. Ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς Ὀλυμπίαν.

ΔΗΜ. Τί οὖν; θεωρήσεις ὕστερον· τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον. „καὶ ἠρίστευσε δὲ ὑπὲρ τῆς πόλεως „πέρυσι πρὸς Ἀκαρνᾶνας καὶ κατέκοψε Πελοποννησίων δύο „μόρας —"

51. ΤΙΜ. Πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα οὐδὲ προυγράφην ἐν τῷ καταλόγῳ. 51

ΔΗΜ. Μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες. „ἔτι δὲ καὶ ψηφίσματα γράφων καὶ „ξυμβουλεύων καὶ στρατηγῶν οὐ μικρὰ ὠφέλησε τὴν πόλιν· „ἐπὶ τούτοις ἅπασι δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ καὶ τῇ „Ἡλιαίᾳ κατὰ φυλὰς καὶ τοῖς δήμοις ἰδίᾳ καὶ κοινῇ πᾶσι χρυ-„σοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκρο-„πόλει κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα καὶ ἀκτῖνας ἑπτὰ ἐπὶ τῇ „κεφαλῇ καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφάνοις καὶ ἀνακη-„ρυχθῆναι τοὺς στεφάνους τήμερον Διονυσίοις τραγῳδοῖς

— *τελείῳ ἅρματι*, d. i. mit einem Viergespann von ausgewachsenen Pferden im Gegensatz zu *συνωρὶς πωλική*, d. i. einem Zweigespann. — *ἐθεώρησα εἰς Ὀλυμπίαν*, als Zuschauer nach Ol. reisen. Arist. vesp. 1188: *ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ πλὴν ἐς Πάρον*. Thucyd. 3, 104. — *τί οὖν*; was macht das aus? was thut's? — *προσκεῖσθαι*, hinzugefügt sein, =Perfect. pass. von *προστιθέναι*. — *καὶ . . δέ*, s. oben zu c. 33. — *πρὸς Ἀκαρνᾶνας*. Akarnaner kämpften im peloponnesischen Kriege oft auf Seiten der Lakedämonier gegen die Athenäer. — *μόρα*, eine Abtheilung des spartanischen Heeres, bestehend aus 500 bis 900 Mann.

51. *ἐν τῷ καταλόγῳ*, in dem Verzeichniss der waffenfähigen Bürger. — *οὐ μικρὰ ὠφέλησε*, s. zu IV, 20. — *ἐπὶ τούτοις ἅπασι*, *ob haec omnia*. — *τῇ βουλῇ*, Rath der Fünfhundert. — *τῇ Ἡλιαίᾳ*, das höchste Volksgericht in Athen, das aus 6000 Bürgern bestand. Dieses hatte aber bei derartigen Dingen nichts zu thun; ebenso wenig die Phylen und Demen. Alles dieses ist eine lächerliche Uebertreibung des Demeas. Dasselbe gilt auch vom Folgenden, wo des Zeus und Apollon Bildsäulen in die eine des Timon vereinigt werden. — *χρυσοῦν ἀναστῆσαι τὸν Τίμ.*, dem T. eine goldene Bildsäule setzen. Anachars. 17: *καὶ χαλκοῦν αὐτὸν ἀναστήσατε*. De morte Peregr. 27: *χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων*. Ebenso im Latein., Horat. *aeneus ut stes*. — *ἐπὶ τῇ κεφαλῇ*, wir ebenso ungenau: auf dem Haupte. — *χρυσοῖς στεφάνοις*. Es war bekanntlich Sitte zu Athen, Bürger, welche grosse Verdienste um den Staat hatten, mit einem goldenen Kranze (früher von Oelzweigen) zu beehren. — *ἀνακηρυχθῆναι*, durch den Herold im Theater an den Dionysien. Ausserdem sind hier die grossen Dionysien zu verstehen, welche innerhalb der Stadt im Monat Elaphebolion (März)

„καινοῖς· — ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ Διονύ-
„σια — εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ, συγγενὴς αὐτοῦ
„ἀγχιστεὺς καὶ μαθητὴς ὤν· καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων
52 „καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλῃ.“ 52. τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. ἐγὼ δὲ καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρὰ σέ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα.

ΤΙΜ. Πῶς, ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς εἰδέναι;

ΔΗΜ. Ἀλλὰ γαμῶ, ἢν διδῷ θεός, ἐς νέωτα καὶ παιδοποιήσομαι καὶ τὸ γεννηθησόμενον — ἄρρεν γὰρ ἔσται — Τίμωνα ἤδη καλῶ.

ΤΙΜ. Οὐκ οἶδα, εἰ γαμήσεις ἔτι, ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων.

ΔΗΜ. Οἴμοι, τί τοῦτο; τυραννίδι, Τίμων, ἐπιχειρεῖς καὶ τύπτεις τοὺς ἐλευθέρους οὐ καθαρῶς ἐλεύθερος οὐδ' ἀστὸς ὤν; ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην τά τε ἄλλα καὶ ὅτι τὴν ἀκρόπολιν ἐνέπρησας.

53 53. ΤΙΜ. Ἀλλ' οὐκ ἐμπέπρησται, ὦ μιαρέ, ἡ ἀκρόπολις· ὥστε δῆλος εἶ συκοφαντῶν.

ΔΗΜ. Ἀλλὰ καὶ πλουτεῖς τὸν ὀπισθόδομον διορύξας.

ΤΙΜ. Οὐ διώρυκται οὐδὲ οὗτος· ὥστε ἀπίθανά σου καὶ ταῦτα.

gefeiert wurden. — τραγῳδοῖς καινοῖς, bei Aufführung der neuen Tragödien, Dativ zur Zeitangabe; Kr. Gr. §. 48, 2, 1. Vgl. Cic. ad Att. 1, 16, 12: *ludis et gladiatoribus*. — ἀχθῆναι κτέ., lächerliche Schmeichelei. — συγγενὴς ἀγχιστεύς unattische Verbindung, συγγ. und ἀγχ. sind verschieden. — καὶ γάρ, denn auch, *nam etiam*, καί gehört zu ῥήτ. ἄρ.

52. ὅσα γε καὶ ἡμᾶς εἰδέναι, so viel wenigstens auch wir wissen. Jup. trag. 10: ὅσα γε κἀμὲ ὁρᾶν. Hermot. init.: ὅσον τῷ βιβλίῳ τεκμήρασθαι. — ἐς νέωτα, über's Jahr, *in annum*. — γαμήσεις, unattische Form für γαμεῖς, die sich auch sonst bei Luc. findet. — ὦ οὗτος, *heus tu*, mein Lieber. — λαμβάνων, wenn du empfängst. — τυραννίδι ἐπιχειρεῖς, *regnum appetis*. Mit Absicht erhebt Demeas diese Beschuldigung bei den freiheitsliebenden Athenäern. — οὐ καθαρῶς ἐλεύθερος, dessen Vater oder Mutter im Sklavenstande, οὐ καθ. ἀστός, dessen Vater oder Mutter nicht aus Athen ist. — τὴν δίκην, die verdiente, gebührende Strafe. Dieses die Bedeutung des Artikels. Vgl. Catapl. 26. Pisc. 27 u. ö. — τά τε ἄλλα καὶ ὅτι, *et aliis de causis et quod*.

53. δῆλος εἶ συκοφαντῶν, es ist offenbar, dass du. Vgl. IV, 21. und zu IV, 22. — τὸν ὀπισθόδομον, die Nachzelle eines Athenatempels, wahrscheinlich des Parthenons, auf der Burg zu Athen, welche als Schatzkammer diente. — διώρυκται unattisch für διορώρυκται. — ἀπίθανά σου

ΔΗΜ. Διορυχθήσεται μὲν ὕστερον· ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις.

ΤΙΜ. Οὐκοῦν καὶ ἄλλην λάμβανε.

ΔΗΜ. Οἴμοι τὸ μετάφρενον.

ΤΙΜ. Μὴ κέκραχθι· κατοίσω γάρ σοι καὶ τρίτην· ἐπεὶ καὶ γελοῖα πάμπαν ἂν πάθοιμι δύο μὲν Λακεδαιμονίων μόρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας· μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς Ὀλύμπια πὺξ καὶ πάλην. 54. *ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος· ἐκπετάσας γοῦν τὸν πώγωνα καὶ τὰς ὀφρῦς ἀνατείνας καὶ βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας τις ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν. οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς καὶ κόσμιος τὸ βάδισμα καὶ σωφρονικὸς τὴν ἀναβολὴν ἕωθεν μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν, ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον καὶ ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ — τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα — καθάπερ τὸ Λήθης ὕδωρ ἐκπιὼν ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις προαρπάζων ὥσπερ ἴκτινος τὰ ὄψα καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος, ἐπικεκυφώς, καθάπερ ἐν ταῖς λοπάσι* 54

καὶ ταῦτα. Piscat. 24: *γενναῖά σου ταῦτα.* Vit. auct. 23: *γενναῖά σου ταῦτα καὶ δεινῶς ἀνδρικά.* u. ö. Ebenso im Latein., Nep. VIII, 3: ***praeclarum hoc quoque Thrasybuli, quod*** . . Kr. Gr. §. 47, 10, 2. — *ἄλλην*, näml. *πληγήν*; ebenso im Folg. bei *τρίτην*.
54. *οὐ μὲν οὖν ἄλλος*, wahrlich kein anderer; oft bei Luc. — *τὰς ὀφρῦς ἀνατείνας*, als Zeichen des Stolzes. Catapl. 4. Ebenso *τὰς ὀφρῦς ἐπαίρειν*. — *βρενθυόμενός τι πρὸς αὑτόν* prägnand: ***superbe aliquid secum reputans.*** — *τιτανῶδες βλέπων*, furchtbar wie ein Tit. blikkend. Nigr. 11: *δεινὸν βλέποντες.* Icar. 23: *τιτανῶδες εἰς ἐμὲ ἀπιδών.* Catapl. 22: *φοβερόν τι καὶ ἀπειλητικὸν προσβλέπουσα.* u. ö. — *ἀνασεσοβημένος τὴν κόμην*, mit aufgesträubtem Haar. — *Αὐτοβορέας τις*, ein leibhaftiger Boreas. *τὶς* dient zur Bezeichnung der Aehnlichkeit. Herc. 1: *Χάρωνα ἢ Ἰαπετόν τινα.* u. ö. — *Τρίτων*, Sohn des Poseidon und der Amphitrite, ein Meergott. — *Ζεῦξις*, berühmter Maler aus Herakleia zur Zeit des peloponnesischen Krieges. — *τὸ σχῆμα εὐσταλής*, einfach im Aeussern. Piscat. 12. — *μυρία ὅσα*, wunder wie vieles. Ebenso *μυρία ὅσα* Bis accus. 3. *ὀλίγον ὅσον* Prom. 12. Jup. trag. 8. — *τὸ ὀλιγαρκές*, die Genügsamkeit. — *ἀφίκοιτο* . . *ὀρέξειεν.* Warum der Optativ? — *τῷ ζωροτέρῳ*, reinerer, stärkerer Wein, d. i. Wein, der mit weniger Wasser, als gewöhnlich, gemischt ist. — *ἐμφορού-*

τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι,
55 55. μεμψίμοιρος ἀεί, κἂν τὸν πλακοῦντα ὅλον ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβῃ, ὅ τι περ λιχνείας καὶ ἀπληστίας ὄφελος, μέθυσος καὶ πάροινος, οὐκ ἄχρι ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας καὶ ὀργῆς. προσέτι καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι, τότε δὴ καὶ μάλιστα, περὶ σωφροσύνης καὶ κοσμιότητος· καὶ ταῦτά φησιν ἤδη ὑπὸ τοῦ ἀκράτου πονηρῶς ἔχων καὶ ὑποτραυλίζων γελοίως· εἶτα ἔμετος ἐπὶ τούτοις· καὶ τὸ τελευταῖον ἀράμενοί τινες ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ συμποσίου τῆς αὐλητρίδος ἀμφοτέραις ἐπειλημμένον. πλὴν ἀλλὰ καὶ νήφων οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα ἢ θρασύτητος ἢ φιλαργυρίας· ἀλλὰ καὶ κολάκων ἐστὶ τὰ πρῶτα καὶ ἐπιορκεῖ προχειρότατα, καὶ ἡ γοητεία προηγεῖται καὶ ἡ ἀναισχυντία παρομαρτεῖ, καὶ ὅλως πάνσοφόν τι χρῆμα καὶ πανταχόθεν ἀκριβὲς καὶ ποικίλως ἐντελές. οἰμώξεται τοιγαροῦν οὐκ εἰς μακρὰν χρηστὸς ὤν. τί τοῦτο; παπαῖ, χρόνιος ἡμῖν Θρασυκλῆς.

56 56. ΘΡΑΣ. Οὐ κατὰ ταὐτά, ὦ Τίμων, τοῖς πολλοῖς τού-

μενος, sich voll fressend. Vgl. mit dieser Stelle Piscat. 34. Nigr. 25. — ἐπικεκυφώς, über die Schüssel gebückt. — καταλίποι, s. zu I, 4.

55. μεμψίμοιρος, unzufrieden mit seinem Theil. — μόνος τῶν ἄλλων, allein unter allen im Gegensatz zu den übrigen; Kr. Gr. §. 47, 28, 10. — ὅτι περ — ὄφελος. Diese Worte beziehen sich auf den vorhergehenden ganzen Satz; wenn er den ganzen Kuchen oder das Schwein allein bekommt, ist er immer noch unzufrieden, und das ist eben die Hauptsache oder das Höchste seiner Schlemmerei und Unersättlichkeit. ὄφελος ist hier wie oft: das Höchste, Beste, der Kern. — μέθυσος, nach den Vorschriften der alten Gramm. nur von Weibern. — πάροινος, in der Trunkenheit frech. — οὐχ ἄχρι ᾠδῆς, d. i. nicht bloss bis zum Grade dass er singt. — ἐπὶ τῇ κύλικι, seltner ἐπὶ τῆς κύλικος, wie Pisc. 34. — τότε δὴ καὶ μάλιστα, *tunc nimirum vel maxime.* — τῆς αὐλητρίδος Eine Person, die beim hellenischen Gastmahle nicht fehlte. — ἀμφοτέραις, näml. χερσί. Vergl. ἀμφοτέροις cap. 20. — οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἄν. Tyrannic. 5: ὁ νεανίας τῆς τιμῆς παρεχώρει ἐκείνῳ. — ἕνεκα, in Ansehung, in Betreff. Pseudol. 4. De dips. z. E. u. s. — τὰ πρῶτα, s. zu c. 35. — καὶ ὅλως, s. zu I, 10. — χρῆμα, Geschöpf, oft von Menschen. Dial. mar. 6, 1: παρθένος, πάγκαλόν τι χρῆμα. Adv. ind. 26 u. ö. — ποικίλως ἐντελές, d. i. ein vollendetes Chamäleon. — οὐκ εἰς μακράν, s. zu I, 1. — τί τοῦτο; Mit diesen Worten redet Timon den Thrasykles an, der bereits herankommt und die letzten beiden Worte χρηστὸς ὤν schon gehört haben konnte. — παπαῖ, ei ei. — χρόνιος, spät, endlich.

56. κατὰ ταὐτά, in derselben Art oder Absicht, davon ab-

τοις ἀφῖγμαι, ὥσπερ οἱ τὸν πλοῦτόν σου τεθηπότες ἀργυρίου καὶ χρυσίου καὶ δείπνων πολυτελῶν ἐλπίδι συνδεδραμήκασι πολλὴν τὴν κολακείαν ἐπιδειξόμενοι πρὸς ἄνδρα οἷον σὲ ἁπλοϊκὸν καὶ τῶν ὄντων κοινωνικόν· οἶσθα γὰρ ὡς μᾶζα μὲν ἐμοὶ δεῖπνον ἱκανόν, ὄψον δὲ ἥδιστον θύμον ἢ κάρδαμον ἢ εἴ ποτε τρυφῴην, ὀλίγον τῶν ἁλῶν· ποτὸν δὲ ἡ ἐννεάκρουνος· ὁ δὲ τρίβων οὗτος ἧς βούλει πορφυρίδος ἀμείνων. τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ. σοῦ δὲ αὐτοῦ χάριν ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος· εἰ γάρ μοι πείθοιο, μάλιστα μὲν ὅλον ἐς τὴν θάλατταν ἐμβαλεῖς αὐτὸν οὐδὲν ἀναγκαῖον ἀνδρὶ ἀγαθῷ ὄντι καὶ τὸν φιλοσοφίας πλοῦτον ὁρᾶν δυναμένῳ· μὴ μέντοι ἐς βάθος, ὠγαθέ, ἀλλ' ὅσον ἐς βουβῶνας ἐπεμβὰς ὀλίγον πρὸ τῆς κυματωγῆς, ἐμοῦ ὁρῶντος μόνου· 57. εἰ δὲ μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον ἀμείνω (57) κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ τῆς οἰκίας μηδ' ὀβολὸν αὑτῷ ἀνεὶς, διαδιδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμάς,

hängig der Dativ τοῖς πολλοῖς τούτοις. Alex. 7: γάλα πίνειν ἀπὸ θηλῆς κατὰ ταὐτὰ τοῖς βρέφεσι. u. s. — ὥσπερ οἱ κτέ. Diese Worte enthalten die nähere Erklärung von κατὰ ταὐτὰ τοῖς πολλοῖς τούτοις. Eine doppelte Vergleichung, die im Gesprächston nicht auffällig ist. — οἷόν σέ, Attraction für οἷος σὺ εἶ. Tox. 11: ἔστιν οὐ φαῦλον τὸ ἔργον ἀνδρὶ οἵῳ σοὶ πολεμιστῇ μονομαχῆσαι. De saltat. 2: ἥκιστα ἐλευθέρῳ ἀνδρὶ καὶ οἵῳ σοὶ πρέποντα. Alex. 20 u. ö. — τῶν ὄντων κοινωνικόν, freigebig mit dem Seinigen. Das Adjectivum ebenso mit dem Genetiv verbunden wie auch bei Luc. das Verbum. — θύμον, die Speise der Armen in Attika, wo Thymian in Menge wuchs. — ἡ ἐννεάκρουνος, ein Brunnen in Athen, auch Καλλιρρόη genannt, der aus neun Röhren sprang. — ἧς βούλει, *cuiusvis*. Plat. Gorg. p. 517 A: ἔργα τοιαῦτα . . οἷα τούτων ὃς βούλει ἄριστος. Cratyl. p. 432 A: αὐτὰ τὰ δέκα ἢ ὅστις βούλει ἄλλος ἀριθμός. — τὸ χρυσίον κτέ. Ebenso Piscat. 35. — σοῦ δὲ αὐτοῦ χάριν, unattisch für σὴν δὲ αὐτοῦ χάριν, s. Kr. Gr. §. 47, 7, 8. c. 57: ἐμαυτοῦ χάριν. — ἐστάλην, ich habe mich aufgemacht. Nigr. 2. — πολλοῖς πολλάκις. Paronomasie oder Parechesis. — μάλιστα μέν, am liebsten, was am besten ist, wo möglich, mit entsprechendem εἰ δὲ μή oder εἰ δέ. Vgl. Hermot. 23. De morte Peregr. 21. Rhet. praec. 23 u. ö. Ebenso im Latein. *maxime*. — ὅσον ἐς, ungefähr bis an.

57. σὺ δέ. Häufig so δέ im Nachsatz nach Bedingungssätzen, Piscat. 23: εἰ γάρ τι καὶ πρὸς ἀλλήλους διαφερόμεθα ἐν τοῖς λόγοις, σὺ δὲ τοῦτο μὲν μὴ ἐξέταζε. u. ö. Besonders häufig bei Homer und Herodot. — κατὰ τάχος, s. zu c. 10. — αὑτῷ = σαυτῷ, aber nur dann so, wo die Personalbezeichnung selbstverständlich ist. So ἑαυτῷ für ἐμαυτῷ Catapl. 9 u. s. Vgl. Kr. Gr. §. 51, 2, 15. — ἀνείς, übrig lassend. — ᾧ μὲν . . ᾧ δέ, = τῷ μὲν . . τῷ δέ,

ᾧ δὲ μνᾶν, ᾧ δὲ ἡμιτάλαντον· εἰ δέ τις φιλόσοφος εἴη, διμοιρίαν ἢ τριμοιρίαν φέρεσθαι δίκαιος· ἐμοὶ δὲ — καίτοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις — ἱκανὸν εἰ ταυτηνὶ τὴν πήραν ἐκπλήσας παράσχοις οὐδὲ ὅλους δύο μεδίμνους χωροῦσαν Αἰγινητικούς. ὀλιγαρκῆ δὲ καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν.

ΤΙΜ. Ἐπαινῶ ταῦτά σου, ὦ Θρασύκλεις· πρὸ δ' οὖν τῆς πήρας, εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν ἐμπλήσω κονδύλων ἐπιμετρήσας τῇ δικέλλῃ.

ΘΡΑΣ. Ὦ δημοκρατία καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει.

ΤΙΜ. Τί ἀγανακτεῖς, ὦγαθέ; τί; μῶν παρακέκρουσμαί σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας.

58 58. ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται· Βλεψίας ἐκεῖνος καὶ Λάχης καὶ Γνίφων καὶ ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων. ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας ἐπιχαλαζῶ πόρρωθεν αὐτούς;

ΒΛΕΨ. Μὴ βάλλε, ὦ Τίμων· ἄπιμεν γάρ.

ΤΙΜ. Ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς οὐδὲ ἄνευ τραυμάτων.

unattisch; vgl. Asin. 23. — δίκαιος, näml. ἐστίν, er verdient. Pisc. 2: δίκαιός ἐστιν ἀπολωλέναι u. ö. — μεδίμνους Αἰγινητικούς. Wiederum eine komische Uebertreibung. Der μέδιμνος betrug $^{15}/_{16}$ berl. Scheffel. Bei den Aegineten betrug er jedenfalls noch mehr. — μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν, nicht über den Ranzen hinausdenken, d. i. mit dem Allernothwendigsten zufrieden sein. — ταῦτά σου, s. zu c. 53. — πρὸ τῆς πήρας verkürzt für πρὸ τοῦ τὴν πήραν ἐμπλῆσαι. Besonders häufig ist diese Kürze bei ἀντί. — παρακέκρουσμαί σε, bevortheilen. — χοίνικας, der 48. Theil eines μέδιμνος.

58. ἐκεῖνος, deiktisch. — καὶ ὅλως, s. zu I, 10. — τὸ σύνταγμα τῶν οἰμωξομένων, d. i. die Heerschaar derer, die ausgezahlt werden sollen. — ὅτι πλείστους, s. zu c. 10.

III.

PROMETHEUS ODER DER KAUKASOS.

In diesem nicht umfangreichen, aber mit grosser Gewandtheit geschriebenen dramatischen Dialoge tritt neben dem Hermes und Hephästos als Hauptperson Prometheus auf. Hermes und Hephästos erscheinen im Auftrage des Zeus, um den Prometheus für seine an den Göttern, namentlich an Zeus verübten Betrügereien und Verbrechen an den Kaukasos anzuschmieden. Nachdem dieses geschehen, warten beide nur noch auf den Adler, der dem Prometheus, um die Strafe voll zu machen, die Leber am Tage zerfleischen soll, welche des Nachts immer wieder wächst. Während dieser Zeit nun vertheidigt sich Prometheus in höchst gewandter Rede gegen die ihm gemachten und von Hermes wiederholten Beschuldigungen, die darin bestehen, dass er erstens den Zeus bei einer Fleischvertheilung übervortheilt und den besten Theil für sich behalten, ferner dass er die Menschen gebildet, und endlich drittens dass er den Göttern das Feuer entwendet und dieses den Menschen mitgetheilt habe, mit der grössten Schärfe und Bitterkeit, und thut dabei auf eine wahrhaft überzeugende Weise dar, dass er, statt dafür bestraft zu werden, eher, namentlich was den zweiten und dritten Punkt anlangt, auf Dankbarkeit von Seiten der Götter mit Fug und Recht Anspruch zu machen habe.

Die Veranlassung zur Abfassung dieser kleinen Schrift wie so vieler anderer gab dem Lucian der in der damaligen Zeit zum Theil wieder zu einiger Geltung gelangte Köhlerglaube an die Macht der Götter. Diesem entgegenzutreten und zur gänzlichen Vernichtung desselben nach Kräften beizutragen, ist auch hier sein Streben, das er mit allem möglichen Witz und der bittersten Ironie unterstützt.

III.

ΠΡΟΜΗΘΕΥΣ Η ΚΑΥΚΑΣΟΣ.

ΕΡΜΗΣ, ΗΦΑΙΣΤΟΣ, ΠΡΟΜΗΘΕΥΣ.

---

1 1. *ΕΡΜ.* Ὁ μὲν Καύκασος, ὦ Ἥφαιστε, οὗτος, ᾧ τὸν ἄθλιον τουτονὶ Τιτᾶνα προσηλῶσθαι δεήσει· περισκοπῶμεν δὲ ἤδη κρημνόν τινα ἐπιτήδειον, εἴ που τῆς χιόνος τι γυμνόν ἐστιν, ὡς βεβαιότερον καταπαγῇ τὰ δεσμὰ καὶ οὗτος ἅπασι περιφανὴς ᾖ κρεμάμενος.

ΗΦ. Περισκοπῶμεν, ὦ Ἑρμῆ· οὔτε γὰρ ταπεινὸν καὶ πρόσγειον ἀνεσταυρῶσθαι χρή, ὡς μὴ ἐπαμύνοιεν αὐτῷ τὰ πλάσματα αὐτοῦ οἱ ἄνθρωποι, οὔτε μὴν κατὰ τὸ ἄκρον, — ἀφανὴς γὰρ ἂν εἴη τοῖς κάτω — ἀλλ' εἰ δοκεῖ κατὰ μέσον ἐνταῦθά που ὑπὲρ τῆς φάραγγος ἀνεσταυρώσθω ἐκπετασθεὶς τὼ χεῖρε ἀπὸ τουτουὶ τοῦ κρημνοῦ πρὸς τὸν ἐναντίον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόξυροί τε γὰρ αἱ πέτραι καὶ ἀπρόσβατοι πανταχόθεν, ἠρέμα ἐπινενευκυῖαι, καὶ τῷ ποδὶ στενὴν ταύτην ὁ κρημνὸς ἔχει τὴν ἐπίβασιν, ὡς ἀκροποδητὶ μόγις ἑστάναι, καὶ ὅλως ἐπικαιρότατος ἂν ὁ σταυρὸς γένοιτο. μὴ μέλλε οὖν, ὦ Προμηθεῦ, ἀλλ' ἀνάβαινε καὶ πάρεχε σεαυτὸν καταπαγησόμενον πρὸς τὸ ὄρος.

1. *Καύκασος*, jenes bekannte Gebirge zwischen dem schwarzen und kaspischen Meere. Vgl. Dial. deor. 1. — *οὗτος*, näml. *ἐστίν*. — *Τιτᾶνα*. Prom. war der Sohn des Japetos, eines Titanen, und der Klymene, u. dann wird *Τιτάν* auch von denen gebraucht, welche von Titanen abstammen. — *περισκοπῶμεν*, s. zu II, 30. — *γυμνόν*, frei von. — *ἐπαμύνοιεν*, s. zu I, 4.; vgl. c. 2. — *οὔτε μήν*, *neque vero*. Xenoph. conviv. 1, 15: *οὔτε ἔγωγε σπουδάσαι ἂν δυναίμην οὔτε μὴν ὡς ἀντικληθησόμενος καλεῖ μέ τις*. — *ἐκπετασθεὶς τὼ χεῖρε*, die Arme ausgespannt, nach bekanntem Sprachgebrauch, dass, wenn das Activ zwei Objecte hat, beim Passiv. der Accus. unverändert bleibt; vgl. c. 3. — *ἀπόξυροι*, scharf abgeschnitten, schroff. — *ἠρέμα ἐπινενευκυῖαι*, sich allmählich vorwärtsneigend, überhangend. — *ταύτην*, hier. — *καὶ ὅλως*, s. zu I, 10. — *πάρεχε σεαυτὸν καταπαγησόμενον*, lass

2. ΠΡΟΜ. Ἀλλὰ κἂν ὑμεῖς γε, ὦ Ἥφαιστε καὶ Ἑρμῆ, κατελεήσατέ με παρὰ τὴν ἀξίαν δυστυχοῦντα. 2

ΕΡΜ. Τοῦτο φῄς, ὦ Προμηθεῦ, τὸ κατελεήσατε ἀντὶ σοῦ ἀνασκολοπισθῆναι αὐτίκα μάλα παρακούσαντας τοῦ ἐπιτάγματος; ἢ οὐχ ἱκανὸς εἶναί σοι δοκεῖ ὁ Καύκασος καὶ ἄλλους ἂν χωρῆσαι δύο προσπατταλευθέντας; ἀλλ' ὄρεγε τὴν δεξιάν· σὺ δέ, ὦ Ἥφαιστε, κατάκλειε καὶ προσήλου καὶ τὴν σφῦραν ἐρρωμένως κατάφερε. δὸς καὶ τὴν ἑτέραν· κατειλήφθω εὖ μάλα καὶ αὐτή. εὖ ἔχει. καταπτήσεται δὲ ἤδη καὶ ὁ ἀετὸς ἀποκερῶν τὸ ἧπαρ, ὡς πάντα ἔχοις ἀντὶ τῆς καλῆς καὶ εὐμηχάνου πλαστικῆς.

3. ΠΡΟΜ. Ὦ Κρόνε καὶ Ἰαπετὲ καὶ σύ, ὦ μῆτερ, οἷα πέπονθα ὁ κακοδαίμων οὐδὲν δεινὸν ἐργασάμενος. 3

ΕΡΜ. Οὐδέν, ὦ Προμηθεῦ, δεινὸν εἰργάσω, ὃς πρῶτα μὲν τὴν νομὴν τῶν κρεῶν ἐγχειρισθεὶς οὕτως ἄδικον ἐποιήσω καὶ ἀπατηλήν, ὡς σαυτῷ μὲν τὰ κάλλιστα ὑπεξελέσθαι, τὸν Δία δὲ παραλογίσασθαι ὀστᾶ „καλύψας ἀργέτι δημῷ"; μέμνημαι γὰρ Ἡσιόδου νὴ Δί' οὕτως εἰπόντος· ἔπειτα δὲ τοὺς ἀνθρώπους ἀνέπλασας, πανουργότατα ζῷα, καὶ μάλιστά γε τὰς γυναῖκας· ἐπὶ πᾶσι δὲ τὸ τιμιώτατον κτῆμα τῶν θεῶν τὸ πῦρ κλέψας καὶ τοῦτο ἔδωκας τοῖς ἀνθρώποις; τοσαῦτα δεινὰ εἰργασμένος φῂς μηδὲν ἀδικήσας δεδέσθαι;

4. ΠΡΟΜ. Ἔοικας, ὦ Ἑρμῆ, καὶ σὺ κατὰ τὸν Ὅμηρον 4

dich. So ö. παρέχειν bei Luc. mit Partic. neben dem Infinit. (s. zu II, 40); Toxar. 35: παρέσχεν ἑαυτὸν δεθησόμενον. De merc. cond. 25. Nigr. 21.

2. κἄν, wenigstens, oft bei Luc. in Verbindung mit dem Imperativ; vgl. c. 13. Catapl. 13., s. zu II, 20. — παρὰ τὴν ἀξίαν, gegen mein Verdienst; s. zu II, 6. — τοῦτο φῄς . . ἀντὶ σοῦ ἀνασκ., näml. ἡμᾶς, meinst du damit, dass wir . . Dial. deor. 1, 2: τοῦτο φῄς ἐκπεσεῖσθαί με τῆς ἀρχῆς; — τὸ κατελεήσατε wiederholt Hermes mit Nachdruck. — ἄλλους . . δύο, näml. mich und Hephästos. — ἂν χωρῆσαι, ἂν mit Infinit.; bei der Auflösung in einen selbständigen Satz müsste der Optat. mit ἂν stehen. — κατάκλειε, schliesse an. — καὶ αὐτή, auch sie. — πάντα, alle mögliche Strafe. — πλαστικῆς, von der Menschenbildung.

3. τὴν νομὴν τῶν κρ. ἐγχειρισθείς. Eunuch. 8: εὐνοῦχος νέων προστασίαν ἐγχειρισθῆναι ἀξιῶν. Amor. 39: ἄλλο τι ἄλλῃ τῶν ὑπηρετουσῶν ἐγκεχείρισται. S. zu c. 1. — καλύψας ἀργέτι δημῷ, Hesiod. theog. 541. ἀργέτι episch verkürzt von ἀργής, glänzend, gleissend. — ἐπὶ πᾶσι, zu Allem, s. v. a. endlich; vgl. Pro merc. cond. 1. Vit. auct. 22. De conscr. hist. 31. Bis acc. 34. u. s. — κλέψας, näml. von der Sonne, ἐν κοίλῳ νάρθηκι, *in ferula*.

4. ἀναίτιον αἰτιάασθαι, Il. 13,

„ἀναίτιον αἰτιᾶσθαι," ὃς τὰ τοιαῦτά μοι προφέρεις, ἐφ' οἷς ἔγωγε τῆς ἐν πρυτανείῳ σιτήσεως, εἰ τὰ δίκαια ἐγίγνετο, ἐτιμησάμην ἂν ἐμαυτῷ. εἰ γοῦν σχολή σοι, ἡδέως ἂν καὶ δικαιολογησαίμην ὑπὲρ τῶν ἐγκλημάτων, ὡς δείξαιμι ἄδικα ἐγνωκότα περὶ ἡμῶν τὸν Δία· σὺ δὲ — στωμύλος γὰρ εἶ καὶ δικανικός — ἀπολόγησαι ὑπὲρ αὐτοῦ ὡς δικαίαν τὴν ψῆφον ἔθετο, ἀνεσταυρῶσθαί με πλησίον τῶν Κασπίων τούτων πυλῶν ἐπὶ τοῦ Καυκάσου οἴκτιστον θέαμα πᾶσι Σκύθαις.

ΕΡΜ. Ἐκπρόθεσμον μέν, ὦ Προμηθεῦ, τὴν ἔφεσιν ἀγωνιῇ καὶ ἐς οὐδὲν δέον· ὅμως δ' οὖν λέγε· καὶ γὰρ ἄλλως περιμένειν ἀναγκαῖον, ἔστ' ἂν ὁ ἀετὸς καταπτῇ ἐπιμελησόμενός σου τοῦ ἥπατος· τὴν ἐν τῷ μέσῳ δὴ ταύτην σχολὴν καλῶς ἂν ἔχον εἴη ἐς ἀκρόασιν καταχρήσασθαι σοφιστικήν, οἷος εἶ σὺ πανουργότατος ἐν τοῖς λόγοις.

5 5. ΠΡΟΜ. Πρότερος οὖν, ὦ Ἑρμῆ, λέγε, καὶ ὅπως μου ὡς δεινότατα κατηγορήσεις μηδὲ καθυφήσῃ τι τῶν δικαίων τοῦ πατρός. σὲ δέ, ὦ Ἥφαιστε, δικαστὴν ποιοῦμαι ἔγωγε.

775. — μοι προφέρεις, mir vorwirfst. De dea Syr. 24: καὶ σὺ μοιχίην προὔφερε. — τῆς ἐν πρυτ. σιτήσεως κτέ. Sokrates bei Plat. apol. p. 37 A sagt: εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως. Das Prytaneion war ein öffentliches Gebäude nordöstlich von der Akropolis, in dem die, welche zu Olympia gesiegt, und andere um den Staat wohlverdiente Bürger auf öffentliche Kosten täglich gespeist wurden. Diese Speisung galt als die höchste Auszeichnung; vgl. Cic. de orat. I, 54, 231 f. — τῆς σιτήσεως ἐτιμησάμην ἂν ἐμαυτῷ. τιμᾶσθαί τινί τινος in der att. Gerichtssprache eigtl. vom Kläger, auf eine Strafe für Jmdn antragen; dann vom Angeklagten, wie hier und bei Plato, sich eine Strafe zuerkennen. Dieselbe Construction c. 10. — ἐγνωκότα, dass er erkannt hat. Jup. conf. 10: ἐπιδεῖξαι οὐδενὸς ἡμᾶς προνοοῦντας. — ἀνεσταυρῶσθαί με κτέ., Erklärung zum vorherg. δικ. τὴν ψῆφ. ἔθ. — τῶν Κασπίων. Dieser Gebirgspass befindet sich im Lande der Taparer, im östlichen Taurus, jetzt Siah Koh, und ist vom Caucasus weit entfernt. — τούτων, s. zu II, 6. — ἐκπρόθεσμος eigtl. den bestimmten Zeitpunkt od. Termin nicht haltend, hier s. v. a. unzeitig, zu spät; ebenso Navig. 40. — ἔφεσιν, Appellation. — ἐς οὐδὲν δέον, unnöthig, zwecklos. — ἄλλως, sonst, ohnehin. — ἐπιμελησόμενος, s. zu II, 25. Beachte übrigens die Ironie in diesem Worte. Wovon hängt σου ab? — καλῶς ἂν ἔχον εἴη. Jup. trag. 53: τὸ τοῦ Δαρείου πάνυ καλῶς ἔχον ἐστίν. Vgl. Kr. Gr. §. 56, 3, 3. — καταχρήσασθαι, verbrauchen, verwenden, mit Accus., wie bisweilen bei Späteren. — οἷος mit Bezug auf σοφιστής, was in σοφιστικήν liegt. Vgl. II, 35. IV, 12.

5. ὅπως . . κατηγορήσεις, s. zu II, 48. — καθυφίεσθαι, von seiner Seite aus Nachlässigkeit versäumen, preisgeben. — τοῦ πατρός, des Zeus, des Hermes Vater.

ΗΦ. Μὰ Δί', ἀλλὰ κατήγορον ἀντὶ δικαστοῦ ἴσθι με ἕξων, ὃς τὸ πῦρ ὑφελόμενος ψυχράν μοι τὴν κάμινον ἀπολέλοιπας.

ΠΡΟΜ. Οὐκοῦν διελόμενοι τὴν κατηγορίαν, σὺ μὲν περὶ τῆς κλοπῆς ἤδη σύνειρε, ὁ Ἑρμῆς δὲ τὴν κρεανομίαν καὶ τὴν ἀνθρωποποιίαν αἰτιάσεται· ἄμφω δὲ τεχνῖται καὶ εἰπεῖν δεινοὶ ἐοίκατε εἶναι.

ΗΦ. Ὁ Ἑρμῆς καὶ ὑπὲρ ἐμοῦ ἐρεῖ· ἐγὼ γὰρ οὐ πρὸς λόγοις τοῖς δικανικοῖς εἰμι, ἀλλ' ἀμφὶ τὴν κάμινον ἔχω τὰ πολλά· ὁ δὲ ῥήτωρ τέ ἐστι καὶ τῶν τοιούτων οὐ παρέργως μεμέληκεν αὐτῷ.

ΠΡΟΜ. Ἐγὼ μὲν οὐκ ἂν ᾤμην καὶ περὶ τῆς κλοπῆς τὸν Ἑρμῆν ἐθελῆσαι ἂν εἰπεῖν οὐδὲ ὀνειδιεῖν μοι τὸ τοιοῦτον ὁμοτέχνῳ ὄντι. πλὴν ἀλλ' εἰ καὶ τοῦτο, ὦ Μαίας παῖ, ὑφίστασαι, καιρὸς ἤδη περαίνειν τὴν κατηγορίαν.

6. ΕΡΜ. Πάνυ γοῦν, ὦ Προμηθεῦ, μακρῶν δεῖ λόγων καὶ ἱκανῆς τινος παρασκευῆς ἐπὶ τὰ σοὶ πεπραγμένα, οὐχὶ δὲ ἀπόχρη τὰ κεφάλαια εἰπεῖν τῶν ἀδικημάτων, ὅτι ἐπιτραπέν σοι μοιρᾶσαι τὰ κρέα σαυτῷ μὲν τὰ κάλλιστα ἐφύλαττες, ἐξηπάτησας δὲ τὸν βασιλέα, καὶ τοὺς ἀνθρώπους ἀνέπλασας, οὐδὲν δέον, καὶ τὸ πῦρ κλέψας παρ' ἡμῶν ἐκόμισας ἐς αὐτούς· καί μοι δοκεῖς, ὦ βέλτιστε, μὴ συνεῖναι ἐπὶ τοῖς τηλικούτοις 6

— ἴσθι με ἕξων, wisse, dass du. Pisc. 5: εὖ ἴστε ἀποκτενοῦντες u. ö. Vgl. c. 20. — σύνειρε, zusammenhängend sprechen. — οὐ πρὸς λόγοις τοῖς δικ. εἰμι, beschäftige mich nicht, gebe mich nicht ab mit .. Dial. deor. 19, 4: ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν. Ebenso πρός τινι γίγνεσθαι oder διατρίβειν. — ἀμφὶ τὴν κάμ. ἔχω, halte mich auf bei, bin beschäftigt mit. Ebenso ἔχειν περί τι. — τὰ πολλά, meistentheils, grösstentheils. — ῥήτωρ, Hermes als Gott der Redekunst, daher auch λόγιος genannt. — ἐγὼ μὲν κτἑ. Hermes selbst nämlich, wie bekannt, hatte sich mehrmals des Diebstahls schuldig gemacht und war auch der Gott des Stehlens. ἐγὼ μέν, ich wenigstens; Andere mögen eine andere Ansicht haben. Kr. Gr. §. 69, 35, 2. Jup. trag. 5 u. ö. — καιρός, nämlich ἐστί.

6. πάνυ γοῦν κτἑ. Diese und die folgenden Worte sind ironisch zu verstehen, wie πάνυ γοῦν schon zeigt. Hermes verhöhnt den Prom., der eine weitläufige Anklage erwartet. Deor. concil. 11: πάνυ γοῦν μυστηρίων, ὦ Ζεῦ, δεῖ ἡμῖν. — σοὶ = ὑπὸ σοῦ. Am gewöhnlichsten findet dieser Gebrauch des Dativs bei Passiven in der attischen Prosa bei Perfecten und Plusquampf. Statt. Tox. 25: ἐπεὶ ἐδεδείπνητο αὐτοῖς; im Folg. κατηγόρηταί μοι. IV, 16. — ἐπιτραπέν σοι, nachdem es dir überlassen, Accus. absol. Ebenso ἐφειμένον Pisc. 25. Vgl. Kr. Gr. §. 56, 9, 5. Ebenso im Folg. οὐδὲν δέον. und c. 15 δέον. — τὸν βασιλέα, den Zeus. — συνεῖναι, von συνίημι, ein bei Luc. sich ö. findender Infinitiv. S. zu

πάνυ φιλανθρώπου τοῦ Διὸς πεπειραμένος. εἰ μὲν οὖν ἔξαρνος εἶ μὴ εἰργάσθαι αὐτά, δεήσει καὶ διελέγχειν καὶ ῥῆσίν τινα μακρὰν ἀποτείνειν καὶ πειρᾶσθαι ὡς ἔνι μάλιστα ἐμφανίζειν τὴν ἀλήθειαν· εἰ δὲ φῂς τοιαύτην πεποιῆσθαι τὴν νομὴν τῶν κρεῶν καὶ τὰ περὶ τοὺς ἀνθρώπους καινουργῆσαι καὶ τὸ πῦρ κεκλοφέναι, ἱκανῶς κατηγόρηταί μοι, καὶ μακρότερα οὐκ ἂν εἴποιμι· λῆρος γὰρ ἄλλως τὸ τοιοῦτον.

7 *7. ΠΡΟΜ. Εἰ μὲν καὶ ταῦτα λῆρός ἐστιν, ἃ εἴρηκας, εἰσόμεθα μικρὸν ὕστερον· ἐγὼ δέ, ἐπείπερ ἱκανὰ φῂς εἶναι τὰ κατηγορημένα, πειράσομαι ὡς ἂν οἷός τε ὦ, διαλύσασθαι τὰ ἐγκλήματα. καὶ πρῶτόν γε ἄκουε τὸ περὶ τῶν κρεῶν. καίτοι, νὴ τὸν Οὐρανόν, καὶ νῦν λέγων αὐτὰ αἰσχύνομαι ὑπὲρ τοῦ Διός, εἰ οὕτω μικρολόγος καὶ μεμψίμοιρός ἐστιν, ὡς διότι μικρὸν ὀστοῦν ἐν τῇ μερίδι εὗρε, καταπέμψαι ἀνασκολοπισθησόμενον παλαιὸν οὕτω θεόν, μήτε τῆς συμμαχίας μνημονεύσαντα μήτε αὐτὸ τῆς ὀργῆς τὸ κεφάλαιον ἡλίκον ἐστὶν ἐννοήσαντα καὶ ὡς μειρακίου τὸ τοιοῦτον ὀργίζεσθαι καὶ ἀγανακτεῖν,*

8 *εἰ μὴ τὸ μεῖζον αὐτὸς λήψεται. 8. καίτοι τάς γε ἀπάτας, ὦ Ἑρμῆ, τὰς τοιαύτας συμποτικὰς οὔσας οὐ χρή, οἶμαι, ἀπομνημονεύειν, ἀλλ' εἰ καί τι ἡμάρτηται μεταξὺ εὐωχουμένων, παιδιὰν ἡγεῖσθαι καὶ αὐτοῦ ἐν τῷ ξυμποσίῳ καταλείπειν τὴν ὀργήν· ἐς δὲ τὴν αὔριον ταμιεύεσθαι τὸ μῖσος καὶ μνησικακεῖν*

II, 8. — *ἐπὶ τοῖς τηλικούτοις*, bei so bedeutenden Verbrechen. — *ἔξαρνος εἶ μή, μή* für uns überflüssig. Pisc. 29: *ἐγὼ τοσούτου δέω ἔξαρνος γενέσθαι, ὡς οὐκ εἶπον αὐτά.* Conviv. 15: *τοῦ παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι.* Kr. Gr. §. 67, 12, 3. — *ἀποτείνειν.* Bis accus. 33: *μακροὺς ἀποτείνειν οὐκ ἂν ἐβουλόμην τοὺς λόγους.* Eine namentlich bei Platon häufige Redeweise. — *ὡς ἔνι μάλιστα*, so sehr als möglich. — *φῂς*, zugestehst. — *ἄλλως* mit *λῆρος* zu verbinden, nichts als, nur. Vgl. c. 11. Gall. 17: *μῦθος ἄλλως καὶ ταῦτα.* Anach. 32. Zeux. 12 u. ö.

7. *διαλύσασθαι*, zu nichte machen. — *τὸν Οὐρανόν.* Dieser ist der Vater des Japetos. — *ὑπὲρ τοῦ Διός*, in des Z. Namen. — *εἰ*, dass. Dial. deor. 18, 1. Pisc. 32 u. ö. — *ἀνασκολοπισθησόμενον*, s. zu II, 25. — *παλαιὸν οὕτω*, s. zu I, 11. — *τῆς συμμαχίας.* Prometheus, obgleich selbst aus dem Titanengeschlecht, hatte doch mit seiner Klugheit dem Zeus gegen die Titanen beigestanden. — *τὸ κεφάλαιον*, der Grund. — *ἡλίκον*, wie gering; vgl. Hermot. 5. — *μειρακίου*, näml. *ἐστίν*; dieses Satzglied (*καὶ ὡς*) noch abhängig von *ἐννοήσαντα.*

8. *μεταξὺ εὐωχουμένων*, s. zu I, 17, — *ἐν τῷ ξυμποσίῳ* nähere Bestimmung zu *αὐτοῦ.* Tox. 18: *αὐτοῦ ἐν τῇ νήσῳ* u. ö. Ebenso Philopseud. 17: *οἴκοι παρ' αὐτῷ.* Gall. 10: *οἴκοι παρὰ σεαυτῷ.* u. Aehnl. — *ἐς τὴν αὔριον*, näml.

καὶ ἕωλόν τινα μῆνιν διαφυλάττειν, ἄπαγε, οὔτε θεοῖς πρέπον οὔτε ἄλλως βασιλικόν· ἢν γοῦν ἀφέλῃ τις τῶν συμποσίων τὰς κομψείας ταύτας, ἀπάτην καὶ σκώμματα καὶ τὸ διασιλλαίνειν καὶ ἐπιγελᾶν, τὸ καταλειπόμενόν ἐστι μέθη καὶ κόρος καὶ σιωπή, σκυθρωπὰ καὶ ἀτερπῆ πράγματα καὶ ἥκιστα συμποσίῳ πρέποντα. ὥστε ἔγωγ' οὐδὲ μνημονεύσειν τὴν ὑστεραίαν ἔτι ᾤμην τούτων τὸν Δία, οὐχ ὅπως καὶ τηλικαῦτα ἐπ' αὐτοῖς ἀγανακτήσειν καὶ πάνδεινα ἡγήσεσθαι πεπονθέναι, εἰ διανέμων τις κρέα παιδιάν τινα ἔπαιξε, πειρώμενος εἰ διαγνώσεται τὸ βέλτιον ὁ αἱρούμενος. 9. τίθει δ' ὅμως, ὦ Ἑρμῆ, τὸ χαλεπώτερον, μὴ τὴν ἐλάττω μοῖραν ἀπονενεμηκέναι τῷ Διί, τὴν ὅλην δὲ ὑφῃρῆσθαι· τί οὖν; διὰ τοῦτο ἐχρῆν, τὸ τοῦ λόγου, τῇ γῇ τὸν οὐρανὸν ἀναμεμῖχθαι καὶ δεσμὰ καὶ σταυροὺς καὶ Καύκασον ὅλον ἐπινοεῖν καὶ ἀετοὺς καταπέμπειν καὶ τὸ ἧπαρ ἐκκολάπτειν; ὅρα γάρ, μὴ πολλήν τινα ταῦτα κατηγορῇ τοῦ ἀγανακτοῦντος αὐτοῦ μικροψυχίαν καὶ εὐτέλειαν τῆς γνώμης καὶ πρὸς ὀργὴν εὐχέρειαν. ἢ τί γὰρ ἂν ἐποίησεν οὗτος ὅλον βοῦν ἀπολέσας, εἰ κρεῶν ὀλίγων ἕνεκα τηλικαῦτα ὀργίζεται; 10. καίτοι πόσῳ οἱ ἄνθρωποι εὐγνωμονέστερον διάκεινται πρὸς τὰ τοιαῦτα, οὓς εἰκὸς ἦν καὶ τὰ ἐς τὴν ὀργὴν ὀξυτέρους εἶναι τῶν θεῶν; ἀλλ' ὅμως ἐκείνων οὐκ ἔστιν ὅστις τῷ μαγείρῳ σταυροῦ ἂν τιμήσαιτο, εἰ τὰ κρέα ἕψων καθεὶς τὸν

ἡμέραν. — ἕωλον, übernächtig. — τὰς κομψείας, *festivitates.* — τὴν ὑστεραίαν, den folgenden Tag, am f. T. Die Bezeichnung der Dauer tritt bei diesem Accus. nur wenig hervor. — οὐχ ὅπως, geschweige. So oft bei Luc. im zweiten Gliede; vgl. IV, 8. Pisc. 31. Philops. 5. Abdicat. 18 u. ö. Häufiger im ersten Gliede. καί verbinde mit τηλικαῦτα. — τηλικαῦτα, adverbialiter, wie c. 9: τηλικαῦτα ὀργίζεται. — παιδιάν τινα ἔπαιξε, einen Scherz machte. Die erst bei Späteren vorkommende Aoristform ἔπαιξα auch Dial. deor. 6, 4.

9. τίθει, setze, nimm an. — ἀπονενεμηκέναι, näml. ἐμέ. — τὸ τοῦ λόγου, wie es im Sprichwort heisst. Hermot. 28. Alex. 9. — ἐκκολάπτειν in übertragener Bedeutung, eigtl. ausmeisseln. — πολλήν τινα, s. zu I, 1. Häufiger im Plur. πολλοί τινες. — ἢ τί γὰρ ἂν ἐποίησεν, oder sollte man darüber zweifelhaft sein? Sicher nicht. Denn was u. s. w. Vgl. c. 16: ἢ τί γὰρ ἂν ἐπράττομεν οὐκ ἔχοντες. Jup. trag. 19: ἢ τί γὰρ ἂν αὐτοὺς ἀξιώσειέ τις φρονεῖν; De morte Peregr. 8: ἢ τί γὰρ ἄλλο χρὴ ποιεῖν; Piscat. 27. IV, 4. 17.

10. πρὸς τὰ τοιαῦτα, in Bezug auf derartige Dinge. — εἰκὸς ἦν, s. zu II, 37. — τὰ ἐς τὴν ὀργήν, rücksichtlich dessen, was den Zorn betrifft. Tox. 9: δικαιότεροι τὰ πρὸς τοὺς γονέας. — οὐκ ἔστιν ὅστις, Kr. Gr. §. 61, 5, 2. — τῷ μαγείρῳ σταυροῦ ἂν τιμ., s. zu c. 4. Vgl. Horat. Sat. 1, 3, 80 ff.;

δάκτυλον τοῦ ζωμοῦ τι περιελιχμήσατο ἢ ὀπτωμένων ἀποσπάσας τι κατεβρόχθισεν, ἀλλὰ συγγνώμην ἀπονέμουσιν αὐτοῖς· εἰ δὲ καὶ πάνυ ὀργισθεῖεν, ἢ κονδύλους ἐνέτριψαν ἢ κατὰ κόρρης ἐπάταξαν, ἀνεσκολοπίσθη δὲ οὐδεὶς παρ' αὐτοῖς τῶν τηλικούτων ἕνεκα. καὶ περὶ μὲν τῶν κρεῶν τοσαῦτα, αἰσχρὰ μὲν κἀμοὶ ἀπολογεῖσθαι, πολὺ δὲ αἴσχίω κατηγορεῖν ἐκείνῳ.

11 11. *περὶ δὲ τῆς πλαστικῆς καὶ ὅτι τοὺς ἀνθρώπους ἐποίησα, καιρὸς ἤδη λέγειν. τοῦτο δέ, ὦ Ἑρμῆ, διττὴν ἔχον τὴν κατηγορίαν, οὐκ οἶδα καθ' ὁπότερον αἰτιᾶσθέ μου, πότερα ὡς οὐδὲ ὅλως ἐχρῆν τοὺς ἀνθρώπους γεγονέναι, ἀλλ' ἄμεινον ἦν ἀτρεμεῖν αὐτοὺς γῆν ἄλλως ὄντας, ἢ ὡς πεπλάσθαι μὲν ἐχρῆν, ἄλλον δέ τινα καὶ μὴ τοῦτον ἐσχηματίσθαι τὸν τρόπον; ἐγὼ δὲ ὅμως ὑπὲρ ἀμφοῖν ἐρῶ· καὶ πρῶτόν γε, ὡς οὐδεμία τοῖς θεοῖς ἀπὸ τούτου βλάβη γεγένηται, τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθέντων, πειράσομαι δεικνύειν· ἔπειτα δέ, ὡς καὶ συμφέροντα καὶ ἀμείνω αὐτοῖς ταῦτα παρὰ πολὺ ἢ εἰ ἐρήμην καὶ ἀπάνθρωπον συνέβαινε τὴν γῆν μένειν.*

12 12. *ἦν τοίνυν πάλαι — ῥᾷον γὰρ οὕτω καὶ δῆλον ἂν γένοιτο, εἴ τι ἠδίκηκα ἐγὼ μετακοσμήσας τὰ περὶ τοὺς ἀνθρώπους — ἦν οὖν τὸ θεῖον*

si quis eum servum, patinam qui tollere iussus
semesos pisces tepidumque ligurrierit ius,
in cruce suffigat, Labeone insanior inter
sanos dicatur.

— *ὀπτωμένων*, näml. *τῶν κρεῶν*. — *αὐτοῖς*. Worauf zu beziehen? — *ἐνέτριψαν*, unrichtig wäre hier *ἐνετρίψαντο*, s. zu I, 14. Vgl. Adv. ind. 25: *ἠγανάκτησα καὶ ὀλίγου πληγὰς ἐνέτριψα*. Richtig ist das Med. Dial. deor. 20, 2. Die Aoriste sind im Deutschen durch das Präsens od. durch 'pflegen' auszudrücken. Kr. Gr. §. 53, 10, 2. Vgl. Tox. 48 z. A. — *τοσαῦτα*, wir ebenso s o v i e l.

11. *τοῦτο δὲ . . ἔχον*, Nominativus absolutus. Toxar. 54: *ἀναμίξαντες δὲ τὰ στρατεύματα ὁ Εὔβιοτος καὶ ὁ Ἀδύρμαχος, ἐννέα μυριάδες ἅπαντες ἐγένοντο*. — *αἰτιᾶσθέ μου*. Nigrin. 32: *οὕτω δὴ καὶ αὐτὸς ᾐτιᾶτο τῶν στεφανουμένων*. — *ἀτρεμεῖν αὐτούς*, d a s s s i e (die Menschen) u n b e w e g l i c h b l i e b e n. — *ἄλλως*, s. zu c. 6. — *ἀπὸ τούτου* erhält seine nähere Bestimmung in den Worten *τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθ.* — *καὶ πρῶτόν γε . . ἔπειτα δέ*. Ebenso De merc. cond. 23: *καὶ πρῶτόν γε . . . εἶτα*. — *αὐτοῖς*, näml. *τοῖς θεοῖς*. — *ταῦτα*. Das Neutrum Plural. bezieht sich auf den einzelnen Gedanken *τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθέντων*. So wird *ταῦτα* nicht selten gebraucht; s. zu II, 45. — *παρὰ πολύ*, s. zu II, 18. — *ἀπάνθρωπον*, m e n s c h e n l e e r.

12. *καὶ δῆλον*. Was bedeutet hier *καί*? — *ἦν οὖν*. Hiermit wird das Obige *ἦν τοίνυν* nach der Parenthese wieder aufgenommen. Vgl. Zeux. 1: *προσιόντες δέ μοι τῶν ἀκηκοότων πολλοί . . προσιόντες οὖν ἐδεξιοῦντο*. De conscrib. histor. 62. Alexand. 19. Ueber den latein. Sprachgebrauch

μόνον καὶ τὸ ἐπουράνιον γένος, ἡ γῆ δὲ ἄγριόν τι χρῆμα καὶ ἄμορφον, ὕλαις ἅπασα καὶ ταύταις ἀνημέροις λάσιος, οὔτε δὲ βωμοὶ θεῶν ἢ ναοί, — πόθεν δέ; — ἢ ἀγάλματα ἢ ξόανα ἤ τι ἄλλο τοιοῦτον, οἷα πολλὰ νῦν ἁπανταχόθι φαίνεται μετὰ πάσης ἐπιμελείας τιμώμενα· ἐγὼ δὲ — ἀεὶ γάρ τι προβουλεύω ἐς τὸ κοινὸν καὶ σκοπῶ, ὅπως αὐξηθήσεται μὲν τὰ τῶν θεῶν, ἐπιδώσει δὲ καὶ τἆλλα πάντα ἐς κόσμον καὶ κάλλος — ἐνενόησα, ὡς ἄμεινον εἴη ὀλίγον ὅσον τοῦ πηλοῦ λαβόντα ζῷά τινα συστήσασθαι καὶ ἀναπλάσαι τὰς μορφὰς μὲν ἡμῖν αὐτοῖς προσεοικότα· καὶ γὰρ ἐνδεῖν τι ᾤμην τῷ θείῳ, μὴ ὄντος τοῦ ἐναντίου αὐτῷ καὶ πρὸς ὃ ἔμελλεν ἡ ἐξέτασις γιγνομένη εὐδαιμονέστερον ἀποφαίνειν αὐτό· θνητὸν μέντοι εἶναι τοῦτο, εὐμηχανώτατον δ' ἄλλως καὶ συνετώτατον καὶ τοῦ βελτίονος αἰσθανόμενον. 13. *καὶ δὴ κατὰ τὸν ποιητικὸν λόγον „γαῖαν ὕδει φύρας“ καὶ διαμαλάξας ἀνέπλασα τοὺς ἀνθρώπους ἔτι καὶ τὴν Ἀθηνᾶν παρακαλέσας συνεπιλαβέσθαι μοι τοῦ ἔργου. ταῦτά ἐστιν ἃ μεγάλα ἐγὼ τοὺς θεοὺς ἠδίκηκα. καὶ τὸ ζημίωμα ὁρᾷς ἡλίκον, εἰ ἐκ πηλοῦ ζῷα ἐποίησα καὶ τὸ τέως ἀκίνητον ἐς κίνησιν ἤγαγον· καί, ὡς ἔοικε, τὸ ἀπ' ἐκείνου ἧττον θεοί εἰσιν οἱ θεοί, διότι καὶ ἐπὶ γῆς τινα θνητὰ ζῷα γεγένηται· οὕτω γὰρ δὴ καὶ ἀγανακτεῖ νῦν ὁ Ζεὺς ὥσπερ ἐλαττουμένων τῶν θεῶν ἐκ τῆς τῶν ἀνθρώπων γενέσεως, εἰ μὴ ἄρα τοῦτο δέδιε, μὴ καὶ οὗτοι ἀπόστασιν ἐπ' αὐτὸν βουλεύσωσι καὶ πόλεμον* 13

s. Zumpt §. 739. — *οὔτε*, anacoluthisch ohne entsprechendes *οὔτε*, veranlasst durch die Lebhaftigkeit der Rede. — *πόθεν δέ;* s. zu II, 8. — *προβουλεύω*. Damit spielt Prometheus auf seinen Namen an. — *ἐπιδώσει*, intr., zunehmen, Fortschritte machen. — *ὀλίγον ὅσον*, s. zu II, 54. — *συστήσασθαι*, zusammensetzen, bilden; c. 16. Hermotim. 20: *ὁ Ἥφαιστος ἄνθρωπον συνεστήσατο.* — *τὰς μορφάς*, an Gestalt. Uebrigens beachte das Anacoluthische der Rede; denn diesen Worten sollte etwa im Folgenden entsprechen *τὴν φύσιν δὲ θνητὰ ὄντα*. Durch den Zwischensatz ist die veränderte Construction eingetreten. — *πρὸς ὃ* zu verbinden mit *ἡ ἐξέτασις γιγνομένη*.

13. *γαῖαν ὕδει φύρας*, Hesiod. op. 61., wo Hephästos von Zeus den Auftrag erhält: *γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν κτἑ. ὕδει* für das gewöhnliche *ὕδατι. φύρας* nur hier vorkommende Aoristform von *φύρω*. — *διαμαλάξας*, durch und durch erweichen, nur hier vorkommendes Wort. — *ταῦτά ἐστιν κτἑ.*, vgl. Bis acc. 32: *ταῦτά ἐστιν ἃ τὴν ῥητορικὴν ἐγὼ μεγάλα ἠδίκηκα.* — *τὸ ἀπ' ἐκείνου*, von jener Zeit an. De merc. cond. 23. Ebenso *τὸ ἀπὸ τοῦδε*. Vgl. Kr. Gr. §. 50, 5, 13. — *ἐλαττουμένων*, im Werthe sinken. — *εἰ μὴ ἄρα, nisi forte.* IV, 3. Pseudol. 3. u. s. — *πόλεμον ἐξενέγκωσι*, Krieg offen und thätlich anfangen.

ἐξενέγκωσι πρὸς τοὺς θεοὺς ὥσπερ οἱ Γίγαντες. ἀλλ' ὅτι μὲν δὴ οὐδὲν ἠδίκησθε, ὦ Ἑρμῆ, πρὸς ἐμοῦ καὶ τῶν ἔργων τῶν ἐμῶν, δῆλον· ἢ σὺ δεῖξον κἂν ἕν τι μικρότατον, κἀγὼ σιω-
14 πήσομαι καὶ δίκαια ἔσομαι πεπονθὼς πρὸς ὑμῶν. 14. ὅτι δὲ καὶ χρήσιμα ταῦτα γεγένηται τοῖς θεοῖς, οὕτως ἂν μάθοις, εἰ ἐπιβλέψειας ἅπασαν τὴν γῆν οὐκέτ' αὐχμηρὰν καὶ ἀκαμῆ οὖσαν, ἀλλὰ πόλεσι καὶ γεωργίαις καὶ φυτοῖς ἡμέροις διακεκοσμημένην καὶ τὴν θάλατταν πλεομένην καὶ τὰς νήσους κατοικουμένας, ἁπανταχοῦ δὲ βωμοὺς καὶ θυσίας καὶ ναοὺς καὶ πανηγύρεις·

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί.

καὶ γὰρ εἰ μὲν ἐμαυτῷ μόνῳ κτῆμα τοῦτο ἐπλασάμην, ἐπλεονέκτουν ἴσως, νυνὶ δ' εἰς τὸ κοινὸν φέρων κατέθηκα ὑμῖν αὐτούς· μᾶλλον δὲ Διὸς μὲν καὶ Ἀπόλλωνος καὶ Ἥρας καὶ σοῦ [δέ], ὦ Ἑρμῆ, νεὼς ἰδεῖν ἁπανταχοῦ ἔστι, Προμηθέως δὲ οὐδαμοῦ. ὁρᾷς, ὅπως τὰ ἐμαυτοῦ μόνα σκοπῶ, τὰ κοινὰ δὲ κα-
15 ταπροδίδωμι καὶ ἐλάττω ποιῶ. 15. ἔτι δέ μοι, ὦ Ἑρμῆ, καὶ τόδε ἐννόησον, εἴ τί σοι δοκεῖ ἀγαθὸν ἀμάρτυρον, οἷον κτῆμα ἢ ποίημα, ὃ μηδεὶς ὄψεται μηδὲ ἐπαινέσεται, ὁμοίως ἡδὺ καὶ τερπνὸν ἔσεσθαι τῷ ἔχοντι. πρὸς δὴ τί τοῦτ' ἔφην; ὅτι μὴ γενομένων τῶν ἀνθρώπων ἀμάρτυρον συνέβαινε τὸ κάλλος εἶναι τῶν ὅλων, καὶ πλοῦτόν τινα πλουτήσειν ἐμέλλομεν οὔτε ὑπ'

Ver. hist. 1, 12. — πρὸς ἐμοῦ, s. zu II, 25. — κἂν, vollständig würde es heissen: δεῖξον, κἂν ἕν τι μικρότατον δείξῃς. S. oben zu c. 2.

14. καὶ χρήσιμα, auch nützlich. Worauf bezieht sich καί? — αὐχμηράν, rauh, wild. — ἀκαμῆ, unbebaut. — γεωργίαις, bebaute Ländereien. In derselben Bedeutung schon bei Isocrates u. A. — πλεομένην, beschifft werdend, Kr. Gr. §. 46, 6, 3. — μεσταὶ δὲ Διὸς κτέ., aus Aratos' Phaenom. z. A. — κτῆμα τοῦτο. Warum hier kein Artikel? — ἐπλεονέκτουν ἴσως, muss wol mit eingeschobenem ἂν heissen: ἐπλεονέκτουν ἂν ἴσως. — αὐτούς, näml. τοὺς ἀνθρώπους. — μᾶλλον δέ, s. zu II, 38. — καὶ σοῦ δέ, s. zu II, 33. — Προμηθέως δὲ οὐδαμοῦ. In der Wahrheit nicht begründet; denn zu Athen hatte er ein Heiligthum in der Akademie, und alljährlich wurde ihm zu Ehren daselbst ein Fackellauf gehalten. Allerdings war seine Verehrung dem Zeus und den andern Göttern gegenüber von keiner Bedeutung. — ὁρᾷς, ὅπως, ironisch.

15. ἀγαθὸν ἀμάρτυρον, ein Gut ohne Zeugen. — οἷον, zum Beispiel, wie. — πρὸς δὴ τί, wozu nun, zu welchem Zweck. Hipp. 2: πρὸς δὴ τί ταῦτ' ἔφην; — συνέβαινε, s. zu II, 37. — πλοῦτόν τινα πλουτήσειν, s. zu II, 48. Ueber den In-

ἄλλου τινὸς θαυμασθησόμενον οὔτε ἡμῖν αὐτοῖς ὁμοίως τίμιον· οὐδὲ γὰρ ἂν εἴχομεν πρὸς ὅ τι ἔλαττον παραθεωροῖμεν αὐτόν, οὐδ' ἂν συνίεμεν ἡλίκα εὐδαιμονοῦμεν οὐχ ὁρῶντες ἀμοίρους τῶν ἡμετέρων τινάς· οὕτω γὰρ δὴ καὶ τὸ μέγα δόξειεν ἂν μέγα, εἰ τῷ μικρῷ παραμετροῖτο. ὑμεῖς δέ, τιμᾶν ἐπὶ τῷ πολιτεύματι τούτῳ δέον, ἀνεσταυρώκατέ με καὶ ταύτην μοι τὴν ἀμοιβὴν ἀποδεδώκατε τοῦ βουλεύματος. 16. ἀλλὰ κακοῦργοί τινες, φῄς, ἐν αὐτοῖς καὶ μοιχεύουσι καὶ πολεμοῦσι καὶ ἀδελφὰς γαμοῦσι καὶ πατράσιν ἐπιβουλεύουσι. παρ' ἡμῖν γὰρ οὐχὶ πολλὴ τούτων ἀφθονία; οὐ δήπου διὰ τοῦτ' αἰτιάσαιτ' ἄν τις τὸν Οὐρανὸν καὶ τὴν Γῆν, ὅτι ἡμᾶς συνεστήσαντο. ἔτι καὶ τοῦτο ἴσως φαίης ἄν, ὅτι ἀνάγκη πολλὰ ἡμᾶς ἔχειν πράγματα ἐπιμελουμένους αὐτῶν. οὐκοῦν διά γε τοῦτο καὶ ὁ νομεὺς ἀχθέσθω ἐπὶ τῷ ἔχειν τὴν ἀγέλην, διότι ἀναγκαῖον ἐπιμελεῖσθαι αὐτῷ αὐτῆς. καίτοι τό γε ἐργῶδες τοῦτο καὶ ἡδύ· ἄλλως τε καὶ ἡ φροντὶς οὐκ ἀτερπής, ἔχουσά τινα διατριβήν. ἢ τί γὰρ ἂν ἐπράττομεν οὐκ ἔχοντες ὧν προνοοῦμεν τούτων; ἠργοῦμεν ἂν καὶ τὸ νέκταρ ἐπίνομεν καὶ τῆς ἀμβροσίας ἐνεφορούμεθα οὐδὲν ποθοῦντες. 17. ὃ δὲ μάλιστά με ἀποπνίγει, τοῦτ' ἐστίν, ὅτι μεμφόμενοι τὴν ἀνθρωποποιίαν καὶ μάλιστά γε τὰς γυναῖκας ὅμως ἐρᾶτε αὐτῶν καὶ οὐ διαλείπετε κατιόν-

fin. Fut. Kr. Gr. §. 53, 8, 3. Vgl. I, 15. — *οὐδὲ γάρ*, denn auch nicht, häufig bei Luc., Pisc. 13: *οὐδὲ γὰρ πρόδηλος οὐδὲ πᾶσι γνώριμος ἡ θύρα.* u. ö. — *τῶν ἡμετέρων*, näml. *ἀγαθῶν*. — *τιμᾶν*, näml. *ἐμέ*. — *πολιτεύματι*, eigentl. kluge Handlung eines Staatsmannes, hier im Allg. kluge Handlung, Staatsstreich. — *δέον*, s. zu c. 6.

16. *φῄς*, 'dadurch wird ein Einwurf angedeutet, welchen Hermes machen könnte und Prometheus daher zum voraus widerlegt. Von den Verbrechen der Menschen werden absichtlich solche erwähnt, deren sich auch Götter schuldig gemacht hatten, und zwar vorzugsweise Zeus.' Geist. — *παρ' ἡμῖν γάρ*, s. zu II, 18. — *δήπου*, doch wol, *opinor*. Piscat. 33 u. s. — *συνεστήσαντο*, s. zu c. 12. Uranos und Ge sind die Stammeltern aller Götter. — *πράγματα ἔχειν*, Noth haben, sich plagen, oft so mit folg. Partic. — *αὐτῷ αὐτῆς*, Paronomasie oder Parechesis. — *ἄλλως τε*, übrigens, und überdiess. — *ὧν προνοοῦμεν τούτων*. Ebenso Tox. 53: *τὸ γὰρ χάριν ἐμοὶ ὁμολογεῖν ἐφ' οἷς ἔπραξα τούτοις.* Demosth. or. 54, 6: *πρῶτον μὲν οὖν ὧν εἴρηκα τούτων βούλομαι κτἑ.* — *τῆς ἀμβροσίας*. Dial. deor. 18, 2: *ἐμφορεῖσθαι τοῦ ἀκράτου*. *ἐμφορεῖσθαι*, im Uebermass zu sich nehmen, sich anfüllen. — *οὐδὲν ποθοῦντες*, ohne nach etwas weiter zu verlangen.

17. *ἀποπνίγει*, ärgert. — *ὅμως*, häufig so nach einem Particip., das concessiv steht. Toxar. 16: *καὶ αἰδούμενος τὸ πρῶτον ὅμως διηγεῖτο πάντα.* u. ö. — *διαλείπετε κατιόντες*, näml. auf die Erde. Ueber die Construction zu II, 18.

III.

ΠΡΟΜΗΘΕΥΣ η ΚΑΥΚΑΣΟΣ.

ΕΡΜΗΣ, ΗΦΑΙΣΤΟΣ, ΠΡΟΜΗΘΕΥΣ.

---

1 1. *ΕΡΜ.* Ὁ μὲν Καύκασος, ὦ Ἥφαιστε, οὗτος, ᾧ τὸν ἄθλιον τουτονὶ Τιτᾶνα προσηλῶσθαι δεήσει· περισκοπῶμεν δὲ ἤδη κρημνόν τινα ἐπιτήδειον, εἴ που τῆς χιόνος τι γυμνόν ἐστιν, ὡς βεβαιότερον καταπαγῇ τὰ δεσμὰ καὶ οὗτος ἅπασι περιφανὴς ᾖ κρεμάμενος.

ΗΦ. Περισκοπῶμεν, ὦ Ἑρμῆ· οὔτε γὰρ ταπεινὸν καὶ πρόσγειον ἀνεσταυρῶσθαι χρή, ὡς μὴ ἐπαμύνοιεν αὐτῷ τὰ πλάσματα αὐτοῦ οἱ ἄνθρωποι, οὔτε μὴν κατὰ τὸ ἄκρον, — ἀφανὴς γὰρ ἂν εἴη τοῖς κάτω — ἀλλ' εἰ δοκεῖ κατὰ μέσον ἐνταῦθά που ὑπὲρ τῆς φάραγγος ἀνεσταυρώσθω ἐκπετασθεὶς τὼ χεῖρε ἀπὸ τουτουὶ τοῦ κρημνοῦ πρὸς τὸν ἐναντίον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόξυροί τε γὰρ αἱ πέτραι καὶ ἀπρόσβατοι πανταχόθεν, ἠρέμα ἐπινενευκυῖαι, καὶ τῷ ποδὶ στενὴν ταύτην ὁ κρημνὸς ἔχει τὴν ἐπίβασιν, ὡς ἀκροποδητὶ μόγις ἑστάναι, καὶ ὅλως ἐπικαιρότατος ἂν ὁ σταυρὸς γένοιτο. μὴ μέλλε οὖν, ὦ Προμηθεῦ, ἀλλ' ἀνάβαινε καὶ πάρεχε σεαυτὸν καταπαγησόμενον πρὸς τὸ ὄρος.

1. *Καύκασος*, jenes bekannte Gebirge zwischen dem schwarzen und kaspischen Meere. Vgl. Dial. deor. 1. — *οὗτος*, näml. *ἐστίν*. — *Τιτᾶνα*. Prom. war der Sohn des Japetos, eines Titanen, und der Klymene, u. dann wird *Τιτάν* auch von denen gebraucht, welche von Titanen abstammen. — *περισκοπῶμεν*, s. zu II, 30. — *γυμνόν*, frei von. — *ἐπαμύνοιεν*, s. zu I, 4.; vgl. c. 2. — *οὔτε μήν*, *neque vero*. Xenoph. conviv. 1, 15: *οὔτε ἔγωγε σπουδάσαι ἂν δυναίμην οὔτε μὴν ὡς ἀντικληθησόμενος καλεῖ μέ τις*. — *ἐκπετασθεὶς τὼ χεῖρε*, die Arme ausgespannt, nach bekanntem Sprachgebrauch, dass, wenn das Activ zwei Objecte hat, beim Passiv. der Accus. unverändert bleibt; vgl. c. 3. — *ἀπόξυροι*, scharf abgeschnitten, schroff. — *ἠρέμα ἐπινενευκυῖαι*, sich allmählich vorwärtsneigend, überhangend. — *ταύτῃ*, hier. — *καὶ ὅλως*, s. zu I, 10. — *πάρεχε σεαυτὸν καταπαγησόμενον*, lass

2. ΠΡΟΜ. Ἀλλὰ κἂν ὑμεῖς γε, ὦ Ἥφαιστε καὶ Ἑρμῆ, κατελεήσατέ με παρὰ τὴν ἀξίαν δυστυχοῦντα. 2

ΕΡΜ. Τοῦτο φῄς, ὦ Προμηθεῦ, τὸ κατελεήσατε ἀντὶ σοῦ ἀνασκολοπισθῆναι αὐτίκα μάλα παρακούσαντας τοῦ ἐπιτάγματος; ἢ οὐχ ἱκανὸς εἶναί σοι δοκεῖ ὁ Καύκασος καὶ ἄλλους ἂν χωρῆσαι δύο προσπατταλευθέντας; ἀλλ' ὄρεγε τὴν δεξιάν· σὺ δέ, ὦ Ἥφαιστε, κατάκλειε καὶ προσήλου καὶ τὴν σφῦραν ἐρρωμένως κατάφερε. δὸς καὶ τὴν ἑτέραν· κατειλήφθω εὖ μάλα καὶ αὐτή. εὖ ἔχει. καταπτήσεται δὲ ἤδη καὶ ὁ ἀετὸς ἀποκερῶν τὸ ἧπαρ, ὡς πάντα ἔχοις ἀντὶ τῆς καλῆς καὶ εὐμηχάνου πλαστικῆς.

3. ΠΡΟΜ. Ὦ Κρόνε καὶ Ἰαπετὲ καὶ σύ, ὦ μῆτερ, οἷα πέπονθα ὁ κακοδαίμων οὐδὲν δεινὸν ἐργασάμενος. 3

ΕΡΜ. Οὐδέν, ὦ Προμηθεῦ, δεινὸν εἰργάσω, ὃς πρῶτα μὲν τὴν νομὴν τῶν κρεῶν ἐγχειρισθεὶς οὕτως ἄδικον ἐποιήσω καὶ ἀπατηλήν, ὡς σαυτῷ μὲν τὰ κάλλιστα ὑπεξελέσθαι, τὸν Δία δὲ παραλογίσασθαι ὀστᾶ „καλύψας ἀργέτι δημῷ"; μέμνημαι γὰρ Ἡσιόδου νὴ Δί' οὕτως εἰπόντος· ἔπειτα δὲ τοὺς ἀνθρώπους ἀνέπλασας, πανουργότατα ζῷα, καὶ μάλιστά γε τὰς γυναῖκας· ἐπὶ πᾶσι δὲ τὸ τιμιώτατον κτῆμα τῶν θεῶν τὸ πῦρ κλέψας καὶ τοῦτο ἔδωκας τοῖς ἀνθρώποις; τοσαῦτα δεινὰ εἰργασμένος φῂς μηδὲν ἀδικήσας δεδέσθαι;

4. ΠΡΟΜ. Ἔοικας, ὦ Ἑρμῆ, καὶ σὺ κατὰ τὸν Ὅμηρον 4

dich. So ö. παρέχειν bei Luc. mit Partic. neben dem Infinit. (s. zu II, 40); Toxar. 35: παρέσχεν ἑαυτὸν δεθησόμενον. De merc. cond. 25. Nigr. 21.

2. κἂν, wenigstens, oft bei Luc. in Verbindung mit dem Imperativ; vgl. c. 13. Catapl. 13., s. zu II, 20. — παρὰ τὴν ἀξίαν, gegen mein Verdienst; s. zu II, 6. — τοῦτο φῄς . . ἀντὶ σοῦ ἀνασκ., näml. ἡμᾶς, meinst du damit, dass wir . . Dial. deor. 1, 2: τοῦτο φῄς ἐκπεσεῖσθαί με τῆς ἀρχῆς; — τὸ κατελεήσατε wiederholt Hermes mit Nachdruck. — ἄλλους . . δύο, näml. mich und Hephästos. — ἂν χωρῆσαι, ἂν mit Infinit.; bei der Auflösung in einen selbständigen Satz müsste der Optat. mit ἂν stehen. — κατάκλειε, schliesse an. — καὶ αὐτή, auch sie. — πάντα, alle mögliche Strafe. — πλαστικῆς, von der Menschenbildung.

3. τὴν νομὴν τῶν κρ. ἐγχειρισθείς. Eunuch. 8: εὐνοῦχος νέων προστασίαν ἐγχειρισθῆναι ἀξιῶν. Amor. 39: ἄλλο τι ἄλλη τῶν ὑπηρετουσῶν ἐγκεχείρισται. S. zu c. 1. — καλύψας ἀργέτι δημῷ, Hesiod. theog. 541. ἀργέτι episch verkürzt von ἀργής, glänzend, gleissend. — ἐπὶ πᾶσι, zu Allem, s. v. a. endlich; vgl. Pro merc. cond. 1. Vit. auct. 22. De conscr. hist. 31. Bis acc. 34. u. s. — κλέψας, näml. von der Sonne, ἐν κοίλῳ νάρθηκι, *in ferula.*

4. ἀναίτιον αἰτιάασθαι, Il. 13,

„ἀναίτιον αἰτιάασθαι,“ ὃς τὰ τοιαῦτά μοι προφέρεις, ἐφ' οἷς ἔγωγε τῆς ἐν πρυτανείῳ σιτήσεως, εἰ τὰ δίκαια ἐγίγνετο, ἐτιμησάμην ἂν ἐμαυτῷ. εἰ γοῦν σχολή σοι, ἡδέως ἂν καὶ δικαιολογησαίμην ὑπὲρ τῶν ἐγκλημάτων, ὡς δείξαιμι ἄδικα ἐγνωκότα περὶ ἡμῶν τὸν Δία· σὺ δὲ — στωμύλος γὰρ εἶ καὶ δικανικός — ἀπολόγησαι ὑπὲρ αὐτοῦ ὡς δικαίαν τὴν ψῆφον ἔθετο, ἀνεσταυρῶσθαί με πλησίον τῶν Κασπίων τούτων πυλῶν ἐπὶ τοῦ Καυκάσου οἴκτιστον θέαμα πᾶσι Σκύθαις.

ΕΡΜ. Ἐκπρόθεσμον μέν, ὦ Προμηθεῦ, τὴν ἔφεσιν ἀγωνιῇ καὶ ἐς οὐδὲν δέον· ὅμως δ' οὖν λέγε· καὶ γὰρ ἄλλως περιμένειν ἀναγκαῖον, ἔστ' ἂν ὁ ἀετὸς καταπτῇ ἐπιμελησόμενός σου τοῦ ἥπατος· τὴν ἐν τῷ μέσῳ δὴ ταύτην σχολὴν καλῶς ἂν ἔχον εἴη ἐς ἀκρόασιν καταχρήσασθαι σοφιστικήν, οἷος εἶ σὺ πανουργότατος ἐν τοῖς λόγοις.

5 5. ΠΡΟΜ. Πρότερος οὖν, ὦ Ἑρμῆ, λέγε, καὶ ὅπως μου ὡς δεινότατα κατηγορήσεις μηδὲ καθυφήσῃ τι τῶν δικαίων τοῦ πατρός. σὲ δέ, ὦ Ἥφαιστε, δικαστὴν ποιοῦμαι ἔγωγε.

775. — μοι προφέρεις, mir vorwirfst. De dea Syr. 24: καί οἱ μοιχίην προὔφερε. — τῆς ἐν πρυτ. σιτήσεως κτἑ. Sokrates bei Plat. apol. p. 37 A sagt: εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως. Das Prytaneion war ein öffentliches Gebäude nordöstlich von der Akropolis, in dem die, welche zu Olympia gesiegt, und andere um den Staat wohlverdiente Bürger auf öffentliche Kosten täglich gespeist wurden. Diese Speisung galt als die höchste Auszeichnung; vgl. Cic. de orat. 1, 54, 231 f. — τῆς σιτήσεως ἐτιμησάμην ἂν ἐμαυτῷ. τιμᾶσθαί τινί τινος in der att. Gerichtssprache eigtl. vom Kläger, auf eine Strafe für Jmdn antragen; dann vom Angeklagten, wie hier und bei Plato, sich eine Strafe zuerkennen. Dieselbe Construction c. 10. — ἐγνωκότα, dass er erkannt hat. Jup. conf. 10: ἐπιδεῖξαι οὐδενὸς ἡμᾶς προνοοῦντας. — ἀνεσταυρῶσθαί με κτἑ., Erklärung zum vorherg. δικ. τὴν ψῆφ. ἔθ. — τῶν Κασπίων. Dieser Gebirgspass befindet sich im Lande der Tapurer, im östlichen Tauros, jetzt Siah Koh, und ist vom Caucasus weit entfernt. — τούτων, s. zu II, 6. — ἐκπρόθεσμος eigtl. den bestimmten Zeitpunkt od. Termin nicht haltend, hier s. v. a. unzeitig, zu spät; ebenso Navig. 40. — ἔφεσιν, Appellation. — ἐς οὐδὲν δέον, unnöthig, zwecklos. — ἄλλως, sonst, ohnehin. — ἐπιμελησόμενος, s. zu II, 25. Beachte übrigens die Ironie in diesem Worte. Wovon hängt σου ab? — καλῶς ἂν ἔχον εἴη. Jup. trag. 53: τὸ τοῦ Δαρείου πάνυ καλῶς ἔχον ἐστίν. Vgl. Kr. Gr. §. 56, 3, 3. — καταχρήσασθαι, verbrauchen, verwenden, mit Accus., wie bisweilen bei Späteren. — οἷος mit Bezug auf σοφιστής, was in σοφιστικήν liegt. Vgl. II, 35. IV, 12.

5. ὅπως . . κατηγορήσεις, s. zu II, 48. — καθυφίεσθαι, von seiner Seite aus Nachlässigkeit versäumen, preisgeben. — τοῦ πατρός, des Zeus, des Hermes Vater.

IV.

CHARON ODER DIE WELTBESCHAUER.

In ganz besonderer Schönheit ragt vorliegende Schrift durch das Sinnreiche der Erfindung hervor. Charon, jener bekannte Fährmann der abgeschiedenen Seelen, hat sich von Hades Urlaub ausgebeten, auf Einen Tag die Oberwelt besuchen zu dürfen, um das eitle und nichtige Thun und Treiben der Menschen kennen zu lernen. Daselbst trifft er zufällig seinen alten Freund und Genossen Hermes, und ersucht diesen, weil er hier hinreichend bekannt sei, ihm als Wegweiser zu dienen, wozu dieser denn auch nach einiger Weigerung bereit ist. Um einen grossen, weiten Ueberblick zu haben und die ganze Erde gleichsam in der Vogelperspective betrachten zu können, wälzen beide, da dem Charon, als Insassen des Todtenreichs, der Zutritt in den Himmel nicht erlaubt ist, den Ossa auf den Olympos, auf sie dann den Pelion, und da diese Höhe immer noch nicht hinreicht, darauf den Oeta und Parnasos. Von dieser Höhe herab zeigt nun Hermes dem Charon, dessen Sehkraft mit Hilfe einiger homerischen Verse auf zauberhafte Weise geschärft worden ist, das armselige und eitle Drängen und Treiben der Sterblichen in seiner nackten Wahrheit, welche die wenigen Jahre ihres Lebens so hinbringen, als hätten sie den Tod ganz und gar nicht zu fürchten, der doch in längerer oder kürzerer Zeit allen bevorstehe.

Die Form des Gesprächs, in dem wir in die Zeiten des Kyros, Krösos und Solon versetzt werden, und in dem die Lehren wahrer Weisheit mit dem heitersten Humor gewürzt erscheinen, ist ebenfalls die dem Lucian eigenthümliche dramatisch-dialogische.

πάνυ φιλανθρώπου τοῦ Διὸς πεπειραμένος. εἰ μὲν οὖν ἔξαρνος εἶ μὴ εἰργάσθαι αὐτά, δεήσει καὶ διελέγχειν καὶ ῥῆσίν τινα μακρὰν ἀποτείνειν καὶ πειρᾶσθαι ὡς ἔνι μάλιστα ἐμφανίζειν τὴν ἀλήθειαν· εἰ δὲ φῂς τοιαύτην πεποιῆσθαι τὴν νομὴν τῶν κρεῶν καὶ τὰ περὶ τοὺς ἀνθρώπους καινουργῆσαι καὶ τὸ πῦρ κεκλοφέναι, ἱκανῶς κατηγόρηταί μοι, καὶ μακρότερα οὐκ ἂν εἴποιμι· λῆρος γὰρ ἄλλως τὸ τοιοῦτον.

7 7. *ΠΡΟΜ. Εἰ μὲν καὶ ταῦτα λῆρός ἐστιν, ἃ εἴρηκας, εἰσόμεθα μικρὸν ὕστερον· ἐγὼ δέ, ἐπείπερ ἱκανὰ φῂς εἶναι τὰ κατηγορημένα, πειράσομαι ὡς ἂν οἷός τε ὦ, διαλύσασθαι τὰ ἐγκλήματα. καὶ πρῶτόν γε ἄκουε τὸ περὶ τῶν κρεῶν. καίτοι, νὴ τὸν Οὐρανόν, καὶ νῦν λέγων αὐτὰ αἰσχύνομαι ὑπὲρ τοῦ Διός, εἰ οὕτω μικρολόγος καὶ μεμψίμοιρός ἐστιν, ὡς διότι μικρὸν ὀστοῦν ἐν τῇ μερίδι εὗρε, καταπέμψαι ἀνασκολοπισθησόμενον παλαιὸν οὕτω θεόν, μήτε τῆς συμμαχίας μνημονεύσαντα μήτε αὐτὸ τῆς ὀργῆς τὸ κεφάλαιον ἡλίκον ἐστὶν ἐννοήσαντα καὶ ὡς μειρακίου τὸ τοιοῦτον ὀργίζεσθαι καὶ ἀγανακτεῖν,*
8 *εἰ μὴ τὸ μεῖζον αὐτὸς λήψεται.* 8. *καίτοι τάς γε ἀπάτας, ὦ Ἑρμῆ, τὰς τοιαύτας συμποτικὰς οὔσας οὐ χρή, οἶμαι, ἀπομνημονεύειν, ἀλλ' εἰ καί τι ἡμάρτηται μεταξὺ εὐωχουμένων, παιδιὰν ἡγεῖσθαι καὶ αὐτοῦ ἐν τῷ ξυμποσίῳ καταλείπειν τὴν ὀργήν· ἐς δὲ τὴν αὔριον ταμιεύεσθαι τὸ μῖσος καὶ μνησικακεῖν*

II, 8. — *ἐπὶ τοῖς τηλικούτοις*, bei so bedeutenden Verbrechen. — *ἔξαρνος εἶ μή*, *μή* für uns überflüssig. Pisc. 29: *ἐγὼ τοσούτου δέω ἔξαρνος γενέσθαι, ὡς οὐκ εἶπον αὐτά.* Conviv. 15: *τοῦ παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι.* Kr. Gr. §. 67, 12, 3. — *ἀποτείνειν.* Bis accus. 33: *μακροὺς ἀποτείνειν οὐκ ἂν ἐβουλόμην τοὺς λόγους.* Eine namentlich bei Platon häufige Redeweise. — *ὡς ἔνι μάλιστα*, so sehr als möglich. — *φῄς*, zugestehst. — *ἄλλως* mit *λῆρος* zu verbinden, nichts als, nur. Vgl. c. 11. Gall. 17: *μῦθος ἄλλως καὶ ταῦτα.* Anach. 32. Zeux. 12 u. ö.

7. *διαλύσασθαι*, zu nichte machen. — *τὸν Οὐρανόν.* Dieser ist der Vater des Japetos. — *ὑπὲρ τοῦ Διός*, in des Z. Namen. — *εἰ*, dass. Dial. deor. 18, 1. Pisc. 32 u. ö. — *ἀνασκολοπισθησόμενον*, s. zu II, 25. — *παλαιὸν οὕτω*, s. zu I, 11. — *τῆς συμμαχίας.* Prometheus, obgleich selbst aus dem Titanengeschlecht, hatte doch mit seiner Klugheit dem Zeus gegen die Titanen beigestanden. — *τὸ κεφάλαιον*, der Grund. — *ἡλίκον*, wie gering; vgl. Hermot. 5. — *μειρακίου*, näml. *ἐστίν*; dieses Satzglied (*καὶ ὡς*) noch abhängig von *ἐννοήσαντα.*

8. *μεταξὺ εὐωχουμένων*, s. zu I, 17, — *ἐν τῷ ξυμποσίῳ* nähere Bestimmung zu *αὐτοῦ.* Tox. 18: *αὐτοῦ ἐν τῇ νήσῳ* u. ö. Ebenso Philopseud. 17: *οἴκοι παρ' αὐτῷ.* Gall. 10: *οἴκοι παρὰ σεαυτῷ.* u. Aehnl. — *ἐς τὴν αὔριον*, näml.

καὶ ἕωλόν τινα μῆνιν διαφυλάττειν, ἄπαγε, οὔτε θεοῖς πρέπον οὔτε ἄλλως βασιλικόν· ἢν γοῦν ἀφέλῃ τις τῶν συμποσίων τὰς κομψείας ταύτας, ἀπάτην καὶ σκώμματα καὶ τὸ διασιλλαίνειν καὶ ἐπιγελᾶν, τὸ καταλειπόμενόν ἐστι μέθη καὶ κόρος καὶ σιωπή, σκυθρωπὰ καὶ ἀτερπῆ πράγματα καὶ ἥκιστα συμποσίῳ πρέποντα. ὥστε ἔγωγ' οὐδὲ μνημονεύσειν τὴν ὑστεραίαν ἔτι ᾤμην τούτων τὸν Δία, οὐχ ὅπως καὶ τηλικαῦτα ἐπ' αὐτοῖς ἀγανακτήσειν καὶ πάνδεινα ἡγήσεσθαι πεπονθέναι, εἰ διανέμων τις κρέα παιδιάν τινα ἔπαιξε, πειρώμενος εἰ διαγνώσεται τὸ βέλτιον ὁ αἱρούμενος. 9. *τίθει δ' ὅμως, ὦ Ἑρμῆ, τὸ χαλεπώτερον, μὴ τὴν ἐλάττω μοῖραν ἀπονενεμηκέναι τῷ Διί, τὴν ὅλην δὲ ὑφῃρῆσθαι· τί οὖν; διὰ τοῦτο ἐχρῆν, τὸ τοῦ λόγου, τῇ γῇ τὸν οὐρανὸν ἀναμεμῖχθαι καὶ δεσμὰ καὶ σταυροὺς καὶ Καύκασον ὅλον ἐπινοεῖν καὶ ἀετοὺς καταπέμπειν καὶ τὸ ἧπαρ ἐκκολάπτειν; ὅρα γάρ, μὴ πολλήν τινα ταῦτα κατηγορῇ τοῦ ἀγανακτοῦντος αὐτοῦ μικροψυχίαν καὶ εὐτέλειαν τῆς γνώμης καὶ πρὸς ὀργὴν εὐχέρειαν. ἢ τί γὰρ ἂν ἐποίησεν οὗτος ὅλον βοῦν ἀπολέσας, εἰ κρεῶν ὀλίγων ἕνεκα τηλικαῦτα ὀργίζεται;* 10. *καίτοι πόσῳ οἱ ἄνθρωποι εὐγνωμονέστερον διάκεινται πρὸς τὰ τοιαῦτα, οὓς εἰκὸς ἦν καὶ τὰ ἐς τὴν ὀργὴν ὀξυτέρους εἶναι τῶν θεῶν; ἀλλ' ὅμως ἐκείνων οὐκ ἔστιν ὅστις τῷ μαγείρῳ σταυροῦ ἂν τιμήσαιτο, εἰ τὰ κρέα ἕψων καθεὶς τὸν*

ἡμέραν. — *ἕωλον*, **übernächtig.** — *τὰς κομψείας*, *festivitates.* — *τὴν ὑστεραίαν*, **den folgenden Tag**, am f. T. Die Bezeichnung der Dauer tritt bei diesem Accus. nur wenig hervor. — *οὐχ ὅπως*, **geschweige.** So oft bei Luc. im zweiten Gliede; vgl. IV, 8. Pisc. 31. Philops. 5. Abdicat. 18 u. ö. Häufiger im ersten Gliede. *καί* verbinde mit *τηλικαῦτα.* — *τηλικαῦτα*, adverbialiter, wie c. 9: *τηλικαῦτα ὀργίζεται.* — *παιδιάν τινα ἔπαιξε*, **einen Scherz machte.** Die erst bei Späteren vorkommende Aoristform *ἔπαιξα* auch Dial. deor. 6, 4.

9. *τίθει*, **setze, nimm an.** — *ἀπονενεμηκέναι*, näml. *ἐμέ.* — *τὸ τοῦ λόγου*, **wie es im Sprichwort heisst.** Hermot. 28. Alex. 9. — *ἐκκολάπτειν* in übertragener Bedeutung, eigtl. ausmeisseln. — *πολλήν τινα*, s. zu I, 1. Häufiger im Plur. *πολλοί τινες.* — *ἢ τί γὰρ ἂν ἐποίησεν*, **oder** sollte man darüber zweifelhaft sein? Sicher nicht. **Denn** was u. s. w. Vgl. c. 16: *ἢ τί γὰρ ἂν ἐπράττομεν οὐκ ἔχοντες.* Jup. trag. 19: *ἢ τί γὰρ ἂν αὐτοὺς ἀξιώσειέ τις φρονεῖν;* De morte Peregr. 8: *ἢ τί γὰρ ἄλλο χρὴ ποιεῖν;* Piscat. 27. IV, 4. 17.

10. *πρὸς τὰ τοιαῦτα*, **in Bezug auf derartige Dinge.** — *εἰκὸς ἦν*, s. zu II, 37. — *τὰ ἐς τὴν ὀργήν*, **rücksichtlich dessen, was den Zorn betrifft.** Tox. 9: *δικαιότεροι τὰ πρὸς τοὺς γονέας.* — *οὐκ ἔστιν ὅστις*, Kr. Gr. §. 61, 5, 2. — *τῷ μαγείρῳ σταυροῦ ἂν τιμ.*, s. zu c. 4. Vgl. Horat. Sat. 1, 3, 80 ff.;

δάκτυλον τοῦ ζωμοῦ τι περιελιχμήσατο ἢ ὀπτωμένων ἀποσπάσας τι κατεβρόχθισεν, ἀλλὰ συγγνώμην ἀπονέμουσιν αὐτοῖς· εἰ δὲ καὶ πάνυ ὀργισθεῖεν, ἢ κονδύλους ἐνέτριψαν ἢ κατὰ κόρρης ἐπάταξαν, ἀνεσκολοπίσθη δὲ οὐδεὶς παρ' αὐτοῖς τῶν τηλικούτων ἕνεκα. καὶ περὶ μὲν τῶν κρεῶν τοσαῦτα, αἰσχρὰ μὲν κἀμοὶ ἀπολογεῖσθαι, πολὺ δὲ αἴσχιω κατηγορεῖν ἐκείνῳ.

11 11. περὶ δὲ τῆς πλαστικῆς καὶ ὅτι τοὺς ἀνθρώπους ἐποίησα, καιρὸς ἤδη λέγειν. τοῦτο δέ, ὦ Ἑρμῆ, διττὴν ἔχον τὴν κατηγορίαν, οὐκ οἶδα καθ' ὁπότερον αἰτιᾶσθέ μου, πότερα ὡς οὐδὲ ὅλως ἐχρῆν τοὺς ἀνθρώπους γεγονέναι, ἀλλ' ἄμεινον ἦν ἀτρεμεῖν αὐτοὺς γῆν ἄλλως ὄντας, ἢ ὡς πεπλάσθαι μὲν ἐχρῆν, ἄλλον δέ τινα καὶ μὴ τοῦτον ἐσχηματίσθαι τὸν τρόπον; ἐγὼ δὲ ὅμως ὑπὲρ ἀμφοῖν ἐρῶ· καὶ πρῶτόν γε, ὡς οὐδεμία τοῖς θεοῖς ἀπὸ τούτου βλάβη γεγένηται, τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθέντων, πειράσομαι δεικνύειν· ἔπειτα δέ, ὡς καὶ συμφέροντα καὶ ἀμείνω αὐτοῖς ταῦτα παρὰ πολὺ ἢ εἰ ἐρήμην καὶ

12 ἀπάνθρωπον συνέβαινε τὴν γῆν μένειν. 12. ἦν τοίνυν πάλαι — ῥᾷον γὰρ οὕτω καὶ δῆλον ἂν γένοιτο, εἴ τι ἠδίκηκα ἐγὼ μετακοσμήσας τὰ περὶ τοὺς ἀνθρώπους — ἦν οὖν τὸ θεῖον

si quis eum servum, patinam qui tollere iussus
semesos pisces tepidumque ligurrierit ius,
in cruce suffigat, Labeone insanior inter
sanos dicatur.

— ὀπτωμένων, näml. τῶν κρεῶν. — αὐτοῖς. Worauf zu beziehen? — ἐνέτριψαν, unrichtig wäre hier ἐνετρίψαντο, s. zu I, 14. Vgl. Adv. ind. 25: ἠγανάκτησα καὶ ὀλίγου πληγὰς ἐνέτριψα. Richtig ist das Med. Dial. deor. 20, 2. Die Aoriste sind im Deutschen durch das Präsens od. durch 'pflegen' auszudrücken. Kr. Gr. §. 53, 10, 2. Vgl. Tox. 48 z. A. — τοσαῦτα, wir ebenso soviel.

11. τοῦτο δὲ . . ἔχον, Nominativus absolutus. Toxar. 54: ἀναμίξαντες δὲ τὰ στρατεύματα ὁ Εὐβίοτος καὶ ὁ Ἀδύρμαχος, ἐννέα μυριάδες ἅπαντες ἐγένοντο. — αἰτιᾶσθέ μου. Nigrin. 32: οὕτω δὴ καὶ αὐτὸς ᾐτιᾶτο τῶν στεφανουμένων. — ἀτρεμεῖν αὐτούς, dass sie (die Menschen) unbeweglich blieben. — ἄλλως, s. zu c. 6. — ἀπὸ τούτου erhält seine nähere Bestimmung in den Worten τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθ. — καὶ πρῶτόν γε . . ἔπειτα δέ. Ebenso De merc. cond. 23: καὶ πρῶτόν γε . . . εἶτα. — αὐτοῖς, näml. τοῖς θεοῖς. — ταῦτα. Das Neutrum Plural. bezieht sich auf den einzelnen Gedanken τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθέντων. So wird ταῦτα nicht selten gebraucht; s. zu II, 45. — παρὰ πολύ, s. zu II, 18. — ἀπάνθρωπον, menschenleer.

12. καὶ δῆλον. Was bedeutet hier καί? — ἦν οὖν. Hiermit wird das Obige ἦν τοίνυν nach der Parenthese wieder aufgenommen. Vgl. Zeux. 1: προσιόντες δέ μοι τῶν ἀκηκοότων πολλοὶ . . προσιόντες οὖν ἐδεξιοῦντο. De conscrib. histor. 62. Alexand. 19. Ueber den latein. Sprachgebrauch

χίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὸ βέλτιον. κατὰ ταὐτὰ δὴ καὶ σὺ πρᾶττε ὁπόσα καλῶς ἔχειν νομίζεις κυβερνήτης νῦν γε ὤν· ἐγὼ δέ, ὥσπερ ἐπιβάταις νόμος, σιωπῇ καθεδοῦμαι πάντα πειθόμενος κελεύοντί σοι.

ΕΡΜ. Ὀρθῶς λέγεις· αὐτὸς γὰρ εἴσομαι τί ποιητέον καὶ ἐξευρήσω τὴν ἱκανὴν σκοπήν. ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος ἢ ὁ Παρνασὸς ὑψηλότερος ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκεινοσί; καίτοι οὐ φαῦλον ὃ ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών· συγκαμεῖν δέ τι καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ.

ΧΑΡ. Πρόσταττε· ὑπουργήσω γὰρ ὅσα δυνατά.

ΕΡΜ. Ὅμηρος ὁ ποιητής φησι τοὺς Ἀλωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας, ἔτι παῖδας ἐθελῆσαί ποτε τὴν Ὄσσαν ἐκ βάθρων ἀνασπάσαντας ἐπιθεῖναι τῷ Ὀλύμπῳ, εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰομένους καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. ἐκείνω μὲν οὖν τὼ μειρακίω, ἀτασθάλω γὰρ ἤστην, δίκας ἐτισάτην· νὼ δὲ — οὐ γὰρ ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν — τί οὐχὶ οἰκοδομοῦμεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν;

4. ΧΑΡ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες ἀναθέσθαι ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν; 4

οντι, näml. ἀνέμῳ. Aehnl. Hermotim. 28: ἣν ἅπαξ ἐπιδῷ τῇ πνεούσῃ (näml. αὔρᾳ) τις αὐτόν. — τὴν ἡσυχίαν, die gewöhnliche, gehörige Ruhe. So häufig mit dem Artikel; vgl. Dial. deor. 15, 3. Piscat. 27. Ver. hist. 1, 38. Eunuch. 6.; ohne Artikel, Jud. voc. 2. Dial. mar. 15, 3. Icarom. 26. Pro imag. 15 u. ö. — αὐτὸς γὰρ εἰδέναι, näml. ἔφην od. ἔλεγον, was in Gedanken aus παρακελεύομαι zu ergänzen. Toxar. 58: ὁ δὲ Σισίννης παρεμυθεῖτο καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν· αὐτὸς γὰρ ἐπινοήσειν. — κατὰ ταὐτά, auf gleiche Weise, ebenso. — πάντα, in allen Stücken. Toxar. 56: πειστέον καὶ ταῦτά σοι νομοθετοῦντι. — Παρνασός, Gebirge in Phokis. — ἀμφοῖν, näml. ὑψηλότερος. — Ὅμηρος, Odyss. 11, 305—320. — τοὺς Ἀλωέως υἱέας, Otos und Ephialtes, Söhne des Poseidon u. der Iphimedeia, der Gemahlin des Aloeus, welche alle Jahre eine Elle in die Breite und eine Klafter in die Länge wuchsen. So massen sie im neunten Jahre neun Ellen in der Breite und neun Klaftern in der Länge und bedrohten nun durch Uebereinandersetzen der hier genannten Gebirge die Götter auf dem Olympos. — δύο καὶ αὐτούς, wie ich und du. — Ὄσσαν, Gebirge Thessaliens, südöstlich davon Pelion. — ταύτην κλίμακα, s. zu II, 10. — ἀφ' ὑψηλοτέρου, von einem höheren Punkte.

4. δύ' ὄντες, wir: die wir nur zwei sind. Vgl. weiter unten εἷς ὤν. Ebenso Jup. conf. 19: καὶ ταῦτα τρεῖς οὖσαι. — ἀναθέσθαι, nämlich auf den Olym-

ἐξενέγκωσι πρὸς τοὺς θεοὺς ὥσπερ οἱ Γίγαντες. ἀλλ' ὅτι μὲν δὴ οὐδὲν ἠδίκησθε, ὦ Ἑρμῆ, πρὸς ἐμοῦ καὶ τῶν ἔργων τῶν ἐμῶν, δῆλον· ἢ σὺ δεῖξον κἂν ἕν τι μικρότατον, κἀγὼ σιω-
14 πήσομαι καὶ δίκαια ἔσομαι πεπονθὼς πρὸς ὑμῶν. 14. ὅτι δὲ καὶ χρήσιμα ταῦτα γεγένηται τοῖς θεοῖς, οὕτως ἂν μάθοις, εἰ ἐπιβλέψειας ἅπασαν τὴν γῆν οὐκέτ' αὐχμηρὰν καὶ ἀκαμῆ οὖσαν, ἀλλὰ πόλεσι καὶ γεωργίαις καὶ φυτοῖς ἡμέροις διακεκοσμημένην καὶ τὴν θάλατταν πλεομένην καὶ τὰς νήσους κατοικουμένας, ἁπανταχοῦ δὲ βωμοὺς καὶ θυσίας καὶ ναοὺς καὶ πανηγύρεις·

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί.

καὶ γὰρ εἰ μὲν ἐμαυτῷ μόνῳ κτῆμα τοῦτο ἐπλασάμην, ἐπλεονέκτουν ἴσως, νυνὶ δ' εἰς τὸ κοινὸν φέρων κατέθηκα ὑμῖν αὐτούς· μᾶλλον δὲ Διὸς μὲν καὶ Ἀπόλλωνος καὶ Ἥρας καὶ σοῦ [δέ], ὦ Ἑρμῆ, νεὼς ἰδεῖν ἁπανταχοῦ ἔστι, Προμηθέως δὲ οὐδαμοῦ. ὁρᾷς, ὅπως τὰ ἐμαυτοῦ μόνα σκοπῶ, τὰ κοινὰ δὲ κα-
15 ταπροδίδωμι καὶ ἐλάττω ποιῶ. 15. ἔτι δέ μοι, ὦ Ἑρμῆ, καὶ τόδε ἐννόησον, εἴ τί σοι δοκεῖ ἀγαθὸν ἀμάρτυρον, οἷον κτῆμα ἢ ποίημα, ὃ μηδεὶς ὄψεται μηδὲ ἐπαινέσεται, ὁμοίως ἡδὺ καὶ τερπνὸν ἔσεσθαι τῷ ἔχοντι. πρὸς δὴ τί τοῦτ' ἔφην; ὅτι μὴ γενομένων τῶν ἀνθρώπων ἀμάρτυρον συνέβαινε τὸ κάλλος εἶναι τῶν ὅλων, καὶ πλοῦτόν τινα πλουτήσειν ἐμέλλομεν οὔτε ὑπ'

Ver. hist. 1, 12. — πρὸς ἐμοῦ, s. zu II, 25. — κἄν, vollständig würde es heissen: δεῖξον, κἂν ἕν τι μικρότατον δείξῃς. S. oben zu c. 2.

14. καὶ χρήσιμα, auch nützlich. Worauf bezieht sich καί? — αὐχμηράν, rauh, wild. — ἀκαμῆ, unbebaut. — γεωργίαις, bebaute Ländereien. In derselben Bedeutung schon bei Isocrates u. A. — πλεομένην, beschifft werdend, Kr. Gr. §. 46, 6, 3. — μεσταὶ δὲ Διὸς κτέ., aus Aratos' Phaenom. z. A. — κτῆμα τοῦτο. Warum hier kein Artikel? — ἐπλεονέκτουν ἴσως, muss wol mit eingeschobenem ἄν heissen: ἐπλεονέκτουν ἂν ἴσως. — αὐτούς, näml. τοὺς ἀνθρώπους. — μᾶλλον δέ, s. zu II, 38. — καὶ σοῦ δέ, s. zu II, 33. — Προμηθέως δὲ οὐδαμοῦ. In der Wahrheit nicht begründet; denn zu Athen hatte er ein Heiligthum in der Akademie, und alljährlich wurde ihm zu Ehren daselbst ein Fackellauf gehalten. Allerdings war seine Verehrung dem Zeus und den andern Göttern gegenüber von keiner Bedeutung. — ὁρᾷς, ὅπως, ironisch.

15. ἀγαθὸν ἀμάρτυρον, ein Gut ohne Zeugen. — οἷον, zum Beispiel, wie. — πρὸς δὴ τί, wozu nun, zu welchem Zweck. Hipp. 2: πρὸς δὴ τί ταῦτ' ἔφην; — συνέβαινε, s. zu II, 37. — πλοῦτόν τινα πλουτήσειν, s. zu II, 48. Ueber den In-

πλέον Ἰταλίας καὶ Σικελίας, ἀπὸ δὲ τῶν ἀρκτῴων τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνον, κἀκεῖθεν ἡ Κρήτη οὐ πάνυ σαφῶς. μετακινητέα ἡμῖν, ὦ πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν, εἶτα ὁ Παρνασὸς ἐπὶ πᾶσιν.

ΧΑΡ. Οὕτω ποιῶμεν. ὅρα μόνον, μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον ἀπομηκύναντες πέρα τοῦ πιθανοῦ, εἶτα συγκαταρριφέντες αὐτῷ πικρᾶς τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν ξυντριβέντες τῶν κρανίων.

ΕΡΜ. Θάρρει· ἀσφαλῶς ἕξει ἅπαντα. μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω ὁ Παρνασός. ἰδοὺ δή, ἐπάνειμι αὖθις· εὖ ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ.

ΧΑΡ. Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· οὐ γὰρ ἐπὶ μικράν με ταύτην μηχανὴν ἀναβιβάζεις.

ΕΡΜ. Εἴ γε καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρων, ἅπαντα· οὐκ ἔνι δὲ ἄμφω καὶ ἀσφαλῆ καὶ φιλοθεάμονα εἶναι. ἀλλ' ἔχου μου τῆς δεξιᾶς καὶ φείδου μὴ κατὰ τοῦ ὀλισθηροῦ πατεῖν. εὖ γε, ἀνελήλυθας καὶ σύ· ἐπείπερ δὲ δικόρυμβος ὁ Παρνασός ἐστι, μίαν ἑκάτερος ἄκραν ἀπολαβόμενοι καθεζώμεθα· σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων ἐπισκόπει ἅπαντα.

6. ΧΑΡ. Ὁρῶ γῆν πολλὴν καὶ λίμνην τινὰ μεγάλην περιρρέουσαν καὶ ὄρη καὶ ποταμοὺς τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος μείζονας καὶ ἀνθρώπους πάνυ σμικροὺς καί τινας φωλεοὺς αὐτῶν. 6

15. — τὰ ἐπὶ τάδε, die diesseitigen Gegenden. — Οἴτη, s. zu II, 6. — ἐπὶ πᾶσιν, auf alle Berge. — λεπτότερον, näml. als recht ist. — πικρᾶς als Prädicat mit πειραθ. zu verbinden. — ξυντριβέντες τῶν κρανίων, vgl. II, 48: κατέαγα τοῦ κρανίου, und das die Anm. — ἐπὶ μικρὰν ταύτην μηχανήν = οὐ γὰρ μικρά ἐστιν αὕτη ἡ μηχανή, ἐφ' ἣν με ἀναβιβάζεις. Wir drücken das Pronom. in solcher Verbindung mit da, hier aus; Dial. mort. 13, 3: ἔτι ἐν Βαβυλῶνι κεῖμαι τριακοστὴν ταύτην ἡμέραν. Vgl. Kr. Gr. §. 52, 11, 22. — εἴ γε καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρ., ἅπαντα, zu ergänzen aus den Worten des Charon: du musst hier herauf steigen, oder das kann nichts helfen, wenn u. s. w., oder etwas Aehnliches. — ἔχου, halte dich fest an. — φείδου μή, hüte dich. Anachars. 1. Bis acc. 14. — δικόρυμβος, ebenso bei Ovid. Metam. 2, 221 biceps. Zwei durch bacchischen Cultus berühmte Gipfel haben spätere Schriftsteller veranlasst ihn so zu nennen. — ἀπολαβόμενοι. Bis acc. 9: τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος οἰκεῖ μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ.

6. λίμνην τινά, eine Art See. Charon denkt hier an den Acheron, mit dem er den Ocean vergleicht. — τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος, Flüsse der Unterwelt. —

τες, ἄρτι μὲν ταῦροι, ἄρτι δὲ σάτυροι καὶ κύκνοι γινόμενοι, καὶ θεοὺς ἐξ αὐτῶν ποιεῖσθαι ἀξιοῦτε. ἀλλ' ἐχρῆν μέν, ἴσως φήσεις, ἀναπεπλάσθαι τοὺς ἀνθρώπους, ἄλλον δέ τινα τρόπον, ἀλλὰ μὴ ἡμῖν ἐοικότας· καὶ τί ἂν ἄλλο παράδειγμα τούτου ἄμεινον προεστησάμην, ὃ πάντως καλὸν ἠπιστάμην; ἢ ἀσύνετον καὶ θηριῶδες ἔδει καὶ ἄγριον ἀπεργάσασθαι τὸ ζῷον; καὶ πῶς ἂν ἢ θεοῖς ἔθυσαν ἢ τὰς ἄλλας ὑμῖν τιμὰς ἀπένειμαν οὐχὶ τοιοῦτοι γενόμενοι; ἀλλὰ ὑμεῖς, ὅταν μὲν ὑμῖν τὰς ἑκατόμβας προσάγωσιν, οὐκ ὀκνεῖτε, κἂν ἐπὶ τὸν Ὠκεανὸν ἐλθεῖν δέῃ „μετ' ἀμύμονας Αἰθιοπῆας“· τὸν δὲ τῶν τιμῶν ὑμῖν καὶ τῶν θυσιῶν αἴτιον ἀνεσταυρώκατε. περὶ μὲν οὖν τῶν ἀνθρώπων καὶ ταῦτα ἱκανά. 18. ἤδη δὲ καὶ ἐπὶ τὸ πῦρ, εἰ δοκεῖ, μετελεύσομαι καὶ τὴν ἐπονείδιστον ταύτην κλοπήν. καὶ πρὸς θεῶν τοῦτό μοι ἀπόκριναι μηδὲν ὀκνήσας· ἔσθ' ὅ τι ἡμεῖς τοῦ πυρὸς ἀπολωλέκαμεν, ἐξ οὗ καὶ παρ' ἀνθρώποις ἐστίν; οὐκ ἂν εἴποις. αὕτη γάρ, οἶμαι, φύσις τουτουὶ τοῦ κτήματος· οὐδέν τι ἔλαττον γίγνεται, εἴ τις καὶ ἄλλος αὐτοῦ μεταλάβοι· οὐ γὰρ ἀποσβέννυται ἐναυσαμένου τινός· φθόνος δὲ δὴ ἄντικρυς τὸ τοιοῦτον, ἀφ' ὧν μηδὲν ὑμεῖς ἠδίκησθε, τούτων κωλύειν μεταδιδόναι τοῖς δεομένοις. καίτοι θεούς γε ὄντας ἀγαθοὺς χρὴ εἶναι καὶ „δωτῆρας ἑάων“ καὶ ἔξω φθόνου παντὸς ἑστάναι· ὅπου γε καὶ εἰ τὸ πᾶν τοῦτο πῦρ ὑφελόμενος κατεκόμισα ἐς τὴν γῆν μηδ' ὅλως τι αὐτοῦ καταλιπών, οὐ μεγάλα ὑμᾶς ἠδίκουν· οὐδὲ γὰρ ὑμεῖς δεῖσθε αὐτοῦ μήτε ῥιγοῦντες μήτε

— ἄρτι μὲν ταῦροι κτἑ. Zeus entführte die Europe in der Gestalt eines Stieres, der Antiope erschien er als Satyr, der Leda als Schwan. — ἐξ αὐτῶν, näml. τῶν γυναικῶν. — ποιεῖσθαι, procreare. Gewöhnlich παῖδας ποιεῖσθαι. — ἀξιοῦτε, haltet ihr nicht für ungebührlich. — προεστησάμην, hinstellen. Vgl. I, 18. — ὃ πάντως καλὸν ἠπιστάμην. Toxar. 45: ἠπίστατο γὰρ πένητα τὸν Ἀρσακόμαν. — ἤ, wir: etwa. Vgl. c. 19. — οὐχὶ τοιοῦτοι γενόμενοι, wenn sie nicht. — μετ' ἀμύμονας Αἰθ., Anspielung auf Il. 1, 423: Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

18. μετελεύσομαι. Die att. Form ist μέτειμι; vgl. Dial. mort. 5, 2. 10, 13. 18, 2. Navig. 38. — ταύτην, s. z. II, 6. — ἔσθ' ὅ τι κτἑ., quidquamne est, quod ex igne amisimus. — ἐξ οὗ, s. zu II, 9. — οὐδέν τι, durchaus nicht, ganz und gar nicht. Tox. 22: ἄκουσον ἤδη τρίτον ἄλλον οὐδέν τι χείρονα αὐτῶν. — φθόνος δὲ δή. δὲ δή hebt den Gegensatz mehr hervor; häufig bei Luc. — ἄντικρυς, geradezu. — ἀφ' ὧν μηδὲν ὑμεῖς ἠδίκησθε, d. i. woraus euch kein Nachtheil erwächst. — δωτῆρας ἑάων, von den Göttern Od. 8, 325. — ἔξω φθόνου παντὸς ἑστάναι. Plat. Phaedr. p. 247 A: φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται. — ὅπου γε, quandoquidem. — ῥιγοῦντες.

ὄφρ' εὖ γινώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.

τί ἐστιν; ἤδη ὁρᾷς;

ΧΑΡ. Ὑπερφυῶς γε· τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος ὡς πρὸς ἐμέ· ὥστε σὺ τὸ ἐπὶ τούτῳ προσδίδασκέ με καὶ ἀποκρίνου ἐρωτῶντι. ἀλλὰ βούλει κἀγὼ κατὰ τὸν Ὅμηρον ἐρήσομαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελέτητον ὄντα με τῶν Ὁμήρου;

ΕΡΜ. Καὶ πόθεν σὺ ἔχεις τι τῶν ἐκείνου εἰδέναι ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν;

ΧΑΡ. Ὁρᾷς; ὀνειδιστικὸν τοῦτο ἐς τὴν τέχνην. ἐγὼ δὲ ὁπότε διεπόρθμευον αὐτὸν ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας ἐνίων ἔτι μέμνημαι· καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατελάμβανεν. ἐπεὶ γὰρ ἤρξατο ᾄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας καὶ ἐτάραξε τὸν πόντον ὥσπερ τορύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν καὶ πάσας τὰς θυέλλας ὠρόθυνε καὶ ἄλλα πολλά, κυκῶν τὴν θάλατταν ὑπὸ τῶν ἐπῶν, χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν, ὅτε περ καὶ ναυτιάσας ἐκεῖνος ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ καὶ Χαρύβδει καὶ Κύκλωπι. οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμέτου ὀλίγα γοῦν διαφυλάττειν. 8. εἰπὲ γάρ μοι· 8

τίς γὰρ ὅδ' ἐστὶ πάχιστος ἀνὴρ ἠΰς τε μέγας τε,
ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους;

ΕΡΜ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. ἐπικροτοῦσι

zu Diomedes Il. 5, 127 fg. — τί ἐστιν; wie steht's? — Λυγκεύς, einer der Argonauten, berühmt wegen der Schärfe seines Gesichts, vermöge welcher er sogar in das Innerste der Erde zu sehen im Stande war. — ὡς πρὸς ἐμέ, s. zu II, 15. — τὸ ἐπὶ τούτῳ, darauf, weiter; Dial. deor. 1, 2. Toxar. 38. Jup. tr. 28 u. ö. — προσδίδασκε, belehre dazu, näml. ausserdem, dass du mich sehend gemacht hast. — βούλει.. ἐρήσομαι, s. zu II, 37. — ἀμελέτητον, unbewandert, Gall. 18. Paras. 60. — ὁρᾷς; ὀνειδιστ. τοῦτο ἐς τὴν τέχνην, siehst du? das ist eine Schmähung auf mein Geschäft, d. h. das ist eine offenbare Schm. u.s.w. Jup. conf. 9: ὁρᾷς; ταῦτα ἤδη ὑβριστικὰ φῄς. — ἤρξατο ᾄδειν, Kr. Gr. §. 56, 5, 1. — ὡς, wie nämlich. Vgl. Odyss. 5, 291 ff. — ἄλλα πολλά, näml. ᾖδε od. etwas Aehnliches. — κυκῶν, näml. Ὅμηρος. — ὑπὸ τῶν ἐπῶν, durch seine Verse. Dial. mar. 11, 1: ὑπὸ τῶν νεκρῶν ἐνέφραττέ μοι τὸν ῥοῦν. — ὀλίγου δεῖν, s. zu I, 6. — ὅτε περ καί, und da gerade auch; Toxar. 24. Alex. 59. — αὐτῇ Σκύλλῃ, s. zu II, 22.

8. τίς γὰρ κτέ., Parodie von Il. 3, 226, wo es von Aias heisst: τίς τ' ἄρ' ὅδ' ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε, ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους; — Μίλων, jener berühmte Athlet (um Ol. 67. etwa 510 v. Chr.), der sechs Mal in den olympischen und sieben Mal in den pythischen

ΕΡΜ. Εἰ γὰρ γένοιτο, ὦ Προμηθεῦ, ταῦτα καὶ ἐπίδοιμί σε λελυμένον, ἐν ἡμῖν εὐωχούμενον, οὐ μέντοι καὶ κρεανομοῦντά γε.

21 *21. ΠΡΟΜ. Θάρρει· καὶ συνευωχήσομαι ὑμῖν καὶ ὁ Ζεὺς λύσει με οὐκ ἀντὶ μικρᾶς εὐεργεσίας.*

ΕΡΜ. Τίνος ταύτης; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν.

ΠΡΟΜ. Οἶσθα, ὦ Ἑρμῆ, τὴν Θέτιν; ἀλλ' οὐ χρὴ λέγειν· φυλάττειν γὰρ ἄμεινον τὸ ἀπόρρητον, ὡς μισθὸς εἴη καὶ λύτρα μοι ἀντὶ τῆς καταδίκης.

ΕΡΜ. Ἀλλὰ φύλαττε, ὦ Τιτάν, εἰ τοῦτ' ἄμεινον. ἡμεῖς δὲ ἀπίωμεν, ὦ Ἥφαιστε· καὶ γὰρ ἤδη πλησίον οὑτοσὶ ὁ ἀετός. ὑπόμενε οὖν καρτερῶς· εἴη δὲ ἤδη σοι τὸν Θηβαῖον ὃν φῂς τοξότην ἐπιφανῆναι, ὡς παύσειεν ἀνατεμνόμενον ὑπὸ τοῦ ὀρνέου.

κράν, s. zu I, 1. — ἐπιπετήσεσθαι. Dieselbe Futurform Saturn. 35.; desgleichen auch bei Aristophanes. Das gewöhnl. att. Futur. ist πτήσομαι. — εἰ γάρ, *utinam;* Kr. Gr. §. 54, 3, 3. — ἐν ὑμῖν, unter uns, in unserer Mitte. Toxar. 44: δειπνεῖν ἐν τοῖς ἄλλοις.

21. τίνος ταύτης; noch abhängig von ἀντί = τίς ἐστιν αὕτη, ἀνθ' ἧς κτἑ.; s. zu IV, 21. — τὴν Θέτιν, die Tochter des Nereus. Zeus befreite den Prometheus, als dieser ihm mittheilte, wenn er mit der Thetis einen Sohn zeuge, so werde dieser grösser als der Vater werden und denselben vom Throne stossen. Vgl. Dial. deor. 1. — εἴη δέ, möge es der Fall sein, möge es geschehen. Pro laps. in sal. 19: καὶ εἴη γε τοιοῦτον φανῆναι τὸν λόγον. — ἀνατεμνόμενον, näml. σέ, wie aus dem Zusammenhange erhellt. Wegen des Partic. vgl. Tox. 33: τοιόνδε τι προσπεσὸν ἔπαυσεν αὐτοὺς δυστυχοῦντας.

IV.

CHARON ODER DIE WELTBESCHAUER.

In ganz besonderer Schönheit ragt vorliegende Schrift durch das Sinnreiche der Erfindung hervor. Charon, jener bekannte Fährmann der abgeschiedenen Seelen, hat sich von Hades Urlaub ausgebeten, auf Einen Tag die Oberwelt besuchen zu dürfen, um das eitle und nichtige Thun und Treiben der Menschen kennen zu lernen. Daselbst trifft er zufällig seinen alten Freund und Genossen Hermes, und ersucht diesen, weil er hier hinreichend bekannt sei, ihm als Wegweiser zu dienen, wozu dieser denn auch nach einiger Weigerung bereit ist. Um einen grossen, weiten Ueberblick zu haben und die ganze Erde gleichsam in der Vogelperspective betrachten zu können, wälzen beide, da dem Charon, als Insassen des Todtenreichs, der Zutritt in den Himmel nicht erlaubt ist, den Ossa auf den Olympos, auf sie dann den Pelion, und da diese Höhe immer noch nicht hinreicht, darauf den Oeta und Parnasos. Von dieser Höhe herab zeigt nun Hermes dem Charon, dessen Sehkraft mit Hilfe einiger homerischen Verse auf zauberhafte Weise geschärft worden ist, das armselige und eitle Drängen und Treiben der Sterblichen in seiner nackten Wahrheit, welche die wenigen Jahre ihres Lebens so hinbringen, als hätten sie den Tod ganz und gar nicht zu fürchten, der doch in längerer oder kürzerer Zeit allen bevorstehe.

Die Form des Gesprächs, in dem wir in die Zeiten des Kyros, Krösos und Solon versetzt werden, und in dem die Lehren wahrer Weisheit mit dem heitersten Humor gewürzt erscheinen, ist ebenfalls die dem Lucian eigenthümliche dramatisch-dialogische.

ΚΡΟΙΣ. Ἐρώτα, ὦ Σόλων.

ΣΟΛ. Πότεροι ἀμείνους, οἱ σώζοντές τινας ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν;

ΚΡΟΙΣ. Οἱ σώζοντες δηλαδή.

ΣΟΛ. Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;

ΚΡΟΙΣ. Ὁ σίδηρος δῆλον ὅτι.

ΣΟΛ. Καὶ εἴ γε τοῦτον μὴ παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυσὸς ἐς Πέρσας αἰχμάλωτος.

ΚΡΟΙΣ. Εὐφήμει, ἄνθρωπε.

ΣΟΛ. Μὴ γένοιτο μὲν οὕτω ταῦτα· φαίνῃ δ' οὖν ἀμείνω τοῦ χρυσοῦ τὸν σίδηρον ὁμολογῶν.

ΚΡΟΙΣ. Οὐκοῦν καὶ τῷ θεῷ σιδηρᾶς πλίνθους θέλεις ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖθις ἀνακαλεῖν;

ΣΟΛ. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται, ἀλλ' ἤν τε χαλκὸν ἤν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα καὶ ἕρμαιον ἔσῃ ἀνατεθεικὼς ἢ Φωκεῦσιν ἢ Βοιωτοῖς ἢ Δελφοῖς αὐτοῖς ἤ τινι τυράννῳ ἢ λῃστῇ, τῷ δὲ θεῷ ὀλίγον μέλει τῶν σῶν χρυσοποιῶν.

ΚΡΟΙΣ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς.

13 13. *ΕΡΜ.* Οὐ φέρει ὁ Λυδός, ὦ Χάρων, τὴν παρρησίαν καὶ τὴν ἀλήθειαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄνθρωπος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως λέγων. μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν αὐτὸν δέῃ ἁλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου

ποιήσῃ, machen lassen. — ἐς Πέρσας = ἐς Περσίδα. Der Name des Volkes, wie häufig auch bei den Lateinern, für den Namen des Landes. Kr. Gr. §. 68, 21, 2. — εὐφήμει, brauche Worte von guter Bedeutung, d. i. das verhüte Gott, rede nicht so. — φαίνῃ . . ὁμολογῶν. Oben c. 11: ἀλλ' οὐ Σόλων γε ἐκεῖνος ἐρᾶν αὐτοῦ φαίνεται. Mit dem Particip. steht φαίνεσθαι verbunden, wenn von einem objectiven, realen Erscheinen, mit dem Infinitiv., wie δοκεῖν, wo von einem subjectiven Erscheinen die Rede ist, wiewohl spätere Schriftsteller diesen Unterschied keineswegs stets beobachten. Vgl. Kr. Gr. §. 56, 4, 5. — ἤν τε . . ἤν τε, sive .. sive. — Φωκεῦσιν. Im sogenannten heiligen Kriege (356 — 346) bemächtigten sich die Phoker des reichen Tempels und raubten die dort befindlichen Schätze. — χρυσοποιῶν, Goldmacher, Goldarbeiter. Ebenso in der Anthol. Pal. 14, 50 ἀργυροποιός.

13. οὐχ ὑποπτήσσων, nähere Bestimmung zu τὸ πρᾶγμα. — τὸ παριστάμενον, was gerade in den Sinn kommt. — δέῃ, d. i.

ἀναχθῆναι· ἤκουσα γὰρ τῆς Κλωθοῦς πρῴην ἀναγινωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα, ἐν οἷς καὶ ταῦτα ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκεινησὶ τῆς Μασσαγέτιδος ἀποθανεῖν. ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ λευκοῦ ἐξελαύνουσαν;

ΧΑΡ. Νὴ Δία.

ΕΡΜ. Τόμυρις ἐκείνη ἐστί, καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν· οὗτος βασιλεύσει μετὰ τὸν πατέρα καὶ μυρία σφαλεὶς ἔν τε τῇ Λιβύῃ καὶ Αἰθιοπίᾳ τὸ τελευταῖον μανεὶς ἀποθανεῖται ἀποκτείνας τὸν Ἆπιν.

ΧΑΡ. Ὢ πολλοῦ γέλωτος. ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος; 14. ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀναδίδωσι τὸν ἰχθὺν ἀνατεμών, 14

νήσῳ ἐν ἀμφιρύτῃ; βασιλεὺς δέ τις εὔχεται εἶναι.

quum tempus aderit, ut. So oft δεῖ von dem, was nach dem Schicksal nothwendig eintreten muss. — ἐπὶ τὴν πυράν, Herodot. 1, 86. — Κλωθοῦς, eine der drei Parzen (Lachesis, Atropos), die den Lebensfaden spinnt. — ἁλῶναι . . ἀποθανεῖν, Infinitiv. des Aorists, wo wir den des Futurum's erwarten; s. Kr. Gr. §. 53, 6, 9. — ὑπ' ἐκεινησὶ . . ἀποθανεῖν, s. zu II, 32. — Τόμυρις, Herodot. 1, 214. — μυρία σφαλείς, nachdem er tausend Unfälle erlitten; μυρία ist Accusat., Kr. Gr. §. 46, 5, 5. — ἀποκτείνας τὸν Ἆπιν. Apis ist der von den Aegyptiern göttlich verehrte Stier. Herodot. 3, 30: Καμβύσης δέ, ὡς λέγουσι Αἰγύπτιοι, αὐτίκα διὰ τοῦτο τὸ ἀδίκημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης. Kambyses hatte sich unvorsichtig mit seinem Schwerte an derselben Stelle seines Körpers verwundet, an der er den Apis tödtlich verwundet hatte. — ὢ πολλοῦ γέλωτος, o über das viele lächerliche Zeug; c. 22: τῆς ἀνοίας. 23: παπαῖ τῶν ἐπαίνων. 24: ὢ τῆς ἀνοίας. — ἐν ἀσκῷ αἵματος, in einem Schlauche mit Blut. So schon Homer. Odyss. 9, 196: αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο. Kr. Gr. §. 47, 8.

14. τὴν ἐφεστρίδα, ein chlamysartiges Gewand, Oberkleid, Mantel, mit einer Spange od. Agraffe (πόρπη) über der Schulter zusammengehalten. Dial. meretr. 9, 2: ἑώρακα αὐτὸν ἐφεστρίδα περιπόρφυρον ἐμπεπορπημένον. Dial. mort. 13, 5. — ὁ τὸ διάδημα, s. oben zu c. 9. — ᾧ τὸν δακτύλιον, vgl. Herodot. 3, 41 f. — νήσῳ ἐν ἀμφιρύτῃ, d. i. Samos, bei Homer. Odyss. 1, 50. von der Insel Ogygia. Mit den folgenden Worten βασ. δέ τις εὔχεται εἶναι vgl. Odyss. 1, 180. 5, 450. — προδο-

ΕΡΜ. Εὖ γε παρῳδεῖς ἤδη, ὦ Χάρων, ἀλλὰ Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον πανευδαίμονα ἡγούμενον εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ ἀνασκολοπισθήσεται ἄθλιος ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου· καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα.

ΧΑΡ. Ἄγαμαι Κλωθοῦς γεννικῆς· καῖ' αὐτούς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες· ἐν τοσούτῳ δὲ ἐπαιρέσθων ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι. ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ μήτε τὴν πορφυρίδα μήτε τιάραν ἢ κλίνην χρυσῆν κομίζοντας.

2 ΤΕΡΨ. Οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως· ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον πρότερον, καὶ μετὰ τοῦτον ὅστις [καὶ] τῇ ἡλικίᾳ μετ' αὐτόν, ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτταρσιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλλίστους καὶ ἐρρωμενεστάτους νεανίσκους· ἄνω γὰρ ποταμῶν τοῦτό γε· ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον. νῦν δέ, τὸ τῆς παροιμίας, ἡ ἅμαξα τὸν βοῦν.

3 ΠΛΟΥΤ. Ταῦτα μέν, ὦ Τερψίων, πολὺ συνετώτερα γίνεται ἤπερ σοὶ δοκεῖ. καὶ ὑμεῖς δὲ τί παθόντες ἀλλοτρίοις ἐπιχαίνετε καὶ τοῖς ἀτέκνοις τῶν γερόντων ἐσποιεῖτε φέρον-

1. πρὸς ἡδονήν, zum Vergnügen, zu verbinden mit χρήσασθαι. — τὸ δέ, dieses aber; vgl. Iud. voc. 11. Dial. mar. 14, 3. Anach. 35 u. s. Kr. Gr. §. 50, 1, 4.

2. πρότερον, näml. ἀποθνήσκειν. — ἀναστρ. δὲ μηδαμῶς, näml. ἐχρῆν τὸ πρᾶγμα. — τὴν ῥῖνα .. τοὺς ὀφθαλμούς, Kr. Gr. §. 46, 4. — ἄνω ποταμῶν τοῦτό γε, unser: das ist die verkehrte Welt. Eine sprichwörtliche Redensart, die vollständig bei Eurip. Med. 411 also lautet: ἄνω ποταμῶν χωροῦσι παγαί, die Quellen fliessen stromaufwärts. Demosth. 19, 287: ἄνω ποταμῶν οἱ περὶ πορνείας ἐρρύησαν λόγοι. — τεθνήξεται, s. zu IV, 17. — ἵνα μὴ μάτ. ἂν ἐν. ἐθεράπευον, damit ich nicht umsonst Manchen den Hof machte, Ueber ἵνα mit dem Indicat. s. Kr. Gr. §. 54, 8, 8. Die Partikel ἄν, welche sich auch hier auf eine Bedingung bezieht, findet sich bei Lucian an mehreren Stellen hinzugefügt. So Toxar. 18: καὶ εἴθε γε ἀνώμοτος ὢν ταῦτα ἔλεγες, ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην αὐτοῖς, wo zu ergänzen εἰ ἀν. ταῦτα ἔλεγες. Piscat. 2 z. E. Icaromenipp. 21. Ohne ἄν Nigr. 32. Abdicat. 1 (wo es ἰασάμην heissen muss). — τὸ τῆς παροιμίας, wie es im Sprichwort heisst. Kr. Gr. §. 57, 10, 11. 12. — ἡ ἅμαξα τὸν βοῦν, näml. ἕλκει. Ein Sprichwort von demselben Sinne mit dem vorhergehenden.

3. ἐσποιεῖτε .. αὐτούς, dringt ihr euch auf bei. — φέροντες, s. zu II, 22. Kr. Gr. §. 56, 8, 5. —

τες αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε πρὸ ἐκείνων κατορυττόμενοι, καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται· ὅσῳ γὰρ ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν. καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε γραῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα εἰ ἄτεκνοι εἶεν, οἱ δὲ ἔντεκνοι ὑμῖν ἀνέραστοι. καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων συνέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν· εἶτα ἐν ταῖς διαθήκαις ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων, οἱ δὲ ὑποπρίουσι τοὺς ὀδόντας ἀποσμυγέντες.

ΤΕΡΨ. Ἀληθῆ ταῦτα φῄς· ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν ἀεὶ τεθνήξεσθαι δοκῶν καὶ ὁπότε ἐσίοιμι ὑποστένων καὶ μύχιόν τι καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ' ἔγωγε, ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλά, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρίᾳ, καὶ τὰ πολλὰ ὑπὸ φροντίδων ἄγρυπνος ἐκείμην ἀριθμῶν ἕκαστα καὶ διατάττων. ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία καὶ φροντίδες· ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν ἐφειστήκει θαπτομένῳ πρῴην ἐπιγελῶν. 4

ΠΛΟΥΤ. Εὖ γε, ὦ Θούκριτε, ζῴης ἐπὶ μήκιστον πλουτῶν ἅμα καὶ τῶν τοιούτων καταγελῶν, μηδὲ πρότερόν γε σὺ ἀποθάνοις ἢ προπέμψας πάντας τοὺς κόλακας. 5

ΤΕΡΨ. Τοῦτο μέν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαροιάδης προτεθνήξεται Θουκρίτου.

ὅσῳ . . τοσούτῳ, in welchem Grade . . in eben dem. — καινήν τινα ταύτην τέχνην, s. zu IV, 5. — εἰ . . εἶεν. Warum hier der Optativ? — τῶν ἐρωμένων, von denen, welche von euch geliebt werden, bedingt durch die Worte μισεῖν αὐτοὺς πλάττονται. — ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος. Zwei Genetive von einem Nomen abhängig. De Merc. cond. 8: αὐτῶν ἡ λήθη τοῦ καλοῦ. Kr. Gr. §. 47, 9, 6. In Bezug auf das Latein. Zumpt. §. 791 z. E. — πλάττονται, stellen sich, mit Infin. als ob. Erst spätere Verbindung. — ἀπεκλείσθησαν, Kr. Gr. §. 53, 10, 2. — ὑποπρ. τοὺς ὀδ., knirschen im Stillen mit den Z. — ἀποσμυγέντες, geprellt, betrogen. Wie ἀποσμύττω, ἀπομύττω wird auch das Latein. emungere gebraucht.

4. μύχιόν τι, tief unten herauf, tief aus der Brust. Gall. 10: ἐχρέμπτετο μύχιόν τι. — ὅσον αὐτίκα, in nicht gar langer Zeit, bald. Spätere Ausdrucksweise. — ἐπιβήσειν unattisch in transitiver Bedeutung; s. unser Wörterbuch unter ἐπιβαίνω II) 1) a).

ΠΛΟΥΤ. Θάρρει, ὦ Τερψίων· καὶ Φείδων γὰρ καὶ Μέλανθος καὶ ὅλως ἅπαντες προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν.

ΤΕΡΨ. Ἐπαινῶ ταῦτα. ζῴης ἐπὶ μήκιστον, ὦ Θούκριτε.

7.

ΖΗΝΟΦΑΝΤΟΥ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ.

1 ΖΗΝ. Σὺ δέ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅτι παράσιτος ὢν Δεινίου πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν ἀπεπνίγην, οἶσθα· παρῆς γὰρ ἀποθνήσκοντί μοι.

ΚΑΛ. Παρῆν, ὦ Ζηνόφαντε· τὸ δὲ ἐμὸν παράδοξόν τι ἐγένετο. οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα;

ΖΗΝ. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα;

ΚΑΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον ὑπισχνούμενον ἐπ' ἐμοὶ τεθνήξεσθαι. ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπετείνετο καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, — πίνει δὲ ἐπιεικῶς ζωρότερον — ἐμβαλόντα ἐς κύλικα ἕτοιμον ἔχειν αὐτὸ καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσειεν, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν.

ΖΗΝ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας.

2 ΚΑΛ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο δὴ ὁ μειρα-

5. *καὶ Φείδων γάρ*, denn auch Pheidon. So findet sich häufig *καὶ . . γάρ* bei Lucian., vgl. Dial. deor. 13, 1. Fugit. 25. Zeux. 9. De morte Peregr. 29. Char. 7. 14 u. s.

1. *παρῆς*, unattisch für *παρῆσθα*. Ebenso *συνῆς* 16, 3. *ἦς* Gall. 19. Amor. 3. Desgleichen *ἔφης* für *ἔφησθα*, vgl. Gespr. 14, 5. 15, 1. 18, 2. Dial. mar. 13, 2. Vit. auct. 6. 7. 24. Hermot. 59. Pro imag. 8. Anachars. 40. Dial. meretr. 13, 5. Pseudol. 29. u. s. — *τὸ ἐμόν*, was mich betrifft; Kr. Gr. §. 43, 4, 26. — *ἐπ ἐμοὶ τεθνήξεσθαι*, *me vivo, me superstite*, d. i. dass er mich als Erben hinterlassend sterben werde. Vgl. Kr. §. 68, 41, 8. Aehnlich Philostr. vit. soph. 2, 12: *ἐτελεύτα ἐπὶ παιδὶ γνησίῳ μέν, ἀπαιδεύτῳ δέ*. Artemid. 1, 81: *ἀποθανεῖν ἐπὶ κληρονόμοις ταῖς θυγατράσι*. — *ὑπὲρ τὸν Τιθωνόν*, sprichwörtlich von einem sehr langen Leben. Tithonos war der Sohn des Laomedon und Gemahl der Eos, welche den Zeus um Unsterblichkeit für ihn bat, aber die Bitte um ewige Jugend hinzuzufügen vergessen hatte. — *ἐπειδὰν τάχιστα*, sobald als, *quum primum*. — *ζωρότερον*, s. zu II, 54. — *ἐμβαλόντα*, näml. das Gift. — *ἐλεύθερον*. Der *οἰνοχόος* war in der Regel ein junger Sklave.

κίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ, τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δὲ ἑτέραν ἐμοί, σφαλεὶς οὐκ οἶδ' ὅπως ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὴν ἀφάρμακτον ἔδωκεν· εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς, ὦ Ζηνόφαντε; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν.

ΖΗΝ. Ἀστεῖα γάρ, ὦ Καλλιδημίδη, πέπονθας. ὁ γέρων δὲ τί πρὸς ταῦτα;

ΚΑΛ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον, εἶτα συνείς, οἶμαι, τὸ γεγενημένον ἐγέλα καὶ αὐτός, οἷά με ὁ οἰνοχόος εἴργασται.

ΖΗΝ. Πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι· ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερον.

8.

ΚΝΗΜΩΝΟΣ ΚΑΙ ΔΑΜΝΙΠΠΟΥ.

ΚΝΗΜ. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας· ὁ νεβρὸς τὸν λέοντα.

ΔΑΜ. Τί ἀγανακτεῖς, ὦ Κνήμων;

ΚΝΗΜ. Πυνθάνῃ ὅ τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα κατασοφισθεὶς ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ παραλιπών.

ΔΑΜ. Πῶς τοῦτο ἐγένετο;

ΚΝΗΜ. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα

2. *τί τοῦτο γελᾷς;* Aristoph. nub. 820: *τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν;* — *τί πρὸς ταῦτα*, näml. sagte er od. etwas Aehnliches. — *πρὸς τὸ αἰφνίδιον*, s. zu I, 16. — *οἷά με* = *ὅτι τοιαῦτά με*, s. zu II, 22. Ueber die Construction von *ἐργάζεσθαι* s. Kr. Gr. §. 46, 12. — *τὴν ἐπίτομον*, näml. *ὁδόν*. Scyth. 7: *κἀγὼ ἐπίτομόν τινα ταύτην ἐξεῦρον* u. ö. Kr. Gr. §. 43, 3, 3. — *ἧκε*, näml. es, die Sache, d. i. die Erbschaft. Vgl. Kr. Gr. §. 61, 5, 6.

8. *τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας*, da haben wir es, wie es im Sprichwort heisst. Vgl. Piscat. 8: *τοῦτ' ἐκεῖνο, ἐς πεδίον τὸν ἵππον.* De merc. cond. 12: *τοῦτ' ἐκεῖνο, ἐκ Διὸς δέλτων ὁ μάρτυς.* Kr. Gr. §. 51, 7, 11. — *ὁ νεβρὸς τὸν λέοντα*, näml. *αἱρεῖ*, das Hirschkalb erwischt den Löwen, ein Sprichwort zur Bezeichnung des Unerwarteten oder unmöglich Scheinenden. — *πυνθάνῃ ὅ τι ἀγανακτῶ;* Das Verbum *πυνθάνῃ* hätte auch fehlen können. Iup. trag. 6: *Ἑρμ. ἀλλὰ πῶς γάρ, ὦ Ζεῦ, ἀξιοῖς; Ζευς. ὅπως ἀξιῶ;* Aristoph. nub. 673: *ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; Σωκ. ὅπως;* ran. 198: *Χαρ. οὗτος, τί ποιεῖς; Διον. ὅ τι ποιῶ;* u. ö. so auch bei Platon. Kr. Gr. §. 51, 17, 3. — *ἄθλιος* mit *κατασοφισθείς* eng zu verbinden, daher ohne Artikel; s. zu IV, 14. — *ἐβουλόμην ἄν*, *vellem* (Zumpt §. 528). Bis acc.

ἐθεράπευον ἐπὶ θανάτῳ, κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτο εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερόν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε καὶ τὰ αὐτὰ πράξειεν.

ΔΑΜ. Τί οὖν δὴ ἐκεῖνος;

ΚΝΗΜ. Ὅ τι μὲν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον τοῦ τέγους μοι ἐπιπεσόντος, καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ ὥσπερ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας.

ΔΑΜ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα· ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας.

ΚΝΗΜ. Ἔοικα· οἰμώζω τοιγαροῦν.

9.

ΣΙΜΥΛΟΥ ΚΑΙ ΠΟΛΥΣΤΡΑΤΟΥ.

1 ΣΙΜ. Ἥκεις ποτέ, ὦ Πολύστρατε, καὶ σὺ παρ' ἡμᾶς ἔτη, οἶμαι, οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς;

ΠΟΛ. Ὀκτὼ ἐπὶ τοῖς ἐνενήκοντα, ὦ Σιμύλε.

ΣΙΜ. Πῶς δαὶ τὰ μετ' ἐμὲ ταῦτα ἐβίως τριάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντά σου ὄντος ἀπέθανον.

ΠΟΛ. Ὑπερήδιστα, εἰ καί σοι παράδοξον τοῦτο δόξει.

ΣΙΜ. Παράδοξον, εἰ γέρων τε καὶ ἀσθενής, ἄτεκνός τε προσέτι, ἥδεσθαι τοῖς ἐν τῷ βίῳ ἐδύνασο.

2 ΠΟΛ. Τὸ μὲν πρῶτον ἅπαντα ἐδυνάμην· ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοὶ καὶ γυναῖκες ἁβρόταται καὶ μύρα καὶ οἶνος ἀνθοσμίας καὶ τράπεζα ὑπὲρ τὰς ἐν Σικελίᾳ.

ΣΙΜ. Καινὰ ταῦτα· ἐγὼ γάρ σε πάνυ φειδόμενον ἠπιστάμην.

33: μακροὺς ἀποτείνειν οὐκ ἂν ἐβουλόμην τοὺς λόγους. Demosth. enc. 43: μάλιστα μὲν γὰρ αὐτήκοος ἂν ἐβουλόμην παρὼν εἶναι νῦν. Nigr. 11: καὶ ταῦτα μέν, ἃ σὺ διῆλθες, ἐβουλόμην ἂν εἰρῆσθαί μοι. Hermotim. 81. Iup. trag. 53. Kr. Gr. §. 54, 3, 10. — ἐπὶ θανάτῳ, in Rücksicht auf seinen Tod, d. i. in der Hoffnung auf seinen Tod; Kr. Gr. §. 68, 41, 7. — θέσθαι διαθήκας ἐς τὸ φανερόν, ein Testament öffentlich, d. i. bei der Obrigkeit niederlegen, so dass das in demselben Enthaltene nicht verschwiegen blieb. Ebenso 11, 1. — τί οὖν δὴ ἐκεῖνος; näml. ἐποίει. Hermotim. 9: τί οὖν δὴ ἐποίει; — λάβραξ. Die Gefrässigkeit desselben war sprichwörtlich.

1. τῶν ἑκατόν, s. zu 27, 9.

2. τράπεζα ὑπὲρ τὰς ἐν Σικελίᾳ. Bekannt sind die Siculae dapes wegen der luxuriösen Zubereitung

ΠΟΛ. Ἀλλ' ἐπέρρει μοι, ὦ γενναῖε, παρ' ἄλλων τἀγαθά· καὶ ἔωθεν μὲν εὐθὺς ἐπὶ θύρας ἐφοίτων μάλα πολλοί, μετὰ δὲ παντοῖά μοι δῶρα προσῆγετο ἁπανταχόθεν τῆς γῆς τὰ κάλλιστα.

ΣΙΜ. Ἐτυράννησας, ὦ Πολύστρατε, μετ' ἐμέ;

ΠΟΛ. Οὔκ, ἀλλ' ἐραστὰς εἶχον μυρίους.

ΣΙΜ. Ἐγέλασα. ἐραστὰς σὺ τηλικοῦτος ὤν, ὀδόντας τέτταρας ἔχων;

ΠΟΛ. Νὴ Δία, τοὺς ἀρίστους γε τῶν ἐν τῇ πόλει· καὶ γέροντά με καὶ φαλακρόν, ὡς ὁρᾷς, ὄντα καὶ λημῶντα προσέτι καὶ κορυζῶντα ὑπερήδοντο θεραπεύοντες, καὶ μακάριος ἦν αὐτῶν ὅντινα ἂν καὶ μόνον προσέβλεψα.

ΣΙΜ. Μῶν καὶ σύ τινα ὥσπερ ὁ Φάων τὴν Ἀφροδίτην ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέον εἶναι καὶ καλὸν ἐξ ὑπαρχῆς καὶ ἀξιέραστον;

ΠΟΛ. Οὔκ, ἀλλὰ τοιοῦτος ὢν περιπόθητος ἦν.

ΣΙΜ. Αἰνίγματα λέγεις.

ΠΟΛ. Καὶ μὴν πρόδηλός γε ὁ ἔρως οὑτοσὶ πολὺς ὤν, ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας. 3

ΣΙΜ. Νῦν μανθάνω σου τὸ κάλλος, ὦ θαυμάσιε, ὅτι παρὰ τῆς χρυσῆς Ἀφροδίτης ἦν.

der Speisen. — ἐπὶ θύρας ἐφοίτων, nicht τὰς θύρας. Ebenso oft bei Plutarch. Alcib. 7. Mar. 32. Arat. 37 u. s., obschon sich auch der Artikel dabei findet. Kr. Gr. §. 50, 2, 15. — ἁπανταχόθεν τῆς γῆς, aus allen Theilen der Erde. Kr. Gr. §. 47, 10, 4. — ἐτυράννησας, wurdest du ein Fürst; Kr. Gr. §. 53, 5, 1. — ἐγέλασα, ich muss lachen. Ebenso Göttergespr. 16, 2. Besonders oft kommt dieser Aorist. im dramatischen Dialog vor. Kr. Gr. §. 53, 6, 3. — ὑπερήδοντο θεραπεύοντες. Adv. Indoct. 21: ὦ σεαυτὸν εἰκάζων ἔχαιρες. Iup. trag. 44: εὐωχουμένη ἔχαιρε. u. s., Kr. Gr. §. 56, 6, 4. — ὅντινα ἂν καὶ μόνον προσέβλεψα, den ich etwa auch nur eines Blickes würdigte. ἂν gehört zu ὅντινα. Ebenso Demon. 10: πλέον δὲ ἢ ἔλαττον ἔχαιρε συνὼν ἐνίοις αὐτῶν, μόνοις ἐξιστάμενος, ὁπόσοι ἂν ἐδόκουν αὐτῷ . . διαμαρτάνειν. An beiden Stellen könnte auch der Optativ, allein dann ohne ἂν stehen. (Hermann. de partic. ἂν p. 27.) Uebrigens ähnlich Navig. 43: ὥστε . . εὐδαίμονα εἶναι δοκεῖν, εἴ τινα καὶ μόνον προσβλέψαιμι αὐτῶν. — μῶν καὶ σύ τινα κτέ., d. i. du hast doch nicht ebenfalls irgend eine Person, wie Phaon die Aphr. aus Ch. (übersetzte), übergesetzt, d. i. ebenfalls eine Person wie Aphr. Phaon, ein Lesbier, hatte als bejahrter Fährmann einst umsonst die Aphrodite übergesetzt und bekam dafür von derselben seine Jugend und Schönheit wieder. — νέον εἶναι. Kr. Gr. §. 55, 2, 7.

3. νῦν μανθάνω σου τὸ κάλλ. κτέ., d. i. νῦν μανθάνω, ὅτι σου τὸ κάλλος κτέ. Iup. trag. 2: οἶδα τὸ κεφάλαιον αὐτό, ὧν πάσχεις, ὅτι ἐρωτικόν ἐστιν. Icarom. 4: καὶ τὸν ἥλιον αὐτὸν τί ποτε ἦν ἄρα ἐπόθουν εἰδέναι. Piscat. 14. Unten Gespr. 20, 1. u. ö. Kr. Gr. §. 61, 6, 2. Ebenso die Römer, Cic. pro Deiot. 11, 30: *quis tuum patrem antea qui esset, quam cuius gener esset, audivit?* — χρυσῆς. Scherzhaft gesagt. Bekannt ist dieses

ΠΟΛ. Ἀτάρ, ὦ Σιμύλε, οὐκ ὀλίγα τῶν ἐραστῶν ἀπολέλαυκα, μονονουχὶ προσκυνούμενος ὑπ᾽ αὐτῶν· καὶ ἐθρυπτόμην δὲ πολλάκις καὶ ἀπέκλειον αὐτῶν τινας ἐνίοτε, οἱ δὲ ἡμιλλῶντο καὶ ἀλλήλους ὑπερεβάλλοντο ἐν τῇ περὶ ἐμὲ φιλοτιμίᾳ.

ΣΙΜ. Τέλος δ᾽ οὖν πῶς ἐβουλεύσω περὶ τῶν κτημάτων;

ΠΟΛ. Ἐς τὸ φανερὸν μὲν ἕκαστον αὐτῶν κληρονόμον ἀπολιπεῖν ἔφασκον, ὁ δ᾽ ἐπίστευέ τε καὶ κολακευτικώτερον παρεσκεύαζεν ἑαυτόν, ἄλλας δὲ τὰς ἀληθεῖς διαθήκας ἔχων, ἐκείνας κατέλιπον οἰμώζειν ἅπασι φράσας.

4 *ΣΙΜ.* Τίνα δὲ αἱ τελευταῖαι τὸν κληρονόμον ἔσχον; ἤ πού τινα τῶν ἀπὸ τοῦ γένους;

ΠΟΛ. Οὐ μὰ Δία, ἀλλὰ νεώνητόν τινα τῶν μειρακίων τῶν ὡραίων Φρύγα.

ΣΙΜ. Ἀμφὶ πόσα ἔτη, ὦ Πολύστρατε;

ΠΟΛ. Σχεδὸν ἀμφὶ τὰ εἴκοσι.

ΣΙΜ. Ἤδη μανθάνω ἅτινά σοι ἐκεῖνος ἐχαρίζετο.

ΠΟΛ. Πλὴν ἀλλὰ πολὺ ἐκείνων ἀξιώτερος κληρονομεῖν, εἰ καὶ βάρβαρος ἦν καὶ ὄλεθρος, ὃν ἤδη καὶ αὐτοὶ οἱ ἄριστοι θεραπεύουσιν. ἐκεῖνος τοίνυν ἐκληρονόμησέ μου καὶ νῦν ἐν τοῖς εὐπατρίδαις ἀριθμεῖται, ὑπεξυρημένος μὲν τὸ γένειον καὶ βαρβαρίζων, Κόδρου δὲ εὐγενέστερος καὶ Νιρέως καλλίων καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι.

ΣΙΜ. Οὔ μοι μέλει· καὶ στρατηγησάτω τῆς Ἑλλάδος, εἰ δοκεῖ, ἐκεῖνοι δὲ μὴ κληρονομείτωσαν μόνον.

10.

ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ ΚΑΙ ΝΕΚΡΩΝ ΔΙΑΦΟΡΩΝ.

1 *ΧΑΡ.* Ἀκούσατε ὡς ἔχει ἡμῖν τὰ πράγματα. μικρὸν μὲν ἡμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον καὶ ὑπόσαθρόν ἐστι καὶ διαρ-

Beiwort aus Homer., wo es zur Bezeichnung ihrer vollendeten Schönheit dient. — *ὑπερεβάλλοντο ἐν.* Sonst steht *ὑπερβάλλεσθαι* gewöhnlich mit blossem Dativ. verbunden. — *τέλος*, am Ende, zuletzt.

4. *τίνα .. τὸν κληρονόμον* = *τίς ἐστιν ὁ κληρονόμος, ὃν αἱ τελευταῖαι ἔσχον*; Vitar. auct. 7: *ποδαπὸς δέ ἐστι καὶ τίνα τὴν ἄσκησιν ἔχει*; 8: *τίνα τὴν τέχνην ἔχεις*; Gall. 30: *οἷον βιοῖ τὸν βίον.* u. ö. Vgl. Kr. Gr. §. 50, 11, 1. — *ὄλεθρος*, s. oben zu 2, 1. — *ὑπεξυρημένος τὸ γένειον.* Lieblingssklaven waren an Wangen und Kinn glatt geschoren. Tim. 22: *οἰκέτης ὑπεξυρημένος ἔτι τὴν γνάθον*, das. die Anm. — *Κόδρου κτέ.* Vgl. II, 23. — *μόνον*, wie unser nur, häufig beim Imperativ.

11. „Diese Scene bei der Ueberfahrt in der Unterwelt ist mit ganz

ρεῖ τὰ πολλά, καὶ ἣν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν, ὑμεῖς δὲ ἅμα τοσοῦτοι ἥκετε πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσητε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε.

ΕΡΜ. Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν;

ΧΑΡ. Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρὴ τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠόνος καταλιπόντας· μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δέ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς διαγίνωσκε αὐτοὺς καὶ ἀναλάμβανε γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων.

ΕΡΜ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν. — Οὑτοσὶ τίς ὁ πρῶτός ἐστι; 2

ΜΕΝ. Μένιππος ἔγωγε. ἀλλ' ἰδού, ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον ἐς τὴν λίμνην ἀπερρίφθων, τὸν τρίβωνα δὲ οὐδὲ ἐκόμισα εὖ ποιῶν.

ΕΡΜ. Ἔμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν παρὰ τὸν κυβερνήτην ἔχε ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς δ' οὗτος τίς ἐστι; 3

ΧΑΡ. Χαρμόλεως ὁ Μεγαρικὸς ὁ ἐπέραστος, οὗ τὸ φίλημα διτάλαντον ἦν.

ΕΡΜ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος καὶ τὰ χείλη αὐτοῖς φιλήμασι καὶ τὴν κόμην τὴν βαθεῖαν καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα ὁ βλοσυρὸς 4 τίς ὢν τυγχάνεις;

ähnlichen Zügen von Lucian gezeichnet auch im Cataplus." Voigtländer.

1. *τὰ πολλά*, an den meisten Stellen. — *καὶ οὕτω*, auch so, **wenn ihr nackt mit Zurücklassung aller dieser unnützen Dinge einsteigt.** — *τὸ ἀπὸ τούτου*, von dieser Zeit an, von nun an. Ebenso *τὸ ἀπὸ τοῦδε* und *τὸ ἀπ' ἐκείνου*. Kr. Gr. §. 50, 5, 13.

2. *οὑτοσὶ τίς ὁ πρῶτός ἐστι*; Bemerkenswerthe Wortstellung für *ὁ πρῶτος οὗτος τίς ἐστι*; Vgl. §. 3 z. A. *Οὑτοσί* mit seiner deiktischen Kraft ist absichtlich vorangestellt. — *ἀπερρίφθων*. Wir ebenso: seien geworfen. Kr. Gr. §. 53, 3, 5. — *εὖ ποιῶν*, wir: zum Glück, wohlweislich. De conscr. hist. 4: *ἀπείρξω ἐμαυτὸν εὖ ποιῶν*. Saturn. 7: *ἐξέστην οὖν εὖ ποιῶν τῷ Διί*. Ep. Sat. 27. u. ö. S. zu II, 30. Kr. Gr. §. 56, 8, 2.

3. *αὐτοῖς φιλήμασι*. S. zu II, 22. Kr. Gr. §. 48, 15, 19. — *τὸ δέρμα ὅλον*. Kr. Gr. §. 50, 11, 7.

4. *ὁ δὲ . . οὑτοσὶ . . ὁ βλοσυρός*. Ueber diesen Nominativ. als Apposition s. Kr. Gr. §. 45, 2, 6. Vitar. auct. 7: *ὁ κῆρυξ πῶς ἔφης*; 27: *σὺ ὁ Πυρρίας πρόσιθι*. Vgl. Gespr. 12, 2. u. ö. — *τὴν πορφυρίδα . . τὸ*

ΛΑΜΠ. Λάμπιχος Γελῴων τύραννος.

ΕΡΜ. Τί οὖν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρει;

ΛΑΜΠ. Τί οὖν; ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα;

ΕΡΜ. Τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα· ὥστε ἀπόθου ταῦτα.

ΛΑΜΠ. Ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται.

ΕΡΜ. Καὶ τὸν τῦφον ἀπόρριψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν· βαρήσει γὰρ τὸ πορθμεῖον συνεμπεσόντα.

ΛΑΜΠ. Οὐκοῦν ἀλλὰ τὸ διάδημα ἐασόν με ἔχειν καὶ τὴν ἐφεστρίδα.

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Εἶεν. τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς.

ΕΡΜ. Καὶ τὴν ὠμότητα καὶ τὴν ἄνοιαν καὶ τὴν ὕβριν καὶ τὴν ὀργήν, καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Ἰδού σοι ψιλός εἰμι.

5 ΕΡΜ. Ἔμβαινε ἤδη. σὺ δὲ ὁ παχύς, ὁ πολύσαρκος τίς ὢν τυγχάνεις;

ΔΑΜ. Δαμασίας ὁ ἀθλητής.

ΕΡΜ. Ναί, ἔοικας· οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών.

ΔΑΜ. Ναί, ὦ Ἑρμῆ· ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα.

ΕΡΜ. Οὐ γυμνόν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον· ὥστε ἀπόδυθι αὐτάς, ἐπεὶ καταδύσεις τὸ σκάφος τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον· ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον καὶ τὰ κηρύγματα.

ΔΑΜ. Ἰδού σοι γυμνός, ὡς ὁρᾷς, ἀληθῶς εἰμι καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς.

6 ΕΡΜ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι· ὥστε ἔμβαινε. καὶ

διάδημα. S. zu II, 7. IV, 9. — Γελῴων. Γελῷοι, die Einwohner von Gela, jener bekannten Stadt auf der Südküste Siciliens. — τί οὖν; wie so? sollte u. s. w. Lampichos wiederholt die Worte als Frage, wie auch wir. — μάλα, im Gegensatz zu οὐδαμῶς. — οὐκοῦν ἀλλὰ κτέ., nun so lasse mich wenigstens; vgl. 20, 2. Eigentl.: daher (da ich das Uebrige ablegen soll) lasse mich wenigstens. — ἐφεστρίδα, gleich dem vorhergehenden πορφυρίδα. S. zu IV, 14.

5. Δαμασίας. Damasias aus Amphipolis wurde als Wettläufer zu Olympia in der 115. Ol. bekränzt. Vgl. über ihn noch Lexiphan. 11. — οἶδα .. ἰδών. Dial. mar. 6, 1: οὐκ οἶδα ἔγωγε καλλίω παῖδα ἰδών. Dial. deor. 10 (14), 2., s. zu III, 5. Kr. Gr. §. 56, 7, 5. Hermes war Vorsteher der Gymnasien. — ἐπεί, sonst; s. zu II, 9. — τὰ κηρύγματα, die feierlichen Ausrufungen des Siegers durch den Herold.

ρεῖ τὰ πολλά, καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν, ὑμεῖς δὲ ἅμα τοσοῦτοι ἥκετε πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσητε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε.

ΕΡΜ. Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν;

ΧΑΡ. Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρὴ τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠόνος καταλιπόντας· μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δέ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς διαγίνωσκε αὐτοὺς καὶ ἀναλάμβανε γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων.

ΕΡΜ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν. — Οὑτοσὶ τίς ὁ πρῶτός ἐστι; 2

ΜΕΝ. Μένιππος ἔγωγε. ἀλλ' ἰδού, ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον ἐς τὴν λίμνην ἀπερρίφθων, τὸν τρίβωνα δὲ οὐδὲ ἐκόμισα εὖ ποιῶν.

ΕΡΜ. Ἔμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν παρὰ τὸν κυβερνήτην ἔχε ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς δ' οὗτος τίς ἐστι; 3

ΧΑΡ. Χαρμόλεως ὁ Μεγαρικὸς ὁ ἐπέραστος, οὗ τὸ φίλημα διτάλαντον ἦν.

ΕΡΜ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος καὶ τὰ χείλη αὐτοῖς φιλήμασι καὶ τὴν κόμην τὴν βαθεῖαν καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα ὁ βλοσυρὸς τίς ὢν τυγχάνεις; 4

ähnlichen Zügen von Lucian gezeichnet auch im Cataplus." Voigtländer.

1. *τὰ πολλά*, an den meisten Stellen. — *καὶ οὕτω*, auch so, wenn ihr nackt mit Zurücklassung aller dieser unnützen Dinge einsteigt. — *τὸ ἀπὸ τούτου*, von dieser Zeit an, von nun an. Ebenso *τὸ ἀπὸ τοῦδε* und *τὸ ἀπ' ἐκείνου*. Kr. Gr. §. 50, 5, 13.

2. *οὑτοσὶ τίς ὁ πρῶτός ἐστι*; Bemerkenswerthe Wortstellung für *ὁ πρῶτος οὗτος τίς ἐστι*; Vgl. §. 3 z. A. *Οὑτοσί* mit seiner deiktischen Kraft ist absichtlich vorangestellt. — *ἀπερρίφθων*. Wir ebenso: seien geworfen. Kr. Gr. §. 53, 3, 5. — *εὖ ποιῶν*, wir: zum Glück, wohlweislich. De conscr. hist. 4: *ἀπείρξω ἐμαυτὸν εὖ ποιῶν*. Saturn. 7: *ἐξέστην οὖν εὖ ποιῶν τῷ Διί*. Ep. Sat. 27. u. ö. S. zu II, 30. Kr. Gr. §. 56, 8, 2.

3. *αὐτοῖς φιλήμασι*. S. zu II, 22. Kr. Gr. §. 48, 15, 19. — *τὸ δέρμα ὅλον*. Kr. Gr. §. 50, 11, 7.

4. *ὁ δὲ .. οὑτοσὶ .. ὁ βλοσυρός*. Ueber diesen Nominativ. als Apposition s. Kr. Gr. §. 45, 2, 6. Vitar. auct. 7: *ὁ κῆρυξ πῶς ἔφης*; 27: *σὺ ὁ Πυρρίας πρόσιθι*. Vgl. Gespr. 12, 2. u. ö. — *τὴν πορφυρίδα .. τὸ*

ταιοπονίαν μάλα πολλὴν καὶ λῆρον οὐκ ὀλίγον καὶ ὕθλους καὶ μικρολογίαν, νὴ Δία καὶ χρυσίον γε τουτὶ καὶ ἡδυπάθειαν δὲ καὶ ἀναισχυντίαν καὶ ὀργὴν καὶ τρυφὴν καὶ μαλακίαν· οὐ λέληθε γάρ με, εἰ καὶ μάλα περικρύπτεις αὐτά. καὶ τὸ ψεῦδος δὲ ἀπόθου καὶ τὸν τῦφον καὶ τὸ οἴεσθαι ἀμείνων εἶναι τῶν ἄλλων· ὡς εἴ γε ταῦτα πάντα ἔχων ἐμβαίης, ποία πεντηκόντορος δέξαιτο ἄν σε;

ΦΙΛ. Ἀποτίθεμαι τοίνυν αὐτά, ἐπείπερ οὕτω κελεύεις.

9 ΜΕΝ. Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα καὶ λάσιον, ὡς ὁρᾷς· πέντε μναῖ τριχῶν εἰσι τοὐλάχιστον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόθου καὶ τοῦτον.

ΦΙΛ. Καὶ τίς ὁ ἀποκείρων ἔσται;

ΕΡΜ. Μένιππος οὑτοσὶ λαβὼν πέλεκυν τῶν ναυπηγικῶν ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρησάμενος.

ΜΕΝ. Οὔκ, ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος· γελοιότερον γὰρ τοῦτο.

ΕΡΜ. Ὁ πέλεκυς ἱκανός. — εὖ γε. ἀνθρωπινώτερος νῦν ἀναπέφηνας ἀποθέμενος σαυτοῦ τὴν κινάβραν.

ΜΕΝ. Βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων;

ΕΡΜ. Μάλιστα· ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδα ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν.

ΜΕΝ. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει.

ΕΡΜ. Τί, ὦ Μένιππε;

ΜΕΝ. Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ χρησιμεύσασαν αὐτῷ ἐν τῷ βίῳ.

ΦΙΛ. Οὐκοῦν καὶ σύ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν καὶ παρρησίαν καὶ τὸ ἄλυπον καὶ τὸ γενναῖον καὶ τὸν γέλωτα· μόνος γοῦν τῶν ἄλλων γελᾷς.

9. πέντε μναῖ τριχῶν, wir: fünf Pfund Haare. Ueber den Genetiv. s. Kr. Gr. §. 47, 8. — πέλεκυν τῶν ναυπηγικῶν. Catapl. 19: κέλευσμά τι τῶν ναυτικῶν. Dial. mar. 6, 2: δελφῖνά τινα τῶν ὠκέων. Navig. 1: θέαμά τι τῶν παραδόξων. Iup. trag. 16: νεφέλην τῶν παχειῶν. Vit. auct. 19: παλάθας τῶν Καρικῶν. Piscat. 45: ἄρτους τῶν αὐτοπυριτῶν. u. so oft bei Lucian. Kr. Gr. §. 47, 9. — ἀφέλωμαι, s. zu II, 37. — ὑπὸ μάλης ἔχει, hat er unter der Achsel, s. v. a. versteckt. Eine oft bei Lucian und sonst vorkommende Formel (falsch Gall. 14 u. Adv. Ind. 12. ὑπὸ μάλην). Ebenso ὑπὸ κόλπου und nicht ὑπὸ κόλπον ἔχειν. — τὸ γενναῖον, das Wesen dessen, der seiner edeln Gesinnung sich bewusst ist; „Zuversichtlichkeit" Wieland. — μόνος τῶν ἄλλων, s.

σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι καὶ τὴν τρυφὴν μηδὲ τὰ ἐντάφια κόμιζε μηδὲ τὰ τῶν προγόνων ἀξιώματα, κατάλιπε δὲ καὶ γένος καὶ δόξαν καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξε καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφάς, μηδέ, ὅτι μέγαν τάφον ἐπὶ σοὶ ἔχωσαν, λέγε· βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα.

ΚΡΑΤ. Οὐχ ἑκὼν μέν, ἀπορρίψω δέ· τί γὰρ ἂν καὶ πάθοιμι;

ΕΡΜ. Βαβαί. σὺ δὲ ὁ ἔνοπλος τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις; 7

ΣΤΡΑΤΗΓΟΣ. Ὅτι ἐνίκησα, ὦ Ἑρμῆ, καὶ ἠρίστευσα καὶ ἡ πόλις ἐτίμησέ με.

ΕΡΜ. Ἄφες ὑπὲρ γῆς τὸ τρόπαιον· ἐν Ἅιδου γὰρ εἰρήνη καὶ οὐδὲν ὅπλων δεήσει. ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκώς, ὁ ἐπὶ τῶν φροντίδων τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος; 8

ΜΕΝ. Φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης καὶ τερατείας μεστός· ὥστε ἀπόδυσον καὶ τοῦτον· ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ σκεπόμενα.

ΕΡΜ. Ἀπόθου σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταυτὶ πάντα. ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν καὶ ἔριν καὶ κενοδοξίαν καὶ ἐρωτήσεις ἀπόρους καὶ λόγους ἀκανθώδεις καὶ ἐννοίας πολυπλόκους, ἀλλὰ καὶ μα-

6. *ἐντάφια*, Sterbekleid, das kostbar war. De luctu 11: *μετὰ ταῦτα δὲ λούσαντες αὐτοὺς (τοὺς νεκροὺς) καὶ μύρῳ τῷ καλλίστῳ χρίσαντες τὸ σῶμα καὶ στεφανώσαντες τοῖς ὡραίοις ἄνθεσι προτίθενται λαμπρῶς ἀμφιέσαντες*. Vgl. Hermann's Privatalterth. §. 39. — *κόμιζε*, bringe mit; vgl. IV, 14. u. ö. — *ἀνεκήρυξε*, näml. als Wohlthäter. — *οὐχ ἑκὼν μέν, ἀπορρίψω δέ*, d. i. *οὐχ ἑκὼν μὲν ἀπορρίψω, ἀπορρίψω δέ*. Ebenso Dial. deor. 8, 2: *ἄκων μέν, κατοίσω δέ*. — *τί γὰρ ἂν καὶ πάθοιμι*, s. zu II, 39.

8. *ἀπό γε τοῦ σχήματος*, wenigstens seinem Aeusseren nach. Philops. 29: *ὁ σεμνὸς ἀπὸ τοῦ προσώπου*. — *ὁ τὰς ὀφρῦς ἐπηρκώς*, Zeichen des Hochmuthes. Ebenso *τὰς ὀφρῦς ἀνατείνειν*; vgl. II, 54. — *ὁ ἐπὶ τῶν φροντίδων*, der in seine Gedanken vertieft ist. *ὁ ἐπὶ συννοίας* Scyth. 6. — *ὁ τὸν βαθὺν πώγωνα καθειμένος*, der mit dem tief herabhängenden Barte, wie ihn die Philosophen trugen. Vgl. Dial. deor. 5, 2. Piscat. 11. Philops. 5. Ebenso *πλοκάμους καθειμένος* Alexand. 11. oder *βοστρύχους* Dial. deor. 2, 2. — *ΜΕΝ*. Menippos, der bisher eine stumme Rolle gespielt, tritt hier wiederum auf, da ein Zunftgenosse von ihm erscheint. — *μᾶλλον δέ*, oder vielmehr. S. zu II, 5. — *πολλὰ καὶ γελοῖα*, s. zu I, 9. Kr. Gr. §. 69, 32, 3. — *ἀπόρους*, verfängliche. — *λόγους ἀκανθώδεις*, spitzfindige Untersuchungen. Vgl. das Latein. *spinosus*. — *ἀλλὰ καί*, *quin etiam*, ja auch, s. zu 24, 1.

ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις· ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τουτωί. καὶ νὴ Δία γε ἡ Δαμασίου μήτηρ κωκύουσα ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ· σὲ δέ, ὦ Μένιππε, οὐδεὶς δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος.

13 ΜΕΝ. Οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοὶ καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπόταν συνελθόντες θάπτωσί με.

ΕΡΜ. Γεννάδας εἶ, ὦ Μένιππε. ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστήριον εὐθεῖαν ἐκείνην προϊόντες, ἐγὼ δὲ καὶ ὁ πορθμεὺς ἄλλους μετελευσόμεθα.

ΜΕΝ. Εὐπλοεῖτε, ὦ Ἑρμῆ· προΐωμεν δὲ καὶ ἡμεῖς. τί οὖν ἔτι καὶ μέλλετε; πάντως δικασθῆναι δεήσει, καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς καὶ λίθους καὶ γῦπας· δειχθήσεται δὲ ὁ ἑκάστου βίος ἀκριβῶς.

11.

ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ.

1 ΚΡΑΤ. Μοίριχον τὸν πλούσιον ἐγίνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος καὶ αὐτὸς ὤν; ὃς τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν,

ἄλλος τις τὴν Πρωτέως τοῦ Κυνικοῦ βακτηρίαν . . ταλάντου κἀκεῖνος ἐπρίατο. Vgl. Kr. Gr. §. 51, 5, 1, — ἀφθόνοις τοῖς λίθοις. Im Deutschen ohne Artikel: mit zahllosen Steinen. Das Adjectiv steht bei Lucian prädicativ häufig so mit Nachdruck voran. Piscat. z. A.: βάλλε, βάλλε τὸν κατάρατον ἀφθόνοις τοῖς λίθοις. Gall. 22: κατεχαλάζησας αὐτῶν ἀφθόνους τοὺς λίθους. unten 17, 1 κοίλῃ τῇ χειρί. Kr. Gr. §. 50, 11. 1. — Σικυῶνι. Eine bedeutende Stadt in der Peloponnesos, jetzt Vasilika. — σὺν γυναιξίν, zu verstehen von den Klageweibern.

13. τυπτομένων, sich schlagen. — εὐθεῖαν ἐκείνην. Kr. Gr. §. 46, 6, 2. — προΐωμεν δὲ καὶ ἡμεῖς. Dieses sagt Men. zu den übrigen Todten. — τροχοὺς καὶ λίθους καὶ γῦπας. In Bezug auf Ixion, Sisyphos und Tityos. Vgl. Odyss. 11, 575 fgg. 592 fgg. Ovid. Metam. 4, 457 ff.

1. Krates aus Thebae, Schüler des Kynikers Diogenes, gab die ihm zugefallenen Reichthümer auf und verschmähte als Kyniker alle äusseren Güter. — τὸν πάνυ πλούσιον. Nachdrucksvolle Wiederholung. Icarom. 34: ἅπαντα ἀκήκοας, ἅπαντα. u. s. — τὰς πολλάς, die vielen, die alle Welt kennt. Was bedeutet οἱ πολλοί gewöhnlich? — ὃς τὸ Ὁμ. ἐκεῖνο εἰώθει ἐπιλέγειν, d. i. der seine Rede

ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ.

ΔΙΟΓ. Τίνος ἕνεκα, ὦ Κράτης;

ΚΡΑΤ. Ἐθεράπευον ἀλλήλους τοῦ κλήρου ἕνεκα ἑκάτερος, ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας ἐς τὸ φανερὸν ἐτίθεντο, Ἀριστέαν μὲν ὁ Μοίριχος, εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο, οἱ δ' ἐθεράπευον ὑπερβαλλόμενοι ἀλλήλους τῇ κολακείᾳ· καὶ οἱ μάντεις, οἵ τε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον οἵ τε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ, καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπ' ἐκεῖνον, νῦν δ' ἐπὶ τοῦτον ἔρρεπε.

ΔΙΟΓ. Τί οὖν πέρας ἐγένετο, ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον. 2

ΚΡΑΤ. Ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὲ κλῆροι ἐς Εὐνόμιον καὶ Θρασυκλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα· διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος ἐς Κίρραν κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι ἀνετράπησαν.

ΔΙΟΓ. Εὖ ἐποίησαν. ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, 3 οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων· οὔτε ἐγώ ποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ — εἶχε δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος — οὔτε, οἶμαι, σὺ ὁ Κράτης ἐπεθύμεις κληρονομεῖν

mit dem homer. Ausdruck zu schliessen pflegte, dessen Rede immer darauf hinauslief. — *ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ.* Worte des Aias zu Odysseus Il. 23, 724., die hier bedeuten: entweder schaffe du mich fort oder ich dich! — *οἵ τε . . οἵ τε,* sowol die . . als die; Kr. Gr. §. 69, 59, 1. — *ἀπὸ τῶν ἄστρ. τεκμ.* Diese Constr. findet sich neben *τεκμαίρεσθαί τί τινι* auch sonst bei Luc., Catapl. 16. Alex. 5. u. s. — *ὥς γε Χαλδαίων παῖδες,* als Zöglinge od. Jünger der Ch., Apposition zum Vorhergehenden. Diese Umschreibung ist bei Luc. und andern Späteren sehr häufig und bezeichnet gewöhnlich eine Schule, in der eine Kunst oder Lehre fortgesetzt wird. Diese Wahrsager, besonders die Stern- und Traumdeuter, führten ihren Ursprung auf die Chaldäer zurück. Letztere waren ursprünglich ein Nomadenvolk in Nordassyrien, dann hiessen so die Priester der Babylonier, die sich besonders mit Astrologie und Traumdeuterei beschäftigten. — *ἀλλὰ καί,* ja auch. — *ποτὲ μὲν . . νῦν δέ,* bald . . bald.

2. *πέρας,* endlich, wie *τέλος.* — *γενέσθαι.* Man sollte *γενήσεσθαι* erwarten; vgl. indessen Kr. Gr. §. 53, 1, 10 u. 6, 9. Noch auffälliger Anachars. 30 z. A. — *Κίρραν,* Hafenstadt in Phokis. — *κατὰ μέσον τὸν πόρον,* vom korinthischen Meerbusen. — *τῷ Ἰάπυγι,* Westnordwestwind.

3. *Ἀντισθένην.* Dieser, der Stif-

ἀποθανόντος ἐμοῦ τὰ κτήματα [καὶ] τὸν πίθον καὶ τὴν πήραν χοίνικας δύο θέρμων ἔχουσαν.

ΚΡΑΤ. Οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδὲ σοί, ὦ Διόγενες· ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς.

ΔΙΟΓ. Τίνα ταῦτα φῄς;

ΚΡΑΤ. Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.

ΔΙΟΓ. Νὴ Δία, μέμνημαι καὶ τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρὰ Ἀντισθένους καὶ σοὶ ἔτι πλείω καταλιπών.

4 ΚΡΑΤ. Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων, καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς κληρονομήσειν προσδοκῶν, ἐς δὲ τὸ χρυσίον πάντες ἔβλεπον.

ΔΙΟΓ. Εἰκότως· οὐ γὰρ εἶχον ἔνθα ἂν δέξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν διερρυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαθρὰ τῶν βαλλαντίων· ὥστε εἴ ποτε καὶ ἐμβάλοι τις ἐς αὐτοὺς ἢ σοφίαν ἢ παρρησίαν ἢ ἀλήθειαν, ἐξέπιπτεν εὐθὺς καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι εἰς τὸν τετρημένον πίθον ἐπαντλοῦσαι· τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον.

ΚΡΑΤ. Οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον, οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

12.

ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΗΠΙΩΝΟΣ.

1 ΑΛΕΞ. Ἐμὲ δεῖ προκεκρίσθαι σου, ὦ Λίβυ· ἀμείνων γάρ εἰμι.

ter der kynischen Sekte, war ein Schüler des Sokrates. Vgl. Gespr. 27. — θέρμων, die gewöhnliche Kost der Armen, und somit auch der Kyniker. — ἃ γὰρ ἐχρῆν, näml. κληρονομῆσαι. Kr. Gr. §. 55, 4, 11. 62, 4, 1. — τῆς Περσῶν ἀρχῆς, sprichwörtl. vom höchsten Grad des Reichthums.

4. τῶν τοιούτων, wie die eben genannten; s. zu Il, 17. — ἔνθα ἂν δέξαιντο. Nach dem gewöhnlichen Sprachgebrauch sollte ἂν nicht dabei stehen; doch s. Kr. Gr. §. 54, 15, 4. Gall. 13: οὐκ ἔχων ἐς ὅ τι ἐρασμιώτερον αὐτὸν μεταβάλοι οὐδὲ ὅπως ἂν διαφθείρειε. — διερρυηκότες. Ebenso im Latein. *diffluere*. — αἱ τοῦ Δαναοῦ κτέ. Vgl. Tim. 18 u. das. die Anm. — ὀδοῦσι καὶ ὄνυξι. Von den Raubthieren hergenommener Ausdruck. Ebenso *omnibus ungulis* bei Cic. Tusc. 2, 24, 56. — καὶ τοῦτον ἄχρι τοῦ πορθμέως, d. i. und diesen auch nur bis zum Fährmann.

1. Derselbe Rangstreit zwischen Alexander und Hannibal wird auch Ver. hist. 2, 9 geführt, und zwar mit demselben Ausgange. — προκεκρίσθαι, nachdrücklicher

ΑΝ. Οὐ μὲν οὖν, ἀλλ' ἐμέ.

ΑΛΕΞ. Οὐκοῦν ὁ Μίνως δικασάτω.

ΜΙΝ. Τίνες δὲ ἐστέ;

ΑΛΕΞ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππου.

ΜΙΝ. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις;

ΑΛΕΞ. Περὶ προεδρίας· φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ, ἐγὼ δέ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια.

ΜΙΝ. Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω, σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε.

2 ΑΝ. Ἓν μὲν τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον· ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἂν ἐνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες ὅμως ἐπὶ μέγα προεχώρησαν, δι' αὑτῶν δύναμίν τε περιβαλόμενοι καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἔγωγ' οὖν μετ' ὀλίγων ἐξορμήσας εἰς τὴν Ἰβηρίαν, τὸ πρῶτον ὕπαρχος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην ἄριστος κριθείς, καὶ τούς τε Κελτίβηρας εἷλον καὶ Γαλατῶν ἐκράτησα

als προκρίνεσθαι. Besonders steht so der Infinitiv. Perf. nach Impersonalien, wie δεῖ u. s. w., um zu bezeichnen, dass etwas geschehen sein müsse. Iup. trag. 4: δυοῖν θάτερον ἢ παρεωρᾶσθαι ἀνάγκη ἢ κτέ. Piscat. 2: ἐμοὶ μὲν ἀνεσκολοπίσθαι δοκεῖ αὐτόν. Demosth. 14, 17: καὶ τὰ μὲν σώματα οὕτω φημὶ δεῖν συντετάχθαι. Dial. deor. 16 (24), 2: πεπρᾶσθαι. Vgl. Kr. Gr. §. 53, 3, 4. — ἐν μέρει ἑκάτερος, Jeder nach der Reihe, Einer nach dem Andern.

2. ἓν μὲν τοῦτο ὠνάμην. Char. 24: ὠνάμην τι διὰ σὲ τῆς ἀποδημίας, das. die Anm. — ἐξέμαθον, recht gründlich od. vollständig gelernt habe. Dass Hannibal der griechischen Sprache kundig war, ist schon aus Nepos bekannt. Ἑλλάς hier adjectivisch. Ebenso Ver. hist. 1, 8. 2, 46. Hercul. 4. — πλέον οὗτος ἂν ἐνέγκ. πλέον φέρεσθαι, einen grösseren Theil davon tragen, im Vortheil sein, τινός, vor Jemandem. — τὸ μηδὲν εἶναι, nichts sein, hier von niedrigem Stande sein, oft bei Lucian vorkommende Redensart; Piscat. 25. De Merc. cond. 16. Iup. trag. 3. Amor. 38. Bis acc. 20. Demosth. enc. 4. Auch ohne Artikel, Rhet. praec. 2: ὁπόσοι τέως μηδὲν ὄντες ἔνδοξοι . . ἔδοξαν. — ὅμως, s. zu III, 17. — ἐξορμήσας, intrans. in der Bedeutung aufbrechen; vgl. Ver. hist. 2, 4. — Ἰβηρίαν. Der griech. Name für das heut. Spanien, so genannt vom Flusse Ἴβηρ, Ebro. — τῷ ἀδελφῷ, Schwager. — μεγίστων, der grössten Ehren. Nep. Hannib. 3, 1: *hoc* (Hasdrubale) *interfecto exercitus summam imperii ad eum detulit. id Carthaginem delatum publice comprobatum est.* — Γαλατῶν τῶν ἑσπερίων. ἑσπέριοι zum Unterschiede von den in Osten wohnenden Galatern (in

τῶν ἑσπερίων, καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς τὰ περὶ τὸν Ἠριδανὸν ἅπαντα κατέδραμον, καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις, καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην, καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. καὶ ταῦτα πάντα ἔπραξα οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος οὔτε θεὸς εἶναι προσποιούμενος ἢ ἐνύπνια τῆς μητρὸς διεξιών, ἀλλ' ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος καὶ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος, οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος ὑποφεύγοντας πρὶν διώκειν τινὰ καὶ τῷ τολμήσαντι παραδιδόντας
3 *εὐθὺς τὴν νίκην. Ἀλέξανδρος δὲ πατρῴαν ἀρχὴν παραλαβὼν ηὔξησε καὶ παρὰ πολὺ ἐξέτεινε χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπεὶ δ' οὖν ἐνίκησέ τε καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων προσκυνεῖσθαι ἠξίου καὶ ἐς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν ἑαυτὸν καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπ' ἴσης*

Kleinasien). — *τὰ μεγάλα ὄρη*, die Alpen. — *τῆς προὐχ. πόλεως*, Roms. — *τοὺς δακτυλίους*, der römischen Ritter, die zum Zeichen ihres Ranges Ringe trugen. Es bezieht sich das auf die Schlacht bei Cannae. — *μεδ. ἀπομετρῆσαι*. Uebertreibung; Liv. 23, 12: *effundi in vestibulo curiae iussit anulos aureos, qui tantus acervus fuit, ut metientibus dimidium super tris modios explesse sint quidam auctores. fama tenuit, quae propior vero est, haud plus fuisse modio.* — *τοὺς ποτ. γεφ. νεκροῖς*. Flor. 1, 22, 8: *pons de cadaveribus iussu ducis factus in torrente Vergello.* Vgl. Liv. 23, 5, 12. — *Ἄμμωνος υἱός*, in Bezug auf Alexander, der für einen Sohn des Iupiter gehalten wurde und sich gern so nennen hörte. — *τῆς μητρός*, der Olympias. Zu beziehen auf den von Plutarch. Alex. 2 erzählten Traum. — *Μήδους καὶ Ἀρμενίους*, hier Repräsentanten der verweichlichten und feigen Orientalen, welche Alexander bekriegte.

3. *πατρῴαν ἀρχήν*, Gegensatz zu *τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες*. — *παρὰ πολύ*, um vieles, beträchtlich. — *ὄλεθρον*, s. oben zu 2, 1. — *Ἰσσῷ*, Stadt an der Ostgrenze Kilikiens, beim jetzigen Jüsler. — *Ἀρβήλοις*, Stadt im nördlichen Assyrien, j. Erbil. Ueber die Constr. von *κρατεῖν* s. Kr. Gr. §. 47, 19, 3. — *τῶν πατρῴων*, die väterlichen Sitten. Nach der Bestimmung der alten Grammatiker sollte man *πατρίων* erwarten. De luct. 3: *ἱερῶν πατρῴων*. Vgl. unser Wörterb. unter *πατρῷος*. — *μετεδιῄτησεν*, Kr. Gr. §. 28, 14, 3. — *τοὺς φίλους*. Uebertreibung, da er nur den Kleitos beim Gelage im Rausche erstach. Ebenso Liv. 9, 18, 4: *referre in tanto rege piget superbam mutationem vestis .. et foeda supplicia et inter vinum et epulas caedes amicorum.* — *συνελάμβ. ἐπὶ θανάτῳ*. Zu beziehen auf den Philosophen Kallisthenes, den Philotas und dessen Vater Parmenion. — *ἐπὶ θανάτῳ*, um sie zu tödten. Piscat. 6: *ἐπὶ θανάτῳ με ξυνειλήφατε*. Kr. Gr. §. 68, 41, 7. — *ἐπ' ἴσης*, näml. *μοί-*

τῆς πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῇ Λιβύῃ, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον καὶ καταδικασθεὶς ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτα ἔπραξα βάρβαρος ὢν καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς, καὶ οὔτε Ὅμηρον ὥσπερ οὗτος ῥαψῳδῶν οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθείς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτά ἐστιν ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. εἰ δέ ἐστι καλλίων οὑτοσί, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνά, οὐ μὴν διὰ τοῦτο ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρός, τῇ γνώμῃ πλέον ἤπερ τῇ τύχῃ κεχρημένου.

ΜΙΝ. Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον, οὐδὲ ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὐτοῦ. σὺ δέ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φῄς;

ΑΛΕΞ. Ἐχρῆν μέν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασὺν ἀποκρίνασθαι· ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεύς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο· ὅμως δὲ ὅρα, εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα, ὃς νέος ὢν ἔτι παρελθὼν ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, κᾆτα φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ στρατηγός τε ὑπ' αὐτῶν χειροτονηθεὶς οὐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν περιέπων ἀγαπᾶν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν καὶ δεινὸν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους 4

ρως, gleichmässig, d.i. billig, ohne mich über meine Mitbürger zu erheben. Kr. Gr. §. 43, 3, 3. 4, 5. — μετεπέμπετο, näml. πατρίς. Hannibal wurde aus Italien zurückgerufen, als Scipio den Krieg nach Afrika hinübergetragen hatte. — ἰδιώτην ἐμ. παρέσχον, ich trat in das Privatleben zurück, legte den Oberbefehl nieder. Nep. Hannib. 7, 4. — ἀπαίδευτος παιδείας, Kr. Gr. §. 47, 26, 11. — ῥαψῳδῶν. Des Alexander Kenntniss der Ilias ist bekannt; vgl. Plutarch. Alex. 8. — Ἀριστοτέλει. Dieser wurde von Philippos als Lehrer des Alex. berufen. ὑπό mit dem Dativ. unter Leitung. Ebenso Toxar. 27. — ἅ, worin; Kr. Gr. §. 46, 4. — διεδέδετο, Medium. Philops. 18: διαδούμενος τὴν κεφαλὴν τῇ ταινίᾳ. Vgl. 13, 4. — καὶ ταῦτα, auch od. sogar dieses. — ἀγεννῆ, praedicativ wie oft bei Luc.; Kr. Gr. §. 50, 11. — εἰκὸς ἦν, näml. λέγειν. Vgl. §. 6.

4. ἐχρῆν, man sollte; s. zu II, 37. Gerade so Gespr. 16, 3 und Tim. 38. — κατ' ὀλίγον, einem geringen Theile nach. — τὰ πράγματα, die Regierungsgeschäfte. — στρατηγός, als Oberfeldherr gegen die Perser. — ὑπ' αὐτῶν, näml. τῶν Ἑλλήνων, was aus dem vorhergehenden τὴν Ἑλλάδα zu ergänzen ist; s. zu IV, 12. Vgl. Gespr. 13, 2. — ὁπόσων =

ἄγων ἐσέβαλον ἐς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανίκῳ ἐκράτησα μεγάλῃ μάχῃ καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος ἦλθον ἐπὶ Ἰσσόν, ἔνθα 5 Δαρεῖος ὑπέμεινε μυριάδας πολλὰς στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε, ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα· φησὶ γοῦν ὁ πορθμεὺς μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας πηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. καὶ ταῦτα διέπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοὶ μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρι Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον καὶ Πῶρον ἐχειρωσάμην, καὶ Σκύθας δέ, οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναϊν ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίησα καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι πρὸς τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτόν τι 6 πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ' οὖν τελευταῖον ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὢν παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν πανουργότατον καὶ ὠμότατον ὄντα· ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύι, ἀλλὰ πονηρίᾳ καὶ ἀπιστίᾳ καὶ δόλοις, νόμιμον δὲ ἢ προφανὲς οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφήν, ἐκλελῆσθαί μοι δοκεῖ, οἷα ἐποίει ἐν Καπύῃ, ἑταίραις συνὼν καὶ τοὺς τοῦ

ἐκείνων, ὁπόσα. — τὰ ἐν ποσίν, Alles, was mir in den Weg kam.

5. καὶ τὸ ἀπὸ τούτου, und was das betrifft, was darauf folgte. — τὰ ἐν Τύρῳ, meine Thaten vor Tyros. — ἀλλὰ καί, ja sogar. Eigentlich elliptisch: nicht nur das habe ich gethan, sondern ich kam auch. — τὸν Ὠκεανόν, den indischen. — τὸν Τάναϊν, zu verstehen von dem Jaxartes, dem heutigen Syr, der sich in den Aral-See ergiesst, und nicht von dem Don. — συγγνωστοὶ . . πιστεύσαντες, es ist verzeihlich, dass sie glaubten. Ebenso Anach. 34: ὑμεῖς δὲ συγγνωστοὶ ἐν ὅπλοις ἀεὶ βιοῦντες. Eine Construction, die sich nur bei Späteren, wie noch bei Arrian. 5, 27, 6 und Plutarch. Coriolan. 34., findet; vgl. Kr. Gr. §. 61, 5, 8. Mit folgendem εἰ, Dial. deor. 6, 3: συγγνωστοὶ οὖν, εἰ . . ἐπεθύμησαν. 23, 2. — πρός, in Rücksicht, wegen.

6. τὸ . . τελευταῖον, s. zu II, 38. — ἄξιον ἦν, näml. ἀποθανεῖν. — ὡς, wie, auf welche Weise. — ὅτι, dass nämlich, scil. ἐκράτησεν. Beachte hier die Anwendung der Redefigur *praeteritio*. — ἀπιστίᾳ, Alex. meint hier die fides Punica. Vgl. Liv. 21, 4, 9: *has tantas viri virtutes ingentia vitia aequabant: inhumana crudelitas, perfidia plus quam Punica, nihil veri, nihil sancti, nullus deum metus, nullum iusiurandum, nulla religio.* — οὐδέν, näml. ἦν. — Καπύῃ. Nach der Schlacht bei Cannae hielt Hannibal seine Winterquartiere in Capua, wo seine Truppen in Unmässigkeit und

πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δὲ εἰ μή, μικρὰ τὰ ἑσπέρια δόξας, ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα Ἰταλίαν ἀναιμωτὶ λαβὼν καὶ Λιβύην καὶ τὰ μέχρι Γαδείρων ὑπαγαγόμενος; ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα. εἴρηκα· σὺ δέ, ὦ Μίνως, δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα.

ΣΚΗΠ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. 7

ΜΙΝ. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς;

ΣΚΗΠ. Ἰταλιώτης Σκηπίων στρατηγὸς ὁ καθελὼν Καρχηδόνα καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις.

ΜΙΝ. Τί οὖν καὶ σὺ ἐρεῖς;

ΣΚΗΠ. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δὲ Ἀννίβου ἀμείνων, ὃς ἐδίωξα νικήσας αὐτὸν καὶ φυγεῖν κατηνάγκασα ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκηπίων ἐγὼ ὁ νενικηκὼς ἐμαυτὸν παραβάλλεσθαι ἀξιῶ;

ΜΙΝ. Νὴ Δί' εὐγνώμονα φῄς, ὦ Σκηπίων· ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σύ, εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

13.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ [καὶ] ἡμεῖς ἅπαντες; 1

ΑΛΕΞ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δέ, εἰ ἄνθρωπος ὢν ἀπέθανον.

ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο λέγων ἑαυτοῦ σε εἶναι, σὺ δὲ Φιλίππου ἄρα ἦσθα;

Schwelgerei verfielen. — *ὁ θαυμάσιος*, ironisch, er, der bewundernswerthe. — *εἰ μὴ . . ὥρμησα*, wenn ich nicht .. aufgebrochen wäre; Kr. Gr. §. 54, 10, 2. — *ὁμολογοῦντα*, näml. *μὲ*.

7. *μὴ πρότερον, ἢν μή.* Pro laps. 2: *οὐ μὴν πρότερον ἐρῶ αὐτά, ἢν μὴ .. προείπω.* Demon. 57. u. ö., und so schon Herodot. 4, 127, 2. — *ἢ πόθεν ὢν ἐρεῖς;* = *ἢ πόθεν εἶ σύ, ὃς ἐρεῖς;* Tim. 34: *ἢ τί βουλόμενοι δεῦρο ἥκετε;* Iup. trag. 36: *ἢ τίς ὢν ἀγανακτεῖς;* — *Σκηπίων*, Scipio Africanus maior. — *καθελών*, in der Bedeutung: bezwingen, überwältigen. — *ἥττων εἶναι*, näml. *φημί*. — *ὁ νενικηκώς*, als Substant. der Sieger. — *ἐμαυτὸν παραβάλλεσθαι*, Kr. Gr. §. 52, 10, 10.

1. Warum lässt Lucian gerade den Diogenes seinen Spott mit Alexander in der Unterwelt treiben? — *ὁρᾷς*, wir: wie du siehst. — *ἑαυτοῦ . . Φιλίππου*, Kr. Gr.

ΑΛΕΞ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν.

ΔΙΟΓ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγετο, δράκοντα ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ, εἶτα οὕτω σε τεχθῆναι, τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι οἰόμενον παρ' ἑαυτοῦ σε εἶναι.

ΑΛΕΞ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ, νῦν δὲ ὁρῶ, ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον.

ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; (2)

ΑΛΕΞ. Οὐκ οἶδα, ὦ Διόγενες — οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς — ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες;

ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην, οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες καὶ προστάτην αἱρούμενοι καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες καὶ οἰκοδομοῦντές σοι νεὼς καὶ θύοντες ὡς δράκοντος υἱῷ. ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; (3)

ΑΛΕΞ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τριακοστὴν ταύτην ἡμέραν, ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστής, ἥν ποτε ἀγάγῃ

§. 47, 6, 5. — δράκοντα. Plutarch. Alex. 2: ὤφθη δέ ποτε καὶ δράκων κοιμωμένης τῆς Ὀλυμπιάδος παρεκτεταμένος τῷ σώματι. Von grossen Männern ward oft der Aberglaube verbreitet, dass sie Söhne von Drachen oder Gottheiten, die Drachengestalt angenommen, seien. — τεχθῆναι. S. zu Dial. deor. 1, 2. — τὰ πράγματα, Unternehmungen.

2. τὴν τοσαύτην ἀρχήν, Kr. Gr. §. 50, 4, 6. — οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι, ich hatte nichts vorher, d. i. vor meinem Tode, verordnet. φθάνειν mit dem Infinitiv. ist unattisch. Harmonid. 2: ταῦτα ὁ μὲν Ἁρμονίδης οὐκ ἔφθη ποιῆσαι. Diese Construction ist nur bei Späteren, wie Plutarch. u. A., zulässig; die regelrechte Verbindung bei den Att. ist die mit dem Particip., welche auch sonst bei Luc. die gewöhnliche ist, s. Kr. Gr. §. 56, 5, 5. — τί γὰρ ἄλλο ἢ ἀνεμ., worüber denn sonst (sollte ich lachen), als ich u. s. w. Philopseud. 29: τί δὲ .. φιλοσοφεῖτε; τί δ' ἄλλο ἢ .. πείθομεν. Piscat. 10. u. ö. Vgl. Kr. Gr. §. 62, 3, 7. Ebenso im Lateinischen, s. Zumpt §. 771. — κολακεύοντες .. αἱρούμενοι, als wenn οἱ Ἕλληνες vorherginge; Kr. Gr. §. 58, 4, 1. — τοῖς δώδεκα θεοῖς. Dieses beantragte bei den Athenäern der Redner Demādes.

3. τριακοστὴν ταύτ. ἡμέραν, seit dreissig T., es ist das jetzt der dr. T., Kr. Gr. §. 46, 3, 1.

σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσίν, ἐς Αἴγυπτον ἀπαγαγὼν θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν.

ΔΙΟΓ. Μὴ γελάσω οὖν, ὦ Ἀλέξανδρε, ὁρῶν καὶ ἐν Ἅιδου ἔτι σε μωραίνοντα καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενήσεσθαι; πλὴν ἀλλὰ ταῦτα μέν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην καὶ ἐς τὸ εἴσω τοῦ στομίου παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνο δέ γε ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπόταν ἐννοήσῃς, ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς καὶ σατράπας καὶ χρυσὸν τοσοῦτον καὶ ἔθνη προσκυνοῦντα καὶ Βαβυλῶνα καὶ Βάκτρα καὶ τὰ μεγάλα θηρία καὶ τιμὴν καὶ δόξαν καὶ τὸ ἐπίσημον εἶναι ἐξελαύνοντα διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλήν, πορφυρίδα ἐμπεπορπημένον. οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; οὐδὲ τοῦτό σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης; 4

ΑΛΕΞ. Ὁ σοφός, ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ᾔτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων καὶ ἐπαινῶν ἄρτι μὲν πρὸς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δὲ ἐς τὰς πράξεις καὶ τὸν πλοῦτον. καὶ γὰρ αὖ καὶ τοῦτον ἀγαθὸν ἡγεῖτο εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς ἐκείνοις, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν. 5

Vgl. zu IV, 5. Die Sache erzählt Aelian. var. hist. 12, 64. — θάψειν, näml. μέ. — μὴ γελάσω οὖν, soll ich also nicht lachen? Dial. deor. 1, 1: λύσω σε, φῄς; Unten Gespr. 29, 1. Kr. Gr. §. 54, 2, 3. — τοῦ στομίου, von der Mündung des Tartaros. — ἀμελής. Vgl. was Aeakos Gespr. 20 z. E. sagt.

4. ἐκεῖνο, zu beziehen auf das Folgende; Kr. Gr. §. 51, 7, 3. Gall. 25. — δέ γε, s. zu III, 19. — ἐμπεπορπημένον, s. zu IV, 14. — ὑπὸ τὴν μνήμην ἰόντα, in's Gedächtniss kommen, eine nur hier sich findende Redensart.

5. ἐμὲ μόνον ἔασον . . εἰδέναι, d. i. lass mich das für mich behalten, ich mag Niemandem sagen. — πρὸς τὸ κάλλος. Die gewöhnliche Verbindung wäre ἐς τὸ κ., wie gleich im Folg. ἐς steht. Allein auch ἐπαινεῖν τινα πρός τι wird gesagt, Plat. Theaet. p. 145 A: τί δ', εἰ ποτέρου τὴν ψυχὴν ἐπαινοῖ πρὸς ἀρετήν τε καὶ σοφίαν; Der Wechsel der Präposition darf im Gesprächston nicht auffallen. — αἰσχύνοιτο . . λαμβάνων, s. zu IV, 23. — αὐτοῦ. Wovon abhängig? — μικρῷ ἔμπρ., s. zu IV, 11.

6 ΔΙΟΓ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε καὶ αὖθις πίε καὶ πολλάκις· οὕτω γὰρ παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ Κλεῖτον ἐκεῖνον ὁρῶ καὶ Καλλισθένην καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο καὶ ἀμύναιντό σε ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε καὶ πῖνε πολλάκις, ὡς ἔφην.

14.

ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

1 ΦΙΛ. Νῦν μέν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐκ ἐμὸς υἱὸς εἶναι· οὐ γὰρ ἂν ἐτεθνήκεις Ἄμμωνός γε ὤν.

ΑΛΕΞ. Οὐδ' αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι.

ΦΙΛ. Τί λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν;

ΑΛΕΞ. Οὐ τοῦτο, ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι, ὥστε ῥᾷον ἐκράτουν αὐτῶν.

2 ΦΙΛ. Τίνων δὲ ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ ξυνηνέχθης, τοξάρια καὶ πελτάρια καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν

6. *οἶσθα ὃ δράσεις;* eig. weisst du was du thun sollst? wir: weisst du was? Ebenso Hermot. 63. Toxar. 62: *οἶσθα ὃ δράσομεν;* desgl. Bis accus. 13. Dial. deor. 22, 4: *οἶσθα οὖν ὅ τι χαρίσῃ.* Bei Euripides und Aristophanes steht der Imperativ. *οἶσθ' ὃ δρᾶσον.* Vgl. Kr. II. §. 54, 4, 2. — *γάρ.* Wie zu erklären? — *σὺ δέ*, s. zu II, 57. u. Kr. Gr. §. 69, 16, 4. Dieser Gebrauch der Partikel *δέ* ist mehr ionisch, und dann zumal bei einigen Späteren häufig. Ueber *κἂν* s. zu III, 20 und zu Gespr. 23, 1. — *καὶ γάρ.* Der Sinn ist: gehe hin und trinke das Lethewasser; denn u. s. w. — *ὧν = τούτων, ἃ.* — *τὴν ἑτέραν*, Kr. Gr. §. 43, 3, 3.

1. *μὴ οὐκ.* Toxar. 17: *οὐδ' αὐτὸν ἔξαρνον ὄντα μὴ οὐχὶ πεφονευκέναι.* Conviv. 32: *ἐκεῖνο οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐχὶ φάρμακον ἀποδόσθαι.* u. s. Kr. Gr. §. 67, 12, 7. — *ὤν = εἰ ἦσθα.* — *τοῦ Ἀμύντου*, des Sohnes des Am. Kr. Gr. §. 47, 5, 2. Herodot. 1, 45, 2: *Ἄδρηστος ὁ Γορδίεω τοῦ Μίδεω.* — *ὡς οἰόμενος, quippe existimans.* — *παρέχειν σεαυτὸν ἐξαπατ.*, dass du dich betrügen liessest; s. zu III, 1. — *κατεπλάγησάν με*, Kr. Gr. §. 46, 10, 1, oft so bei Luc. — *οἰόμενοι*, in Bezug auf das vorhergehende *οὐδείς*; constructio ad synesin. Vgl. zu IV, 15.

2. *προβεβλημένοις* passt eigentlich nur zu *πελτάρια* und *γέρρα*, und nicht zu *τοξάρια.* Zeugma. Vgl. zu IV, 6. — *ἔργον ἦν*, es war eine Arbeit, hatte etwas zu

καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν καὶ τὴν Θετταλὴν ἵππον καὶ τοὺς Ἠλείων ἀκοντιστὰς καὶ τὸ Μαντινέων πελταστικὸν ἢ Θρᾷκας ἢ Ἰλλυριοὺς ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα· Μήδων δὲ καὶ Περσῶν καὶ Χαλδαίων καὶ χρυσοφόρων ἀνθρώπων καὶ ἁβρῶν οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν, οὐδ' ἐς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι φυγόντων;

3 *ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστήσας αὐτοὺς οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας ἐκράτουν αὐτῶν· οὐδ' ἐπιώρκησα πώποτε ἢ ὑποσχόμενος ἐψευσάμην ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. καὶ τοὺς Ἕλληνας δὲ τοὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον.*

ΦΙΛ. Οἶδα ταῦτα πάντα· Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. 4 *σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν κάνδυν, ὥς φασι, μετενέδυς καὶ τιάραν ὀρθὴν ἐπέθου καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἠξίους, καὶ τὸ πάντων γελοιότατον,*

bedeuten; oft bei Luc. — *Θετταλὴν ἵππον.* Amor. 45: *Θεσσαλοὶ ἵπποι.* Dial. meretr. 1, 2: *Θετταλαὶ ᾠδαί* u. s. — *καὶ χρυσοφ.* Die Part. *καί* schliesst hier ab, **kurz**, *denique;* s. zu II, 9. — *μύριοι μετὰ Κλ.* Die zehntausend Hellenen, welche unter Klearchos mit Kyros gegen Artaxerxes II. zogen. — *τὸ τόξευμα,* der von den Hellenen auf sie abgeschossene Pfeil. Bei Luc. sehr oft vorkommender Gebrauch des Art. Wir brauchen in diesem Falle keinen bestimmten Artikel. Ueber *πρὶν ἤ* s. unser Wörterbuch unter *πρίν.*

3. *ἔργον,* näml. *ἦσαν.* — *διαστ. αὐτούς,* wie es Philippos mit den Hellenen machte. — *τοὺς Ἕλληνας . . τοὺς μέν,* Kr. Gr. §. 47, 28, 3. Conviv. 19: *οἱ παρόντες δὲ οἱ μὲν ἥδοντο, οἱ δὲ ἐγέλων.* Dial. deor. 11 (16), 1. u. ö. — *Θηβαίους δέ.* Nach *τοὺς μέν* hätte eigentlich *τοὺς δέ* folgen müssen; statt dessen steht mit grösserem Nachdruck *Θηβ. δέ.* Alexander meint hier die Zerstörung Thebens, welches nach des Philippos Tode abgefallen war. — *ἀκούεις,* s. zu IV, 4. Kr. Gr. §. 53, 1, 2. — *μεταξὺ δειπνοῦντα.* Kr. Gr. §. 56, 10, 3. Dial. deor. 7, 3. u. s. — *με = τὰς ἐμὰς πράξεις.* Oft vorkommende Kürze bei Griechen und Römern in Vergleichungen; schon bei Homer. Il. 1, 163: *οὐ μέν σοί ποτε ἶσον ἔχω γέρας.* Vgl. zu Char. 16. Cicer. de orat. 1. 4, 15: *ingenia vero nostrorum hominum multum ceteris hominibus praestiterunt.*

4. *τιάραν ὀρθήν.* Die *τιάρα* war eine hohe Kopfbedeckung der Perser mit nach vorn übergebogener Spitze, die nur bei der königlichen aufrecht stehen durfte. Xenoph. an. 2, 5, 23. — *ὑπ' ἐλευθέρων.* Die Praeposition in der Apposition mit Nachdruck wiederholt. — *τὸ πάντων γελοιότατον,* Kr. Gr. §. 57,

ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας καὶ γάμους τοιούτους γαμῶν καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. ἓν ἐπήνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα.

5 ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δέ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθάλασθαι ἐντὸς τοῦ τείχους καὶ τοσαῦτα λαβεῖν τραύματα;

ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν οἴομαι εἶναι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι σοι τὸ τοιοῦτον ἥκιστα συνέφερε· θεὸς γὰρ εἶναι δοκῶν εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσιν, ᾗ καὶ ὁ Ἄμμων γόης καὶ ψευδόμαντις ἠλέγχετο καὶ οἱ προφῆται κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λιποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα κατὰ νόμον σωμάτων ἁπάντων; ἄλλως τε καὶ τοῦτο, ὃ χρήσιμον ἔφης, ὦ Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολὺ τῆς

10, 12. — τὰ τῶν, die Sitten der. — λέουσι κτέ. Wiederum eine Uebertreibung; denn dieses Schicksal traf nur den Lysimachos. In Bezug auf πεπαιδευμένους vgl. was Iustin. 15, 3 über Lysimachos sagt. — τοιούτους, d. i. so schimpfliche. Uebrigens s. zu 10, 11. — Ἡφαιστίωνα ὑπεραγ. Alexander trieb nämlich mit dem Hephästion nach dessen Tode eine abgöttische Verehrung.

5. Ὀξυδράκαις. Eine grosse und tapfere Völkerschaft Indiens, Nachbarn der Maller. Die hier erwähnte tollkühne That geschah nach Arrian. 6, 9 u. A. in der Hauptstadt der Maller. — καθάλασθαι. Dieselbe Aoristform Asin. 53. Adv. indoct. 14. Fugit. 2; ἀλόμενος nur De morte Peregr. 9. — οὐχ ὅτι μὴ .. ἀλλ' ὅτι, non quin .. sed quod. — εἰ τρωθείης, wenn du verwundet wurdest, Kr. Gr. §. 54, 12, 5. — αἵματι ῥεόμενον, von Blut triefend. — ταῦτα γέλως ἦν, Iup. tr. 29 u. 42: ταῦτα πῶς οὐ γέλως ἐστίν; Kr. Gr. §. 61, 7, 5. — ὁ Ἄμμων, Zeus Ammon, d. i. das Orakel desselben. — δεόμενον τῶν ἰ. βοηθεῖν, Kr. Gr. §. 55, 3, 12. — ἄλλως τε καί, und zudem od. ausserdem auch. καί gehört zum Folgenden. Vgl. Prom. 16. Dial. deor. 20, 1. u. ö. — ὃ χρήσιμον ἔφης. Vgl. was oben §. 1. Alexander sagt: ἐδεξάμην τὸ μάντευμα ὡς χρήσιμον ἐς τὰ ἐμὰ πράγματα οἰόμενος εἶναι. Ueber ἔφης s. oben zu 7, 1. — τὸ .. κρατεῖν, dass du nämlich dadurch leicht siegtest, Erklärung zum Vorherge-

καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν καὶ τὴν Θετταλὴν ἵππον καὶ τοὺς Ἠλείων ἀκοντιστὰς καὶ τὸ Μαντινέων πελταστικὸν ἢ Θρᾷκας ἢ Ἰλλυριοὺς ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα· Μήδων δὲ καὶ Περσῶν καὶ Χαλδαίων καὶ χρυσοφόρων ἀνθρώπων καὶ ἁβρῶν οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν, οὐδ' ἐς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι φυγόντων;

ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστήσας αὐτοὺς οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας ἐκράτουν αὐτῶν· οὐδ' ἐπιώρκησα πώποτε ἢ ὑποσχόμενος ἐψευσάμην ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. καὶ τοὺς Ἕλληνας δὲ τοὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον. 3

ΦΙΛ. Οἶδα ταῦτα πάντα· Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν κάνδυν, ὥς φασι, μετενέδυς καὶ τιάραν ὀρθὴν ἐπέθου καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἠξίους, καὶ τὸ πάντων γελοιότατον, 4

bedeuten; oft bei Luc. — Θετταλὴν ἵππον. Amor. 45: Θεσσαλοὶ ἵπποι. Dial. meretr. 1, 2: Θετταλαὶ ᾠδαί u. s.—καὶ χρυσοφ. Die Part. καί schliesst hier ab, kurz, *denique*: s. zu II, 9. — μύριοι μετὰ Κλ. Die zehntausend Hellenen, welche unter Klearchos mit Kyros gegen Artaxerxes II. zogen. — τὸ τόξευμα, der von den Hellenen auf sie abgeschossene Pfeil. Bei Luc. sehr oft vorkommender Gebrauch des Art. Wir brauchen in diesem Falle keinen bestimmten Artikel. Ueber πρὶν ἤ s. unser Wörterbuch unter πρίν.

3. ἔργον, näml. ἦσαν. — διαστ. αὐτούς, wie es Philippos mit den Hellenen machte. — τοὺς Ἕλληνας . . τοὺς μέν, Kr. Gr. §. 47, 28, 3. Conviv. 19: οἱ παρόντες δὲ οἱ μὲν ἥδοντο, οἱ δὲ ἐγέλων. Dial. deor. 11 (16), 1. u. ö. — Θηβαίους δέ. Nach τοὺς μέν hätte eigentlich τοὺς δέ folgen müssen; statt dessen steht mit grösserem Nachdruck Θηβ. δέ. Alexander meint hier die Zerstörung Thebens, welches nach des Philippos Tode abgefallen war. — ἀκούεις, s. zu IV, 4. Kr. Gr. §. 53, 1, 2. — μεταξὺ δειπνοῦντα. Kr. Gr. §. 56, 10, 3. Dial. deor. 7, 3. u. s. — με = τὰς ἐμὰς πράξεις. Oft vorkommende Kürze bei Griechen und Römern in Vergleichungen; schon bei Homer. Il. 1, 163: οὐ μέν σοί ποτε ἶσον ἔχω γέρας. Vgl. zu Char. 16. Cicer. de orat. 1. 4, 15: *ingenia vero nostrorum hominum multum ceteris hominibus praestiterunt.*

4. τιάραν ὀρθήν. Die τιάρα war eine hohe Kopfbedeckung der Perser mit nach vorn übergebogener Spitze, die nur bei der königlichen aufrecht stehen durfte. Xenoph. an. 2, 5, 23.—ὑπ' ἐλευθέρων. Die Praeposition in der Apposition mit Nachdruck wiederholt. — τὸ πάντων γελοιότατον, Kr. Gr. §. 57,

πεινὰ οὕτω περὶ αὐτοῦ διανοεῖσθαι πολλὴ αἰσχύνη καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ, ὅς, ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

2 ΑΧ. Ὦ παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὢν καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύστηνον ἐκεῖνο δοξάριον προετίμων τοῦ βίου, νῦν δὲ συνίημι ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελής, εἰ καὶ ὅτι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι· μετὰ νεκρῶν δὲ ὁμοτιμία, καὶ οὔτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὅμοιοι καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντες, καὶ οὔτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με οὔτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν, ἰσηγορία δὲ ἀκριβὴς καὶ νεκρὸς ὅμοιος „ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός." ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι ὅτι μὴ θητεύω ζῶν.

3 ΑΝΤ. Ὅμως τί οὖν ἄν τις πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας, ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. ἄλλως τε ὁρᾷς, τῶν ἑταίρων ὅσοι περὶ σέ ἐσμεν ὧδε· μετὰ μικρὸν δὲ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. φέρει δὲ παραμυθίαν καὶ ἡ κοινωνία τοῦ πράγματος καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. ὁρᾷς τὸν Ἡρακλέα καὶ τὸν Μελέαγρον καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἳ οὐκ ἄν, οἶμαι, δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις καὶ ἀβίοις ἀνδράσιν.

4 ΑΧ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις, ἐμὲ δὲ οὐκ οἶδ' ὅπως ἡ

2. Piscat. 34. — ταπεινὰ οὕτω, s. zu I, 11. — ἐξόν, s. zu II, 14.
2. καὶ τὸ βέλτιον κτέ. = καὶ ἀγνοῶν ὁπότερον τὸ βέλτ. ἐκ. ἦν. — ἐκείνη, näml. δόξα, was in δοξάριον liegt; s. zu II, 42. — ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός. Worte des Achilleus bei Homer. Il. 9, 319. — ὅτι μή. Häufig bei Lucian und andern späteren Schriftstellern steht so μή nach ὅτι, sogar wann von einem Factum die Rede ist, wo ein Attiker οὐ gesetzt haben würde. Vgl. oben 10, 11: ὅτι μηκέτι δειπνήσει. Göttergespr. 16 (24), 1. Ueberhaupt findet sich μή oft für οὐ bei Lucian.

3. τί οὖν ἄν τις πάθοι; s. zu II, 39. — πάντως .. πάντας, Alle ohne Ausnahme, *omnino omnes*. — ὧδε, hier. Ebenso rein örtlich Hermotim. 1: τὴν χεῖρα ὧδε κἀκεῖσε μετέφερες. — μόνον αὐτόν, allein für seine Person, d. i. dass man selbst nicht der einzige ist, welcher u. s. w. S. zu II, 35. — *Μελέαγρον*. Jener bekannte Sohn des Königs von Kalydon, Oeneus, der sich bei der kalydonischen Eberjagd auszeichnete.
4. οὐκ οἶδ' ὅπως, *nescio quomodo*, d. i. hier ausserordentlich, gewöhnlich so parenthetisch eingeschoben, ohne Einfluss auf die

δόξης ἀφῄρει τῶν κατορθουμένων· πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίγνεσθαι δοκοῦν.

ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, 6 ἀλλὰ Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με. καίτοι τὴν Ἄορνον ἐκείνην, οὐδετέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην.

ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτόν; καὶ οὐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τῦφον ἀπομαθήσῃ καὶ γνώσῃ σεαυτὸν καὶ συνήσεις ἤδη νεκρὸς ὤν;

15.

ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΑΝΤΙΛΟΧΟΥ.

ΑΝΤ. Οἷα πρῴην, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀγεννῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γάρ, ὁπότε ἔφης βούλεσθαι ἐπάρουρος ὢν θητεύειν παρά τινι τῶν ἀκλήρων, „ᾧ μὴ βίοτος πολὺς εἴη,“ μᾶλλον ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲν οὖν ἀγεννῆ τινα Φρύγα, δειλὸν καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον, ἴσως ἐχρῆν λέγειν, τὸν Πηλέως δὲ υἱόν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, τα-

henden τοῦτο ὃ χρήσ. ἔφης. — τῶν κατορθουμένων, glückliche Thaten. — πᾶν γὰρ ἐδόκει κτἑ., d. i. denn jede That erschien mangelhaft, weil sie von einem Gotte zu geschehen schien.

6. Ἡρακλεῖ καὶ Διονύσῳ, weil auch diese nach Indien gezogen sein sollen. — καίτοι, jedoch, *quamquam*, dient zur Berichtigung des Vorhergehenden. — τὴν Ἄορνον, eine hohe Felsenburg in Indien, die bis auf Alexander für uneinnehmbar galt. — λαβόντος, obschon u. s. w. — ὁρᾷς, siehst du, d. i. ist es nicht offenbar; s. zu IV, 7. — συνήσεις νεκρὸς ὤν. Dial. deor. 2, 1: οὐδὲ συνῆκα ἡδὺς γυναιξὶ διὰ σὲ γεγενημένος. Unten Gespr. 18, 2. S. zu II, 8. Kr. Gr. §. 56, 7, 5.

1. Antilochos war der älteste Sohn des Nestor und ein vertrauter Freund des Achilleus. — σοι εἴρηται, s. zu III, 6. Homer. Odyss. 11, 488 fgg.:
μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
— ὡς, *quam*. — Χείρωνος κτἑ. Cheiron, der Sohn des Kronos und der Philyra, ein Kentaur, war der Lehrer des Ach. in der Musik und Heilkunde, Phönix, der Erzieher und Begleiter desselben. ἔφης, s. zu 7, 1. — δειλὸν .. φιλόζωον, Apposition zu ἀγεννῆ. — πέρα τοῦ καλῶς ἔχοντος, mehr als sich ziemt. Dial. deor. 18,

2 ΔΙΟΓ. Μανθάνω· ἄντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν ἀνθ' ἑαυτοῦ, καὶ σὺ τοίνυν ἀντ' ἐκείνου νεκρὸς εἶ.

ΗΡ. Τοιοῦτό τι.

ΔΙΟΓ. Πῶς οὖν ἀκριβὴς ὁ Αἰακὸς ὢν οὐ διέγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα;

ΗΡ. Ὅτι ἐῴκειν ἀκριβῶς.

ΔΙΟΓ. Ἀληθῆ λέγεις· ἀκριβῶς γάρ, ὥστε αὐτὸς εἶναι. ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί, καὶ σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην παρὰ τοῖς θεοῖς.

3 ΗΡ. Θρασὺς εἶ καὶ λάλος, καὶ εἰ μὴ παύσῃ σκώπτων ἐς ἐμέ, εἴσῃ αὐτίκα οἵου θεοῦ εἴδωλόν εἰμι.

ΔΙΟΓ. Τὸ μὲν τόξον γυμνὸν καὶ πρόχειρον· ἐγὼ δὲ τί ἂν ἔτι φοβοίμην σε ἅπαξ τεθνηκώς; ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος ἔζη, συνῆς αὐτῷ καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε παρὰ τὸν βίον, ἐπεὶ δὲ ἀπεθάνετε, διαιρεθέντες ὁ μὲν ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, ἐς Ἅιδου πάρει;

ΗΡ. Ἐχρῆν μὲν μηδὲ ἀποκρίνασθαι πρὸς ἄνδρα οὕτως ἐρεσχηλοῦντα· ὅμως δ' οὖν καὶ τοῦτο ἄκουσον· ὁπόσον μὲν γὰρ Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν, ὃ δὲ ἦν τοῦ Διός, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς.

4 ΔΙΟΓ. Σαφῶς νῦν μανθάνω· δύο γάρ, φῄς, ἔτεκεν ἡ Ἀλκμήνη κατὰ τὸ αὐτὸ Ἡρακλέας, τὸν μὲν ὑπ' Ἀμφιτρύωνι,

---

2. *μανθάνω*, nun versteh' ich's, oft so absolut in der Antwort. — *ἄντανδρον*, als Ersatzmann. Catapl. 10: *ἄντανδρον ὑμῖν ἀντ' ἐμαυτοῦ παραδώσω τὸν ἀγαπητόν*. Nur bei Luc. vorkommendes Wort. — *τοιοῦτό τι*, d. i. so ungefähr ist's. — *ὥστε αὐτὸς εἶναι*, so dass du es selbst bist. Was den Nominativus *αὐτός* anlangt, so tritt hier die sogenannte Attraction ein; s. Kr. Gr. §. 55, 2, 4. — *μὴ .. ἐστί*, ob nicht stattfindet. Piscat. 5: *ὁρᾶτε γοῦν μὴ τὸ τῶν νῦν φιλοσόφων αὐτοὶ ποιεῖτε*. Hermot. 19: *ἀλλ' ὅρα, μὴ καὶ ταῦτα παίζεις πρός με*. Philopseud. 29: *ὅρα, μὴ τοῦτό φησι Τυχιάδης*. u. ö. Kr. Gr. §. 54, 8, 12.

3. *σκώπτων ἐς ἐμέ*. Seltnere Construction, gewöhnlich ist das Verbum mit bl. Accusativ verbunden. — *εἴσῃ αὐτίκα*, so sollst du auf der Stelle erfahren. Piscat. 2: *εἴσῃ αὐτίκα, οὕστινας ὄντας ἡμᾶς ἐκακηγόρεις*. u. ö. — *γυμνόν*, entblösst näml. vom Futterale (*γωρυτός*). Vgl. Odyss. 11, 607. — *πρὸς τοῦ σοῦ Ἡρακλέους*, bei deinem Herakles, dem du als Schatten angehörst. — *συνῆς*, s. oben zu 7, 1. — *ἐς Ἅιδου*, Kr. Gr. §. 43, 3, 6. *παρεῖναι εἰς*, wohin angekommen sein, *adesse ad*. Toxar. 50 u. s. Ebenso *παρεῖναι ἐπί*, Gall. 29 u. *π. πρός*, Vit. auct. 1. — *γάρ*, nämlich.

4. *κατὰ τὸ αὐτό*, zu gleicher Zeit. Piscat. 51. — *ὑπ' Ἀμφι-*

μνήμη τῶν παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον· εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστέ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες.

ΑΝΤ. Οὔκ, ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ· τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν· σιωπᾶν γὰρ καὶ φέρειν καὶ ἀνέχεσθαι δέδοκται ἡμῖν, μὴ καὶ γέλωτα ὄφλωμεν ὥσπερ καὶ σὺ τοιαῦτα εὐχόμενοι.

16.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

ΔΙΟΓ. Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος, μὰ τὸν Ἡρακλέα. τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος Ἡρακλῆς ἐστιν. εἶτα τέθνηκε Διὸς υἱὸς ὤν; εἰπέ μοι, ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ὑπὲρ γῆς ὡς θεῷ. 1

ΗΡ. Καὶ ὀρθῶς ἔθυες· αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν τῷ οὐρανῷ τοῖς θεοῖς σύνεστι „καὶ ἔχει καλλίσφυρον Ἥβην,“ ἐγὼ δ' εἴδωλόν εἰμι αὐτοῦ.

ΔΙΟΓ. Πῶς λέγεις; εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει;

ΗΡ. Ναί· οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ' ἐγὼ ἡ εἰκὼν αὐτοῦ.

Construction. — παρὰ τὸν βίον, s. zu II, 50. — ὑμῶν ἕκαστον, näml. ἀνιᾶν τὴν μνήμην κτέ., oder ἡ μνήμη ἀνιᾷ. In letzterem Falle steht οἶμαι δὲ ausser der Construction, wie oft. — ταύτῃ, in dieser Hinsicht.

1. οὐ μὲν οὖν ἄλλος, s. zu II, 54. — μὰ τὸν Ἡρακλέα. Ein wahrhaft drolliger Schwur des Diogenes, der hier den Herakles anredet. Ebenso Tim. 16: ὦ Ζεῦ, πρὸς τοῦ Διός. — εἶτα, also, und doch, häufig in Fragen der Verwunderung, vgl. 18, 2. Dial. deor. 4, 2. Gall. 2. 16. Vitar. auct. 7. Piscat. 14. 15. Catapl. 3. 14. u. s. Kr. Gr. §. 69, 24, 2. — καλλίνικε, häufiges Beiwort des Herakles, Seitenstück zum Zeus Basileus. — γάρ. Wie zu erklären? — καὶ ἔχει Ἥβην. Odysseus erzählt bei Hom. Odyss. 11, 601. fg. von den Schatten, welche ihm bei seinen Todtenopfern, die er um den Teiresias zu befragen bringt, erscheinen und unter diesen zuletzt auch vom Herakles:

τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν
τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην.

Mit dieser Doppelnatur des Herakles nun treibt hier Luc. seinen Spott, lässt den Schatten desselben auftreten und legt ihm jene Worte des Odyss. in den Mund. Vgl. Ameis zur angef. Stelle. — ἐξ ἡμισείας, näml. μοίρας, zur Hälfte, bei Luc. und anderen Späten oft vorkommender Ausdruck. Beachte den Wechsel τῷ ἡμίσει, mit der anderen Hälfte.

2 *ΔΙΟΓ.* Μανθάνω· ἄντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν ἀνθ' ἑαυτοῦ, καὶ σὺ τοίνυν ἀντ' ἐκείνου νεκρὸς εἶ.

ΗΡ. Τοιοῦτό τι.

ΔΙΟΓ. Πῶς οὖν ἀκριβὴς ὁ Αἰακὸς ὢν οὐ διέγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα;

ΗΡ. Ὅτι ἐῴκειν ἀκριβῶς.

ΔΙΟΓ. Ἀληθῆ λέγεις· ἀκριβῶς γάρ, ὥστε αὐτὸς εἶναι. ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί, καὶ σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην παρὰ τοῖς θεοῖς.

3 *ΗΡ.* Θρασὺς εἶ καὶ λάλος, καὶ εἰ μὴ παύσῃ σκώπτων ἐς ἐμέ, εἴσῃ αὐτίκα οἵου θεοῦ εἴδωλόν εἰμι.

ΔΙΟΓ. Τὸ μὲν τόξον γυμνὸν καὶ πρόχειρον· ἐγὼ δὲ τί ἂν ἔτι φοβοίμην σε ἅπαξ τεθνηκώς; ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος ἔζη, συνῆς αὐτῷ καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε παρὰ τὸν βίον, ἐπεὶ δὲ ἀπεθάνετε, διαιρεθέντες ὁ μὲν ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, ἐς Ἅιδου πάρει;

ΗΡ. Ἐχρῆν μὲν μηδὲ ἀποκρίνασθαι πρὸς ἄνδρα οὕτως ἐρεσχηλοῦντα· ὅμως δ' οὖν καὶ τοῦτο ἄκουσον· ὁπόσον μὲν γὰρ Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν, ὃ δὲ ἦν τοῦ Διός, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς.

4 *ΔΙΟΓ.* Σαφῶς νῦν μανθάνω· δύο γάρ, φῄς, ἔτεκεν ἡ Ἀλκμήνη κατὰ τὸ αὐτὸ Ἡρακλέας, τὸν μὲν ὑπ' Ἀμφιτρύωνι,

2. *μανθάνω*, nun versteh' ich's, oft so absolut in der Antwort. — *ἄντανδρον*, als Ersatzmann. Catapl. 10: *ἄντανδρον ὑμῖν ἀντ' ἐμαυτοῦ παραδώσω τὸν ἀγαπητόν.* Nur bei Luc. vorkommendes Wort. — *τοιοῦτό τι*, d. i. so ungefähr ist's. — *ὥστε αὐτὸς εἶναι*, so dass du es selbst bist. Was den Nominativus *αὐτός* anlangt, so tritt hier die sogenannte Attraction ein; s. Kr. Gr. §. 55, 2, 4. — *μὴ .. ἐστί*, ob nicht stattfindet. Piscat. 5: *ὁρᾶτε γοῦν μὴ τὸ τῶν νῦν φιλοσόφων αὐτοὶ ποιεῖτε.* Hermot. 19: *ἀλλ' ὅρα, μὴ καὶ ταῦτα παίζεις πρός με.* Philopseud. 29: *ὅρα, μὴ τοῦτό φησι Τυχιάδης.* u. ö. Kr. Gr. §. 54, 8, 12.

3. *σκώπτων ἐς ἐμέ.* Seltnere Construction, gewöhnlich ist das Verbum mit bl. Accusativ. verbunden. — *εἴσῃ αὐτίκα*, so sollst du auf der Stelle erfahren. Piscat. 2: *εἴσῃ αὐτίκα, οὕστινας ὄντας ἡμᾶς ἐκακηγόρεις.* u. ö. — *γυμνόν*, entblösst näml. vom Futterale (*γωρυτός*). Vgl. Odyss. 11, 607. — *πρὸς τοῦ σοῦ Ἡρακλέους*, bei deinem Herakles, dem du als Schatten angehörst. — *συνῆς*, s. oben zu 7, 1. — *ἐς Ἅιδου*, Kr. Gr. §. 43, 3, 6. *παρεῖναι εἰς*, wohin angekommen sein, *adesse ad.* Toxar. 50 u. s. Ebenso *παρεῖναι ἐπί*, Gall. 29 u. *π. πρός*, Vit. auct. 1. — *γάρ*, nämlich.

4. *κατὰ τὸ αὐτό*, zu gleicher Zeit. Piscat. 51. — *ὑπ' Ἀμφι-*

τὸν δὲ παρὰ τοῦ Διός, ὥστε ἐλελήθειτε δίδυμοι ὄντες ὁμομήτριοι.

ΗΡ. Οὐκ, ὦ μάταιε· ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν.

ΔΙΟΓ. Οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, συνθέτους δύο ὄντας Ἡρακλέας, ἐκτὸς εἰ μὴ ὥσπερ ἱπποκένταυρός τις ἦτε ἐς ἓν συμπεφυκότες ἄνθρωπος καὶ θεός.

ΗΡ. Οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι ἐκ δυεῖν, ψυχῆς καὶ σώματος; ὥστε τί τὸ κωλῦόν ἐστι τὴν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ἥπερ ἦν ἐκ Διός, τὸ δὲ θνητὸν ἐμὲ παρὰ τοῖς νεκροῖς;

ΔΙΟΓ. Ἀλλ', ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς ἂν 5 *ταῦτα ἔλεγες, εἰ σῶμα ἦσθα, νῦν δὲ ἀσώματον εἴδωλον εἶ· ὥστε κινδυνεύεις τριπλοῦν ἤδη ποιῆσαι τὸν Ἡρακλέα.*

ΗΡ. Πῶς τριπλοῦν;

ΔΙΟΓ. Ὧδέ πως· εἰ γὰρ ὁ μέν τις ἐν οὐρανῷ, ὁ δὲ παρ' ἡμῖν σὺ τὸ εἴδωλον, τὸ δὲ σῶμα ἐλύθη κόνις ἤδη γενόμενον, τρία ταῦτα δὴ γίγνεται. καὶ σκόπει, ὅντινα δὴ πατέρα τὸν τρίτον ἐπινοήσεις τῷ σώματι.

ΗΡ. Θρασὺς εἶ καὶ σοφιστής. τίς δὲ καὶ ὢν τυγχάνεις;

ΔΙΟΓ. Διογένους τοῦ Σινωπέως εἴδωλον, αὐτὸς δὲ οὐ μὰ Δία „μετ' ἀθανάτοισι θεοῖσιν," ἀλλὰ τοῖς βελτίστοις νεκρῶν ἀνδρῶν συνὼν Ὁμήρου καὶ τῆς τοσαύτης ψυχρολογίας καταγελῶ.

τρύωνι, nach homerischem Sprachgebrauch. — *ἐλελήθειτε . . ὄντες*, d. i. ihr waret, ohne dass es Jemand wusste. Kr. Gr. §. 56, 4, 1. — *ὁ αὐτὸς ἄμφω ἦμεν*, d. i. wir waren beide Eine Person. — *συνθ. δύο ὄντ. Ἡρακλ.*, Erklärung zu *τοῦτο*. — *ἐκτὸς εἰ μή*, *nisi forte*, spätere, aber oft bei Luc. vorkommende Formel, nicht selten mit Ironie. Aehnlich das ebenfalls nicht seltene *πλὴν εἰ μή*, vgl. unten 24, 4. — *ἱπποκένταυρός τις*, eine Art von, wie im Lateinischen *quidam* (Zumpt §. 707.), Kr. Gr. §. 51, 16, 2. Gespr. 20, 4. Iup. conf. 11: *ὑπηρέται καὶ διάκονοί τινες τῶν Μοιρῶν εἶναί φατε.* u. ö. — *καὶ πάντες*, auch alle übrigen, Kr. Gr. §. 69, 32, 18. — *τί τὸ κωλῦόν ἐστι* stärker als *τί κωλύει*.

5. *ὁ μέν τις*, Kr. Gr. §. 50, 1, 9. — *ἐλύθη*. Herakles verbrannte sich, wie bekannt, auf dem Oeta. Vgl. Hermotim 7: *φασὶ τὸν Ἡρακλέα ἐν τῇ Οἴτῃ κατακαυθέντα θεὸν γενέσθαι· καὶ γὰρ ἐκεῖνος ἀποβαλὼν ὁπόσον ἀνθρώπειον εἶχε παρὰ τῆς μητρὸς καὶ καθαρόν τε καὶ ἀκήρατον φέρων τὸ θεῖον ἀνέπτατο ἐς τοὺς θεοὺς διευκρινηθὲν ὑπὸ τοῦ πυρός.* — *τίς δὲ καί*, s. oben zu 3, 2. — *μετ' ἀθαν. θεοῖσιν.* Diogenes braucht hier die oben zu §. 1. aus Homer. angeführten Worte im Scherz von sich.

κισσος καὶ Νιρεὺς καὶ Ἀχιλλεὺς καὶ Τυρὼ καὶ Ἑλένη καὶ Λήδα καὶ ὅλως τὰ ἀρχαῖα πάντα κάλλη.

ΜΕΝ. *Ὀστᾶ μόνα ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνά, ὅμοια τὰ πολλά.*

ΕΡΜ. *Καὶ μὴν ἐκεῖνά ἐστιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι, τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν.*

ΜΕΝ. *Ὅμως τὴν Ἑλένην μοι δεῖξον· οὐ γὰρ ἂν διαγνοίην ἔγωγε.*

ΕΡΜ. *Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν.*

2 ΜΕΝ. *Εἶτα διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν;*

ΕΡΜ. *Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα· ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι*

τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφήν, ἄμορφα δῆλον ὅτι αὐτῷ δόξει, ὅτε μέντοι ἀνθεῖ καὶ ἔχει τὴν χρόαν, κάλλιστά ἐστιν.

ΜΕΝ. *Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες.*

ΕΡΜ. *Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι. ὥστε σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν, ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.*

19.

ΑΙΑΚΟΥ, ΠΡΩΤΕΣΙΛΑΟΥ, ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ.

1 ΑΙΑΚ. *Τί ἄγχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προσπεσών;*

καὶ ὅλως, kurz, *denique*. — *ὀστᾶ μόνα*, Kr. Gr. §. 57, 5, 3. — *πάντες οἱ ποηταί*, Kr. Gr. §. 50, 11, 11.
2. *εἶτα*, s. oben zu 16, 1. — *διὰ τοῦτο*, näml. *τὸ κρανίον*. — *αἱ χίλιαι*, jene tausend Schiffe. Runde Zahl zur Bezeichnung einer grossen Menge, wie im Latein. *mille*. — *ἔφης*, s. oben zu 7, 1. — *τοιῇδ' κτἑ.* Vers des Homeros Il. 3, 157. — *τοῦτο* in Bezug auf das Folgende *εἰ μὴ κτἑ.* Ueber *εἰ* s. Kr. Gr. §. 65, 5, 7. Ebenso im Latein. *miror si*. — *συνίεσαν . . πονοῦντες*, s. oben zu 14, 6.

Protesilāos, der Sohn des Iphiklos aus Phylake in Thessalien und Gemahl der Laodameia, ward bekanntlich unter allen Achäern zuerst von den Troern getödtet, als er, der erste, aus dem Schiffe auf die troische Küste sprang Vgl. Gespr. 23.
1. *προσπεσών*, über sie her-

ΤΑΝ. Ὀρθῶς μὲν λέγεις· καὶ τοῦτο δ᾿ οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν μηδὲν δεόμενον.

ΜΕΝ. Ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία, ὅστις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος.

ΤΑΝ. Οὐδὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν· γένοιτό μοι μόνον.

ΜΕΝ. Θάρρει, ὦ Τάνταλε, ὡς οὔτε σὺ οὔτε ἄλλος πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

18.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ.

ΜΕΝ. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα. 1

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν κατ᾿ ἐκεῖνο ἀπόβλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός τέ ἐστι καὶ Νάρ-

drucksweise für: einen von hier nach einem andern Orte versetzenden Tod. Aehnlich 26, 2. — δ᾿ οὖν, indessen, wie oft. — δεόμενον. Was ist zu ergänzen? μηδέν, in keiner Weise, durchaus nicht. — ὡς ἀληθῶς, zu I, 10. — ὅστις, *quippe qui*; vgl. Kr. Gr. §. 51, 8, 2. Ebenso 19, 1: αἰτιῶ τὸν Μενέλαον, ὅστις ὑμᾶς .. ἤγαγεν. Iup. trag. 2: ὦ μακαρία, ἥτις .. οἴει. Geradezu für ὅς Macrob. 12. 18. — τοὐναντίον τοῖς .. δεδηγμένοις, d. i. nach bekannter Brachylogie: das Gegentheil von dem, was die von tollen Hunden Gebissenen betrifft. — ἀναίνομαι, ich weigere mich. Prom. 1: οὐδ᾿ ἀναίνομαι πηλοπλάθος ἀκούειν. Das Verbum kommt in Prosa selten vor. — γένοιτό μοι μόνον, *modo contingat mihi*. — θάρρει, gieb dich zufrieden. — τοῦ ὕδ. αὐτ. οὐχ ὑπομ., d. i. indem das Wasser vor ihnen davonliefe.

1. ποῦ δέ, s. oben zu 3, 1. — οἱ καλοί .. ἢ αἱ καλαί, die schönen Männer oder Frauen, von denen in der Oberwelt so viel gesprochen wurde. — κατ᾿ ἐκεῖνο, nach jenem Punkte, dorthin. Aehnlich Ver. hist. 2, 43. — ὁ Ὑάκινθος. Warum steht der Artikel nur hier? Hyakinthos ein seiner Schönheit wegen von Apollon geliebter Jüngling aus Lakedämon. Vgl. Dial. deor. 14 u. das. die Anm. Narkissos war der Sohn des böotischen Flussgottes Kephisos und der Nymphe Leiriope. In ihn verliebte sich die Nymphe Echo, allein er verschmähte ihre Liebe, und dieses rächten die Götter in der Weise, dass er sich in sein eigenes Bild, das er in einer Quelle erblickte, verlieben, und da er dieses nicht erreichen konnte, verschmachten musste. Von Nireus sagt Homer. Il. 2, 673: Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν Τῶν ἄλλων Δαναῶν μετ᾿ ἀμύμονα Πηλείωνα. Tyro, die Tochter des Salmoneus und Geliebte des Poseidon ist aus Odyss. 11, 235. fgg. bekannt. —

ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, οὕτως φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων δόξης ἐρασθείς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες.

ΠΡΩΤ. Οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι, ὦ Αἰακέ, ἀποκρινοῦμαι δικαιότερα· οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ Μοῖρα καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι.

ΑΙΑΚ. Ὀρθῶς. τί οὖν τούτους αἰτιᾷ;

20.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΑΙΑΚΟΥ.

1 *ΜΕΝ. Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, περιήγησαί μοι τὰ ἐν Ἅιδου πάντα.*

ΑΙΑΚ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέντοι κεφαλαιώδη, μάνθανε· οὑτοσὶ μὲν ὅτι Κέρβερός ἐστιν οἶσθα, καὶ τὸν πορθμέα τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών.

ΜΕΝ. Οἶδα ταῦτα, καὶ σέ, ὅτι πυλωρεῖς, καὶ τὸν βασιλέα εἶδον καὶ τὰς Ἐρινῦς· τοὺς δὲ ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ἐνδόξους αὐτῶν.

ΑΙΑΚ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δὲ Ἀχιλλεύς, οὗτος δὲ Ἰδομενεὺς πλησίον, οὗτος δὲ Ὀδυσσεύς, εἶτα Αἴας καὶ Διομήδης καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.

2 *ΜΕΝ. Βαβαῖ, ὦ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται ἄγνωστα καὶ ἄμορφα, κόνις πάντα καὶ λῆρος πολύς, ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα. οὗτος δέ, ὦ Αἰακέ, τίς ἐστι;*

ΑΙΑΚ. Κῦρός ἐστιν. οὗτος δὲ Κροῖσος, ὁ δ' ὑπὲρ αὐτὸν Σαρδανάπαλλος, ὁ δ' ὑπὲρ τούτους Μίδας, ἐκεῖνος δὲ Ξέρξης.

1. *πρὸς τοῦ Πλούτ.* Er schwört bei diesem als dem Herrscher der Unterwelt. — *περιήγησαί μοι κτέ.* führe mich herum und zeige mir; ebenso Char. 1. — *τὸν πορθμέα τοῦτον*, näml. *οἶσθα*. — *διεπέρασε*, übersetzte. In dieser Bedeutung nur hier. — *Πυριφλεγέθοντα*, ein Feuer führender Fluss in der Unterwelt. — *καὶ σέ, ὅτι πυλωρεῖς*, s. zu 9, 3. — *Ἰδομενεύς*. König auf Kreta, und Führer der Kreter vor Troia. — *Αἴας*, des Telamon, Königs in Salamis, Sohn, der Tapferste der Achäer nach dem Achilleus. — *Διομήδης*, Sohn des Tydeus, Anführer der Argeier vor Troia.

2. *οἷά σοι τῶν ῥαψ.* = *οἷά ἐστι τὰ κεφ. τῶν ῥαψ., ἅ σοι χ. ἔρρ.* — *τὰ κεφάλαια*, die Hauptpersonen, Hauptheiden. — *λῆρος*, Narrentheiding. — *ἀμενηνὰ κάρηνα*, homerische Worte; vgl.

ΜΕΝ. Εἶτα σέ, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε ζευγνύντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐστι. τὸν Σαρδανάπαλλον δέ, ὦ Αἰακέ, πατάξαι μοι κατὰ κόρρης ἐπίτρεψον.

ΑΙΑΚ. Μηδαμῶς· διαθρύπτεις γὰρ αὐτοῦ τὸ κρανίον γυναικεῖον ὄν.

ΜΕΝ. Οὐκοῦν ἀλλὰ προσπτύσομαί γε πάντως ἀνδρογύνῳ γε ὄντι.

ΑΙΑΚ. Βούλει σοὶ ἐπιδείξω καὶ τοὺς σοφούς; 3

ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί.

ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε ἢ Ἄπολλον ἢ ὅ τι ἂν ἐθέλῃς.

ΠΥΘ. Νὴ Δία καὶ σύ γε, ὦ Μένιππε.

ΜΕΝ. Οὐκέτι χρυσοῦς ὁ μηρός ἐστί σοι;

ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρ' ἴδω, εἴ τί σοι ἐδώδιμον ἡ πήρα ἔχει.

ΜΕΝ. Κυάμους, ὠγαθέ· ὥστε οὐ τοῦτό σοι ἐδώδιμον.

ΠΥΘ. Δὸς μόνον· ἄλλα παρὰ νεκροῖς δόγματα· ἔμαθον γάρ, ὡς οὐδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε.

ΑΙΑΚ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου καὶ Θαλῆς ἐκεῖνος καὶ παρ' αὐτοὺς Πιττακὸς καὶ οἱ ἄλλοι· ἑπτὰ δὲ πάντες εἰσίν, ὡς ὁρᾷς. 4

ΜΕΝ. Ἄλυποι, ὦ Αἰακέ, οὗτοι μόνοι καὶ φαιδροὶ τῶν

Odyss. 10, 521. ζευγνύντα κτέ. Zu beziehen auf die doppelte Schiffbrücke des Xerxes über den Hellespontos und auf den Durchstich der Landzunge, welche Akte oder den Berg Athos mit der Chalkidike verbindet. Vgl. Isocr. Panegyr. 25. — οἷος δὲ καὶ ὁ Κρ., wie sieht aber auch Kr. aus! — οὐκοῦν ἀλλά, s. oben zu 10, 4.

3. Νὴ Δία γε. Seltene Verbindung; ebenso Demosth. enc. 16. — Εὔφορβε. Pythagoras behauptete einst sei seine Seele in dem Leibe des Troianers Euphorbos gewesen. Ovid. Metam. 15, 160:

Ipse ego, nam memini, Troiani tempore belli
Panthoides Euphorbus eram.

Vgl. Gall. 17. Ebenso gab es eine Sage, dass seine Seele zuvor im Apollon sich befunden habe; vgl. Gall. 16. — καὶ σύ γε, näml. χαῖρε. — χρυσοῦς ὁ μηρός. Mehrfach wird dem Pythagoras eine goldene Hüfte beigelegt; vgl. Vit. auct. 6. Gall. 18. Alex. 40. — οὐ γάρ, nicht doch, *non profecto*, oft so in der Antwort. Auch οὐ γὰρ οὖν. Vgl. 24, 3. Iup. conf. 16. 18. Hermot. 63. — φέρ' ἴδω, Kr. Gr. §. 54, 2, 1. — κύαμοι καὶ κεφαλαὶ τοκήων. Dieses bezieht sich darauf, dass Pythagoras seinen Schülern den Genuss der Bohnen untersagt haben soll. Bekannt ist ja der pythagoreische Spruch: ἶσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων, auf den hier angespielt wird.

4. Θαλῆς ἐκεῖνος, jener dort Th. — οἱ ἄλλοι, d. i. Periandros, Bias, Chilon und Kleobulos. — ἑπτὰ δὲ πάντες εἰσίν, sie sind

ἄλλων ὁ δὲ σποδοῦ πλέως ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ τὰς φλυκταίνας ἐξηνθηκώς, τίς ἐστιν;

ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών.

ΜΕΝ. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες;

ΕΜΠ. Μελαγχολία τις, ὦ Μένιππε.

ΜΕΝ. Οὐ μὰ Δί', ἀλλὰ κενοδοξία καὶ τῦφος καὶ πολλὴ κόρυζα, ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἀνάξιον ὄντα· πλὴν ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν· ἐφωράθης γὰρ τεθνεώς. ὁ Σωκράτης δέ, ὦ Αἰακέ, ποῦ ποτε ἄρα ἐστίν;

ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά.

ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτόν, εἴ που ἐνθάδε ἐστίν.

ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν;

im Ganzen sieben. — ἐξηνθηκώς, transitive. So erst Spätere, wie Plutarch. Vgl. Piscat. 6: οἳ τοιαῦτα ἐξηνθήκατε ποικίλα. — ἡμίεφθος. Lucian bezieht sich einigemal auf die Anekdote, Empedokles habe sich, um für einen Gott gehalten zu werden, in den Aetna gestürzt. Ver. hist. 2, 21: ὁ μέντοι Ἐμπεδοκλῆς ἦλθε μὲν καὶ οὗτος, περίεφθος καὶ τὸ σῶμα ὅλον ὠπτημένος. Horat. ars poet. 464 f.:

deus immortalis haberi
dum cupit Empedocles, ardentem
frigidus Aetnam
insiluit.

— ὦ χαλκόπου βέλτιστε, mein bester Erzfuss. So nennt Menippos spottweise den Empedokles. Es bezieht sich dieses auf die ehernen Pantoffeln, die er zu tragen pflegte (Aelian. var. hist. 12, 32), von denen der eine hernach bei einem Ausbruche wieder ausgeworfen worden sein soll. In Bezug auf die Wortstellung ist zu bemerken, dass das Adiectiv. bei dem Vocativ. mit ὦ dem Substantiv. auch folgen kann bei geringerer Betonung; Dial. deor. 20, 11: ὦ Ζεῦ τεράστιε. Kr. Gr. §. 45, 3, 5. — τί παθών, s. zu 5, 1. — μελαγχολία τις, s. zu 16, 4. — πολλὴ κόρυζα, d. i. eine Portion von Dummheit. — αὐταῖς κρηπῖσιν, s. zu II, 22. — οὐκ ἀνάξιον ὄντα, d. i. wie du es wohl verdientest. De morte Peregr. 21: μόνον οὐκ ἐπὶ σκηνῆς ὀπτήσει ἑαυτὸν οὐκ ἀνάξιος ὤν. De conscr. hist. 26. — ποῦ ποτε ἄρα ἐστίν, wo ist denn nun der in aller Welt? Catapl. 22: Κυνίσκε, σὺ δὲ ποῦ ποτε ἄρα ὢν τυγχάνεις; Philopseud. 1. — Παλαμήδους. Dieser war der Sohn des Königs Nauplios von Euböa und einer der Heerführer vor Troia, der aber von Odysseus der Verrätherei beschuldigt und auf dessen Anstiften gesteinigt wurde. Mit unserer Stelle vgl. Ver. hist. 2, 17: εἶδον δὲ καὶ Σωκράτην ἀδολεσχοῦντα μετὰ Νέστορος καὶ Παλαμήδους. Wahrscheinlich eine Anspielung auf die Worte des Sokrates bei Plat. apol. p. 41 A. — ἐβουλόμην, wünschte ich. Vitar. auct. 17: ἓν ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων. u. s. — φαλακρόν. Bekanntlich war Sokrates kahlköpfig und stumpfna-

ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα.

ΑΙΑΚ. Τὸν σιμὸν λέγω.

ΜΕΝ. Καὶ τοῦτο ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; 5

ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ τά γε σχήματα αὐτὰ καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι.

ΣΩΚ. Μάλα πολλοὺς ἑώρακα.

ΜΕΝ. Ἀλλὰ ἑώρακας, οἶμαι, οἷος ἧκε παρὰ σοὶ Ἀρίστιππος καὶ Πλάτων αὐτός, ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών.

ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν;

ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες γοῦν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι καὶ πάντα ἐγνωκέναι, καὶ ταῦτα — δεῖ γάρ, οἶμαι, τἀληθῆ λέγειν — οὐδὲν εἰδότα.

sig. — *καὶ τοῦτο*, näml. *τὸ σιμὸν εἶναι*.

5. *καὶ μάλα*, ja wohl, häufig in der Antwort; vgl. 23, 2. — *τί τὰ ἐν Ἀθήναις*; wie steht's in Athen? Kr. Gr. §. 61, 8, 2. — *αὐτά*, allein. Uebrigens meint Menippos hiermit diejenigen Philosophen, welche, wie die jüngeren Stoïker, Peripatetiker, Kyrenaïker u. a., das Wesen der Philosophie in die Nachäffung der Aelteren setzten. — *Ἀλλὰ ἑώρακας κτἑ.* Menippos begründet seine Behauptung und sagt zu Sokrates: man darf sich aber über diese Leute nicht wundern, die Alles mit der Nachahmung abgethan glauben; denn du hast ja gesehen, wie es die Stifter dieser Philosophenschulen selbst schon machten. — *παρὰ σοί.* So steht *παρά* mit Verben der Bewegung bisweilen, aber selten, bei Späteren, mit dem Dativ. verbunden, um gleichsam das Ergebniss der Bewegung anzuzeigen: wie bei dir ankam. Amor. 9: *ἄμφω καλῶς ἔχον ἐστὶν ὑμᾶς παρ' ἐμοὶ φοιτᾶν.* Asin. 2: *θαρρῶν πέμπει παρ' ἐμοὶ τοὺς ἑταίρους.* (Indessen zweifeln wir an unserer Stelle an der Richtigkeit der überlieferten Lesart.) — *Ἀρίστιππος.* Dieser war der Schüler des Sokrates und Stifter der kyrenaischen Schule, welche als höchsten Zweck des Lebens das Vergnügen und Wohlleben hinstellte; daher hier *ἀποπνέων μύρου.* Cicer. de offic. 3, 33: *ab Aristippo Cyrenaici atque Annicerii philosophi nominati omne bonum in voluptate posuerunt.* — *μύρου*, Kr. Gr. §. 47, 10, 14. Vit. auct. 12 ebenfalls von Aristippos: *ὅσον ἀποπνεῖ μύρων.* — *τοὺς ἐν Σικ. τυρ. θερ.* Dass Platon bei seiner Anwesenheit auf Sicilien den Tyrannen von Syrakus den Hof gemacht habe, wie es hier heisst, ist in der Wahrheit nicht begründet. — *φρονοῦσιν*, näml. die Leute. Kr. Gr. §. 61, 4, 7. — *καὶ ταῦτα .. οὐδὲν εἰδότα.* Cic. Academ. 1, 4, 16: *Socrates in omnibus fere sermonibus . . ita disputat, ut nihil affirmet ipse, refellat alios, nihil se scire dicat, nisi id ipsum, eoque praestare ce-*

ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς, οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι.

6 ΜΕΝ. Τίνες δέ εἰσιν οὗτοι οἱ περὶ σέ;

ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος καὶ ὁ τοῦ Κλεινίου.

ΜΕΝ. Εὖ γε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν.

ΣΩΚ. Τί γὰρ ἂν ἄλλο [ἥδιον] πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ.

ΜΕΝ. Μὰ Δί', ἐπεὶ παρὰ τὸν Κροῖσον καὶ τὸν Σαρδανάπαλλον ἄπειμι πλησίον οἰκήσων αὐτῶν· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι οἰμωζόντων ἀκούων.

ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ λοιπὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε.

ΜΕΝ. Ἄπιθι· καὶ ταυτὶ γὰρ ἱκανά, ὦ Αἰακέ.

21.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΚΕΡΒΕΡΟΥ.

1 ΜΕΝ. Ὦ Κέρβερε — συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν — εἰπέ μοι πρὸς τῆς Στυγός, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατῄει παρ' ὑμᾶς· εἰκὸς δέ σε θεὸν ὄντα μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπίνως φθέγγεσθαι, ὁπότ' ἐθέλοις.

teris, quod illi, quae nesciant, scire se putent, ipse se nihil scire id unum sciat.

6. οὗτοι οἱ περὶ σέ, diese um dich herum. Die hier Erwähnten sind bekannte Schüler des Sokrates. — ὁ τοῦ Κλεινίου, d. i. Alkibiades. — εὖ γε . . ὅτι. Wir ebenso: schön oder prächtig, dass du. Toxar. 35: εὖ γε, ὦ Μνήσιππε, ὅτι καὶ παροτρύνεις με πρὸς τὸν λόγον. Unten Gespr. 29, 2. u. ö. Kr. Gr. §. 62, 3, 4. — τί γὰρ ἂν κτἑ. So ist es; denn u. s. w. — μά Δί', näml. οὐ κατακείσομαι. Aristoph. thesm. 748: ἀπόδος αὐτό. Μν. μὰ τὸν Ἀπόλλω τουτονί. Aehnlich Gall. 29. — ἔοικα .. γελάσεσθαι, ich denke, dass ich lachen werde. Char. 6: ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι. Lexiphan. 19: ἔοικα δὲ καὶ ῥιναυλήσειν τοιαῦτα ἐπιτιμῶντος ἀκούων. u. ö. Ebenso steht der Infinitiv. Futur. bei δοκῶ μοι, s. zu II, 34. — μὴ καί, damit nicht noch. Gespr. 27 z. E. Vit. auct. 22: ἀνάσωσαί μοι τὸ παιδίον, μὴ καὶ φθάσῃ αὐτὸ καταπιών. Toxar. 50: μὴ σύ γε ἐνταῦθα, μὴ καί τις κτἑ. Iup. trag. 24. Dial. deor. 21, 2. 24, 2. u. ö.

1. γάρ. Der Satz mit γάρ steht parenthetisch dem folgenden, den er begründet, voran; s. zu IV, 10. — πρὸς τῆς Στυγός. Jener bekannte Fluss der Unterwelt, bei dem die homerischen Götter den furchtbarsten und heiligsten Eid schwören. — ὁπότ' ἐθέλοις, so oft du Lust hast. Der Optativ nach ὁπότε, dient hier zur Bezeichnung einer wiederholten Handlung in der Gegenwart oder Zukunft, während er bei den Attikern so nur von einer vergangenen gebraucht wird. Wie hier Dial. deor. 5 z. E. und Iup. trag.

ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα.

ΑΙΑΚ. Τὸν σιμὸν λέγω.

ΜΕΝ. Καὶ τοῦτο ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; 5

ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ τά γε σχήματα αὐτὰ καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι.

ΣΩΚ. Μάλα πολλοὺς ἑώρακα.

ΜΕΝ. Ἀλλὰ ἑώρακας, οἶμαι, οἷος ἧκε παρὰ σοὶ Ἀρίστιππος καὶ Πλάτων αὐτός, ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών.

ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν;

ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες γοῦν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι καὶ πάντα ἐγνωκέναι, καὶ ταῦτα — δεῖ γάρ, οἶμαι, τἀληθῆ λέγειν — οὐδὲν εἰδότα.

sig. — *καὶ τοῦτο*, näml. *τὸ σιμὸν εἶναι*.
5. *καὶ μάλα*, ja wohl, häufig in der Antwort; vgl. 23, 2. — *τί τὰ ἐν Ἀθήναις*; wie steht's in Athen? Kr. Gr. §. 61, 8, 2. — *αὐτά*, allein. Uebrigens meint Menippos hiermit diejenigen Philosophen, welche, wie die jüngeren Stoïker, Peripatetiker, Kyrenaïker u. a., das Wesen der Philosophie in die Nachäffung der Aelteren setzten. — *Ἀλλὰ ἑώρακας κτέ.* Menippos begründet seine Behauptung und sagt zu Sokrates: man darf sich aber über diese Leute nicht wundern, die Alles mit der Nachahmung abgethan glauben; denn du hast ja gesehen, wie es die Stifter dieser Philosophenschulen selbst schon machten. — *παρὰ σοί.* So steht *παρά* mit Verben der Bewegung bisweilen, aber selten, bei Späteren, mit dem Dativ. verbunden, um gleichsam das Ergebniss der Bewegung anzuzeigen: wie bei dir ankam. Amor. 9: *ἄμφω καλῶς ἔχον ἐστὶν ὑμᾶς παρ' ἐμοὶ φοιτᾶν.* Asin. 2: *θαρρῶν πέμπει παρ' ἐμοὶ τοὺς ἑταίρους.* (Indessen zweifeln wir an unserer Stelle an der Richtigkeit der überlieferten Lesart.) — *Ἀρίστιππος.* Dieser war der Schüler des Sokrates und Stifter der kyrenaischen Schule, welche als höchsten Zweck des Lebens das Vergnügen und Wohlleben hinstellte; daher hier *ἀποπνέων μύρου.* Cicer. de offic. 3, 33: *ab Aristippo Cyrenaici atque Annicerii philosophi nominati omne bonum in voluptate posuerunt.* — *μύρου*, Kr. Gr. §. 47, 10, 14. Vit. auct. 12 ebenfalls von Aristippos: *ὅσον ἀποπνεῖ μύρων.* — *τοὺς ἐν Σικ. τυρ. θερ.* Dass Platon bei seiner Anwesenheit auf Sicilien den Tyrannen von Syrakus den Hof gemacht habe, wie es hier heisst, ist in der Wahrheit nicht begründet. — *φρονοῦσιν*, näml. die Leute. Kr. Gr. §. 61, 4, 7. — *καὶ ταῦτα .. οὐδὲν εἰδότα.* Cic. Academ. 1, 4, 16: *Socrates in omnibus fere sermonibus . . ita disputat, ut nihil affirmet ipse, refellat alios, nihil se scire dicat, nisi id ipsum, eoque praestare ce-*

μενοι, ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

22.

ΧΑΡΩΝΟΣ ΚΑΙ ΜΕΝΙΠΠΟΥ.

1 ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα.

ΜΕΝ. Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.

ΧΑΡ. Ἀπόδος, φημί, ἀνθ' ὧν σε διεπορθμεύσαμεν.

ΜΕΝ. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;

ΜΕΝ. Εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα, ἐγὼ δ' οὐκ ἔχω.

ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.

ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον.

ΧΑΡ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν.

ΜΕΝ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ [σοι] ἀποδότω, ὅς με παρέδωκέ σοι.

2 ΕΡΜ. Νὴ Δί' ὠνάμην γε, εἰ μέλλω καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.

ΧΑΡ. Οὐκ ἀποστήσομαί σου.

ΜΕΝ. Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε. πλὴν ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις;

ΧΑΡ. Σὺ δ' οὐκ ᾔδεις ὡς κομίζεσθαι δέον;

---

dass er den Athem an sich hielt. — *ἐθελούσιοι*, Kr. Gr. §. 57, 5, 2.

1. *εἰ τοῦτό σοι ἥδιον*, wir: wenn dir das Spass macht. Keineswegs aber steht der Comparat. statt des Positiv., sondern man denke sich zur Erklärung einen Satz mit „als" hinzu; vgl. Kr. Gr. §. 49, 6. — *ἀπόδος, φημί*. So steht oft *φημί* nach dem Imperativ., um diesem einen gehörigen Nachdruck zu geben. Dial. deor. 9, 1: *μὴ ἐνόχλει, φημί*. 13, 2: *παύσασθε, φημί*, u. ö. — *ἀνθ' ὧν*, dafür dass. Die Bedeutung des Plural. ist in dieser und ähnlichen Formeln oft ganz verwischt. Piscat. 7: *τοιαῦτα παρὰ σοῦ ἀπειλήφαμεν ἀνθ' ὧν σοι τὸν λειμῶνα ἐκεῖνον ἀναπετάσαντες οὐκ ἐκωλύσαμεν δρέπεσθαι*. Gespr. 29, 1. Dial. deor. 1, 1. Kr. Gr. §. 51, 10, 4. — *οὐκ ἂν λάβοις*, s. oben zu 2, 1. — *σου* verbinde mit *τὸ κρανίον*. Dial. deor. 7, 1. *καὶ τούτου γὰρ ἐξείλκυσε λαθὼν ἐκ τοῦ κολεοῦ τὸ ξίφος*. Die Entfernung des Genet. von dem ihn regierenden Worte ist nicht selten. — *ἔσῃ πεπλευκώς*. Kr. Gr. §. 53, 9, 1. Der Sinn der Worte ist: du wirst vergeblich eine so lange Fahrt gemacht haben, da du, wenn du mir den Obolos nicht gibst, auf die Oberwelt zurückkehren musst.

2. *νὴ Δί' ὠνάμην γε*, beim Zeus, da machte ich doch einen Schlag. Ueber die Form *ὠνάμην* s. zu IV, 24. — *τούτου γε ἕνεκα*, was das betrifft; s. zu II, 55. Ebenso Nigr. 10. — *ᾔδεις*. Dieselbe Form Dial. deor. 14, 2. 25, 1. Gall. 20. Diss. c. Hes. 9.

ΚΕΡΒ. Πόρρωθεν μέν, ὦ Μένιππε, [παντάπασιν] ἐδόκει ἀτρέπτῳ τῷ προσώπῳ προσιέναι [καὶ] οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν καὶ τοῦτο ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων, ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ κατέσπασα τοῦ ποδός, ὥσπερ τὰ βρέφη ἐκώκυε καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο καὶ παντοῖος ἐγίνετο.

ΜΕΝ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; 2

ΚΕΡΒ. Οὔκ, ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο ὡς δῆθεν οὐκ ἄκων πεισόμενος ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσονται οἱ θεαταί. καὶ ὅλως περὶ πάντων γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στομίου τολμηροὶ καὶ ἀνδρεῖοι, τὰ δὲ ἔνδοθεν ἔλεγχος ἀκριβής.

ΜΕΝ. Ἐγὼ δὲ πῶς σοι κατεληλυθέναι ἔδοξα;

ΚΕΡΒ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσῄειτε μηδ' ὠθούμενοι.

27. — ἀτρέπτῳ. Prädicativer Gebrauch des Adjectivs; Kr. Gr. §. 50, 11, 1. Uebrigens vgl. mit unserer Stelle Ver. hist. 2, 23. — τῷ κωνείῳ verbinde mit διαμέλλοντα, d. i. da er des Schierlings wegen zauderte od. zu lange machte. — τοῦ ποδός, am od. beim Fusse. Antiphan. com. fr. 86 Mein.: τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων. Catapl. 13: σύρετ' αὐτὸν εἴσω τοῦ ποδός. Kr. Gr. §. 47, 12. — τὰ ἑαυτοῦ παιδία. Sokrates hatte bei seinem Tode einen erwachsenen Sohn, Lamprokles, von der Myrto, und zwei noch kleine, Sophroniskos und Menexenos, von der Xanthippe. — παντοῖος ἐγίνετο, nahm alle möglichen Gestalten an, d. i. war ganz ausser sich, wusste nicht was er machen sollte. Nigr. 4: οὐδὲ εἶχον εἰκάσαι ὅπερ ἐπεπόνθειν, ἀλλὰ παντοῖος ἐγιγνόμην. Pro laps. in sal. 1: παντοῖος ἦν ὑπ' ἀπορίας. Dial. deor. 21, 2: παντοῖος ἦν δεδιώς. Auch von der Freude, Demon. 6: παντοῖοι ὑπ' εὐφροσύνης γενόμενοι. Nicht so bei Attikern. Ebenso παντοδαπὸς γίγνομαι.

2. τοῦ πράγματος, den Tod. — Οὔκ, näml. ἀληθῶς — κατεθρασύνετο, spielte den Muthvollen. Spätes Wort. — ὡς δῆθεν, als ob er, aus der Vorstellung des Sokrates. Kr. Gr. §. 56, 12, 2. δῆθεν häufig so ironisch. Alexand. 15. 47. De hist. conscr. 10 u. s. — ὡς θαυμάσονται. Ebenso steht ὡς als Finalpartikel mit dem Indicativ. des Fut. Vitar. auct. 1. Iup. trag. 27 z. E. — περὶ πάντων τῶν τοιούτων, von allen Leuten solchen Schlages. — ἀνδρεῖοι, näml. εἰσί. — τὰ δ' ἔνδοθεν ἔλεγχος ἀκριβής, das Innere aber ist eine deutliche Widerlegung, d. i. sind sie aber drinnen, so zeigen sie, wie feig sie sind. — τοῦ γένους, näml. τοῦ κυνικοῦ. Ueber die Todesart des Menippos s. zu 10, 11. — Διογένης. Ueber dessen Tod gibt es verschiedene Nachrichten; eine, die Lucian hier jedenfalls meint, geht dahin, dass er sich selbst getödtet haben soll, und zwar in der Weise,

ΠΡΩΤ. Εἰμὶ μὲν Πρωτεσίλεως ὁ Ἰφίκλου, Φυλάκιος, συστρατιώτης τῶν Ἀχαιῶν καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἰλίῳ, δέομαι δὲ ἀφεθεὶς πρὸς ὀλίγον ἀναβιῶναι πάλιν.

ΠΛΟΥΤ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι, πλὴν οὐδεὶς ἂν αὐτῶν τύχοι.

ΠΡΩΤ. Ἀλλ' οὐ τοῦ ζῆν, Ἀϊδωνεῦ, ἐρῶ ἔγωγε, τῆς γυναικὸς δέ, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν ᾠχόμην ἀποπλέων· εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος. ὁ οὖν ἔρως τῆς γυναικὸς οὐ μετρίως ἀποκναίει με, ὦ δέσποτα, καὶ βούλομαι κἂν πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ καταβῆναι πάλιν.

2 ΠΛΟΥΤ. Οὐκ ἔπιες, ὦ Πρωτεσίλαε, τὸ Λήθης ὕδωρ;

ΠΡΩΤ. Καὶ μάλα, ὦ δέσποτα· τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν.

ΠΛΟΥΤ. Οὐκοῦν περίμεινον· ἀφίξεται γὰρ κἀκείνη ποτέ, καὶ οὐδέν σε ἀνελθεῖν δεήσει.

ΠΡΩΤ. Ἀλλ' οὐ φέρω τὴν διατριβήν, ὦ Πλούτων· ἠράσθης δὲ καὶ αὐτὸς ἤδη, καὶ οἶσθα οἷον τὸ ἐρᾶν ἐστιν.

ΠΛΟΥΤ. Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι, μετ' ὀλίγον τὰ αὐτὰ ὀδυρούμενον;

ΠΡΩΤ. Οἶμαι πείσειν κἀκείνην ἀκολουθεῖν παρ' ὑμᾶς, ὥστε ἀνθ' ἑνὸς δύο νεκροὺς λήψῃ μετ' ὀλίγον.

ΠΛΟΥΤ. Οὐ θέμις γενέσθαι ταῦτα, οὐδὲ γέγονε πώποτε.

3 ΠΡΩΤ. Ἀναμνήσω σε, ὦ Πλούτων· Ὀρφεῖ γὰρ δι' αὐτὴν

in der Unterwelt das ist, was Zeus in der Oberwelt; auch bei Homer. Il. 9, 457. *Ζεὺς καταχθόνιος* und Iuppiter Stygius bei Vergil. Aen. 4, 638. genannt. — *σὺ δέ.* So steht *δέ* oft in der Frage, namentlich nach Personalpron., mit Nachdruck, und zwar elliptisch. Vollständig würde es heissen: wir werden zwar oft um etwas gebeten, was verlangst du aber von uns? Ebenso nach *ἐγώ* Iup. trag. 24. — *πρὸν ὀλίγον*, s. zu IV, 4. — *ἀναβιῶναι πάλιν.* Protesilaos bat aus Verlangen nach seiner Gattin Laodameia (s. oben zu 19) den Pluton um die Erlaubniss, auf kurze Zeit zu ihr in's Leben zurückkehren zu dürfen, und diese Bitte wurde ihm gewährt. S. zu IV, 1. — *τοῦτον τὸν ἔρ. ἐρῶσι*, s. zu IV, 11. — *αὐτῶν*, zu beziehen ganz allgemein auf *τοῦτον τὸν ἔρωτα* und was damit zusammenhängt. Dial. deor. 2 extr.: *ἐρᾶν μέν (θέλω), ἀπραγμονέστερον δ' αὐτῶν ἐπιτυγχάνειν.* — *ὑπὸ τοῦ Ἕκτορος.* Ovid. Metam. 12, 67: *Hectorea primus fataliter hasta, Protesilae, cadis.* — *κἂν πρὸς ὀλ.*, wenn auch nur auf kurze Zeit. Nigr. 23: *εἰ δέ γε κἂν πρὸς ὀλίγον ἀπέσχοντο* u. ö. Gall. 16. Vgl. unser Wörterb. unter *κἄν* 2)b). — *αὐτῇ*, s. zu III, 6.

2. *τὸ πρᾶγμα*, d. i. die Liebe zur Laodameia. — *οὐκοῦν*, d. i. also, da das Wasser der Lethe dir deine übermässige Liebe zur Gattin nicht in Vergessenheit gebracht hat u. s. w.

3. *δι' αὐτὴν ταύτην τὴν αἰτίαν*,

ταύτην τὴν αἰτίαν τὴν Εὐρυδίκην παρέδοτε καὶ τὴν ὁμογενῆ μου Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι.

ΠΛΟΥΤ. *Θελήσεις δὲ οὕτω κρανίον γυμνὸν ὢν καὶ ἄμορφον τῇ καλῇ σου ἐκείνῃ νύμφῃ φανῆναι; πῶς δὲ κἀκείνη προσήσεταί σε, οὐδὲ δυναμένη διαγνῶναι; φοβήσεται γάρ, εὖ οἶδα, καὶ φεύξεταί σε, καὶ μάτην ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς.*

ΠΕΡΣ. *Οὐκοῦν, ὦ ἄνερ, σὺ καὶ τοῦτο ἴασαι καὶ τὸν Ἑρμῆν κέλευσον, ἐπειδὰν ἐν τῷ φωτὶ ἤδη ὁ Πρωτεσίλαος ᾖ, καθικόμενον τῇ ῥάβδῳ νεανίαν εὐθὺς καλὸν ἀπεργάσασθαι αὐτόν, οἷος ἦν ἐκ τοῦ παστοῦ.*

ΠΛΟΥΤ. *Ἐπεὶ Φερσεφόνῃ συνδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις ποίησον νυμφίον· σὺ δὲ μέμνησο μίαν λαβὼν ἡμέραν.*

24.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΜΑΥΣΩΛΟΥ.

ΔΙΟΓ. *Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς καὶ πάντων ἡμῶν* 1 *προτιμᾶσθαι ἀξιοῖς;*

ΜΑΥΣ. *Καὶ ἐπὶ τῇ βασιλείᾳ μέν, ὦ Σινωπεῦ, ὃς ἐβασί-*

aus eben diesem Grunde. — *τὴν Εὐρυδίκην*. Orpheus, ein Sohn des Flussgottes Oeagros und der Muse Kalliope, stieg, um seine Gattin Eurydike, welche an einem Schlangenbiss gestorben war, wieder zu erlangen, in die Unterwelt hinab und rührte hier durch sein Spiel und seinen Gesang die unterirdischen Götter so sehr, dass sie ihm, seine Gattin auf die Oberwelt zurückzuführen, gestatteten, jedoch nur unter der Bedingung, dass er sich nicht nach ihr umsehe. Gleichwohl sah er aus Sehnsucht zurück, und Eurydike verschwand. Ovid. Metam. 10 z. A. Vergil. Georg. 4, 434 ff. — *τὴν ὁμογενῆ μου Ἄλκηστιν*. Diese, die Gemahlin des Admetos, Königs von Pherä, starb für denselben, wurde aber von Herakles aus der Unterwelt wieder heraufgeholt. *ὁμογενῆ* nennt sie Protesil., weil sie Urenkelin des Aeolos und er Grossurenkel dieses Gottes war. Sonst wird *ὁμογενής* gewöhnlich mit dem Dativ. verbunden. — *εὖ οἶδα* parenthetisch eingeschoben, wie *εὖ οἶδ' ὅτι* (s. zu I, 18.). — *τῇ ῥάβδῳ*. Die Zauberkraft des Stabes des Hermes ist bekannt. — *οἷος ἦν ἐκ τοῦ παστοῦ* = *οἷος ἦν, ὅτε ἐκ τοῦ παστοῦ ἐξῄει*.

Mausolos war König, oder richtiger persischer Satrap von Karien unter der Regierung des Artaxerxes Mnemon, und behauptete seine fast unabhängige Herrschaft 24 Jahre bis Ol. 106, 4 (377—353 v. Chr.). Ihm errichtete seine Gemahlin und Schwester Artemisia jenes prachtvolle Grabmal zu Halikarnassos, seiner Residenz, welches unter die sieben Wunderwerke der alten Welt gezählt wurde.

1. *καὶ ἐπὶ τῇ βασιλείᾳ μέν*, näml. *μέγα φρονῶ*. Die Rede ist, wie im Gesprächston nicht selten, anakoluthisch. Dem Anfang entsprechend sollte es im Folgenden für *καὶ καλὸς ἦν καὶ μέγας κτέ.* heissen: *καὶ ἐπὶ τῷ κάλλει καὶ μεγέθει*, oder wenigstens *καὶ ὅτι καλὸς ἦν κτέ.* — *Σινωπεῦ*. Aus Sinope, einer Stadt Paphlagoniens,

λευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων, καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν καὶ μέγας καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν;

2 *ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῄς καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου;*

ΜΑΥΣ. Νὴ Δί' ἐπὶ τούτοις.

ΔΙΟΓ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἐκείνη ἔτι σοι οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν, τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω καὶ γυμνά, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. ὁ δὲ τάφος καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἂν ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι· σὺ δέ, ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ

war Diogenes gebürtig. — *νήσους*, Rhodos, Chios, Kos. — *τὰ πολλὰ τῆς Ἰωνίας*, den grössten Theil von Ionien. — *τὸ δὲ μέγιστον, ὅτι*, s. oben zu 5, 1. — *παμμέγεθες*. Das Mausoleum bestand aus einem viereckigen, mit 36 Säulen umgebenen Unterbau, der im ganzen Umfang 411 Fuss hatte und 25 Ellen hoch war. Darauf erhob sich ein Aufsatz von derselben Höhe, der sich in 24 Stufen zu einer Pyramide zuspitzte, auf deren Spitze eine Quadriga aus Marmor von der Hand des Pythis stand. — *ἀλλ' οὐδέ*, ja nicht einmal. De conscr. hist. 33: *ὃ οὐδεὶς ἄν, ἀλλ' οὐδ' ὁ Μῶμος μωμήσασθαι δύναιτο*. Nigr. 26. Dial. deor. 13, 2. Pro merc. cond. 3. Icarom. 6. Calumn. non tem. cred. 3. Auch ohne vorhergehende Negation, De merc. cond. 7. Hermot. 2. 7. Ebenso *ἀλλὰ καί*, ja sogar. — *ἐς κάλλος ἐξησκημένον*, nach den Regeln der Schönheit gearbeitet. — *λίθου τοῦ καλλίστου*, aus dem schönsten Marmor. Bei den Attikern selten. Iup. trag. 10: *Ἀφροδίτη λίθου τοῦ λευκοῦ λιθοτομηθεῖσα*. Nigr. 2: *σφαῖρα καλάμου πεποιημένη*. Toxar. 15. Ver. hist. 1, 7. 2, 11. Philopseud. 17. 19. u. s. Kr. Gr. II. §. 47, 8, 3. Mit *ἐκ*, Gall. 24: *Ζεὺς ἐκ χρυσίου συνειργασμένος*. Ver. hist. 2, 33: *πύλη ἐκ κεράμου πεποιημένη*. u. s.; mit *ἀπό*, Asin. 53: *κλίνη ἀπὸ χελώνης Ἰνδικῆς πεποιημένη*.

2. *τῷ κάλλει*. Worauf zu beziehen? — *τοὺς ὀφθαλμούς*, s. zu II, 18. — *εἶεν* = *ἱκανοὶ* od. *οἷοί τε εἶεν*, mögen den Hal. dazu dienen, um u. s. w. — *οἱ πολυτελεῖς ἐκ. λίθοι*, s. zu II, 6. — *δή τι*. *δή* beim Indefinitum dient zur Steigerung der Unbestimmtheit, *δή τις*, *nescio quis*. Hermotim. 1: *ἐρώτημά δή τι τῶν ἀγκύλων*. u. ö.

τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος.

ΜΑΥΣ. Ἀνόητα οὖν μοι ἐκεῖνα πάντα, καὶ ἰσότιμος ἔσται Μαύσωλος καὶ Διογένης; 3

ΔΙΟΓ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε, οὐ γάρ· Μαύσωλος μὲν γὰρ οἰμώξεται μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο, Διογένης δὲ καταγελάσεται αὐτοῦ. καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον, ὁ Διογένης δὲ τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκώς, ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τοῦ σοῦ μνήματος καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

25.

ΝΙΡΕΩΣ ΚΑΙ ΘΕΡΣΙΤΟΥ ΚΑΙ ΜΕΝΙΠΠΟΥ.

ΝΙΡ. Ἰδοὺ δή, Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; 1

ΜΕΝ. Τίνες δὲ καὶ ἔστε; πρότερον, οἶμαι, χρὴ γὰρ τοῦτο εἰδέναι.

ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης.

ΜΕΝ. Πότερος οὖν ὁ Νιρεὺς καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον.

ΘΕΡΣ. Ἓν μὲν ἤδη τοῦτο ἔχω, ὅτι ὅμοιός εἰμί σοι καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότερον προσειπών, ἀλλ' ὁ

— πλὴν εἰ μή, s. oben zu 16, 4.
3. καὶ Διογένης. Man könnte statt dessen Διογένει erwarten. (Sprechen wir nicht im Deutschen in gleicher Weise?) — οὐ γάρ, s. zu 20, 3. — εἰ καί, ob auch, ob überhaupt. Nach Pausan. 2, 2, 4. befand sich sein Grab bei Korinthos. — οὐδὲ γὰρ ἔμ. αὐτῷ τούτου, denn er kümmerte sich auch nicht od. nicht einmal darum; s. zu III, 15.

1. Ueber Nireus s. oben zu 18, 1. Thersites war, wie bekannt, der hässlichste unter den Griechen vor Troja. — τίνες δὲ καὶ ἔστε; wer seid ihr aber eigentlich od. in aller Welt? Dial. deor. 22,1: τίνα δὲ καὶ φῄς σου μητέρα; u. s. — γάρ, s. zu 3,2. — ὁ τυφλός. Die bekannte Sage von der Blindheit des Homeros lässt Lucian hier absichtlich den Thersites zu seiner Vertheidigung benutzen; vgl. Ver. hist. 2, 20. Gall. 6. Cic. Tuscul. 5,39,114: *traditum est etiam Homerum caecum fuisse.* — ὁ φοξὸς ἐγὼ καὶ ψεδνός. Homer. Il, 2,219: φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπε-

φοξὸς ἐγὼ καὶ ψεδνὸς οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα δὲ σύ, ὦ Μένιππε, ὅντινα καὶ εὐμορφότερον ἡγῇ.

ΝΙΡ. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος,
ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

2 ΜΕΝ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες, ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ μόνον ἄρα διακρίνοιτ' ἂν ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις.

ΝΙΡ. Καὶ μὴν ἐροῦ Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

ΜΕΝ. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω ἃ καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν.

ΝΙΡ. Οὔκουν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

ΜΕΝ. Οὔτε σὺ οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν Ἅιδου καὶ ὅμοιοι ἅπαντες.

ΘΕΡΣ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

26.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΧΕΙΡΩΝΟΣ.

1 ΜΕΝ. Ἤκουσα, ὦ Χείρων, ὡς θεὸς ὢν ἐπιθυμήσειας ἀποθανεῖν.

ΧΕΙΡ. Ἀληθῆ ταῦτα ἤκουσας, ὦ Μένιππε, καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος.

ΜΕΝ. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀνεράστου τοῖς πολλοῖς χρήματος;

ΧΕΙΡ. Ἐρῶ πρὸς σὲ οὐκ ἀσύνετον ὄντα. οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας.

νήνοθε λάχνη. — Χάροπος. Il. 2, 672: Νιρεὺς Ἀγλαΐης υἱὸς Χαρόποιό τ' ἄνακτος. (Deswegen aber muss es hier noch nicht Χαρόπου heissen.)

2. ἄρα, sichtlich; Kr. Gr. §. 69, 8. — ὀνείρατα, wie das latein. *somnia*.—καὶ νῦν, auch od noch jetzt. — ἐκεῖνα, d. i. deine frühere Gestalt. — οἱ τότε, die damals Lebenden.— Οὔκουν κτέ., also ich bin hier nicht u. s. w.

1. θεὸς ὤν, obschon ein Gott. Cheiron nämlich, als Sohn des Kronos und der Philyra, einer Tochter des Okeanos, war göttlicher und unsterblicher Natur. Von Herakles mit einem vergifteten Pfeile verwundet wünschte er von Schmerzen gepeinigt zu sterben; allein seiner unsterblichen Natur wegen konnte er das nicht. Endlich kam Zeus seinem Wunsche nach und trug seine Unsterblichkeit auf den Prometheus über. Vgl. Ovid Metam. 2,

ΜΕΝ. Οὐχ ἡδὺ ἦν ζῶντα ὁρᾶν τὸ φῶς;

ΧΕΙΡ. Οὔκ, ὦ Μένιππε· τὸ γὰρ ἡδὺ ἔγωγε ποικίλον τι καὶ οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ δ' ἔζων ἀεὶ καὶ ἀπέλαυον τῶν ὁμοίων, ἡλίου, φωτός, τροφῆς, αἵ ὧραι δὲ αἵ αὐταὶ καὶ τὰ γινόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θάτερον θατέρῳ. ἐνεπλήσθην οὖν αὐτῶν· οὐ γὰρ ἐν τῷ ἀεί, ἀλλὰ καὶ ἐν τῷ μὴ μετασχεῖν ὅλως τὸ τερπνὸν ἦν.

ΜΕΝ. Εὖ λέγεις, ὦ Χείρων. τὰ ἐν Ἅιδου δὲ πῶς φέρεις, ἀφ' οὗ προελόμενος αὐτὰ ἥκεις;

ΧΕΙΡ. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσοτιμία πάνυ 2 δημοτικὴ καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει [τὸ] διάφορον, ἐν φωτὶ εἶναι ἢ καὶ ἐν σκότῳ· ἄλλως τε οὔτε διψῆν ὥσπερ ἄνω οὔτε πεινῆν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν.

ΜΕΝ. Ὅρα, ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος περιστῇ.

ΧΕΙΡ. Πῶς τοῦτο φής;

ΜΕΝ. Ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορές, καὶ τἀνταῦθα ὅμοια ὄντα προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν σε ζητεῖν τινα καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ, οἶμαι, ἀδύνατον.

ΧΕΙΡ. Τί οὖν ἂν πάθοι τις, ὦ Μένιππε;

ΜΕΝ. Ὅπερ, οἶμαι, φασί, συνετὸν ὄντα ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

27.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΝΤΙΣΘΕΝΟΥΣ ΚΑΙ ΚΡΑΤΗΤΟΣ.

ΔΙΟΓ. Ἀντίσθενες καὶ Κράτης, σχολὴν ἄγομεν· ὥστε 1 τί οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου περιπατήσαντες, ὀψόμενοι τοὺς κατιόντας, οἷοί τέ εἰσι καὶ τί ἕκαστος αὐτῶν ποιεῖ;

649 ff. — ζῶντα ὁρᾶν τὸ φῶς; d. i. zu leben und so das Sonnenlicht zu schauen. ζῶντα ist nicht überflüssig. — τὰ γινόμενα, d. i. die Erzeugnisse (der Jahreszeiten). — ἀκολουθοῦντα. Der Pluralis in Bezug auf das vorhergehende τὰ γινόμενα. — τὰ ἐν Ἅιδου, deine Lage im Hades. — ἀφ' οὗ, seitdem. Dial. mar. 15, 1. Oefter ἐξ οὗ.

2. τὸ πρᾶγμα, zu beziehen auf das Folg. ἐν φωτὶ κτἑ. — περιπίπτῃς σεαυτῷ, dich in deinen eigenen Worten verfängst, dir selbst widersprichst. Aehnlich Herodot. 1, 108. — ἐς τὸ αὐτό σοι περιστῇ, auf denselben Punkt umschlägt od. zurückkommt, hinausläuft. Eunuch. 5: τὸ τέλος τῆς δίκης ἐς τοῦτο περιέστη. Plat. de rep. 1 p. 343 A: ὁ λόγος περιειστήκει εἰς τοὐναντίον.

1. τί οὐκ ἄπιμεν, s. zu II, 31.

ΑΝΤ. Ἀπίωμεν, ὦ Διόγενες· καὶ γὰρ ἂν ἡδὺ τὸ θέαμα γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ καὶ ἱκετεύοντας ἀφεθῆναι, ἐνίους δὲ μόλις κατιόντας καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ ὅμως ἀντιβαίνοντας καὶ ὑπτίους ἀντερείδοντας οὐδὲν δέον.

ΚΡΑΤ. Ἔγωγ' οὖν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον, ὁπότε κατῄειν, κατὰ τὴν ὁδόν.

ΔΙΟΓ. Διήγησαι, ὦ Κράτης· ἔοικας γάρ τινα ἑωρακέναι παγγέλοια.

2 ΚΡΑΤ. Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν, ἐν αὐτοῖς δὲ ἐπίσημοι Ἰσμηνόδωρός τε ὁ πλούσιος ὁ ἡμέτερος καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος καὶ Ὀροίτης ὁ Ἀρμένιος. ὁ μὲν οὖν Ἰσμηνόδωρος — ἐπεφόνευτο γὰρ ὑπὸ τῶν λῃστῶν περὶ τὸν Κιθαιρῶνα, ἐς Ἐλευσῖνα, οἶμαι, βαδίζων — ἔστενέ τε καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε, καὶ τὰ παιδία, ἃ νεογνὰ κατελελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία πανέρημα ὄντα ὑπὸ τῶν πολέμων διοδεύων δύο μόνους οἰκέτας ἐπηγάγετο, καὶ ταῦτα φιάλας πέντε χρυσᾶς καὶ κυμβία

3 τέτταρα μεθ' ἑαυτοῦ ἔχων. ὁ δὲ Ἀρσάκης — γηραιὸς γὰρ

Hermotim. 13: ἀλλὰ σχολὴν γὰρ ἄγομεν .. τί οὐ διηγῇ μοι κτέ. — ἱκετεύοντας ἀφεθῆναι, dass man sie entlasse; Kr. Gr. §. 55, 3, 12. Catapl. 4: ἱκέτευε καὶ κατελιπάρει ἀφεθῆναι. Mit folg. ὡς, Anachars. 1: ἱκετεύων, ὡς μὴ τέλεον ἀποπνιγείη. — ὅμως, s. zu III, 17. Vgl. oben 5, 1. 12, 2. Vgl. mit dieser Stelle Catapl. 4. — οὐδὲν δέον, obschon es keineswegs so sein sollte, d. i. ohne dass es etwas hilft. Ebenso Prometh. 6. Hermotim. 50. Pro imagin. 13. Kr. Gr. §. 56, 9, 5. — κατὰ τὴν ὁδόν, auf dem Wege, unterwegs.

2. ὁ ἡμέτερος, unser Landsmann, nostras, s. v. a. ἡμεδαπός. Ismenodoros war also ein Thebäer. — ὑπὸ τῶν λῃστῶν, d. i. von den Räubern in jener Gegend. So steht häufig der Artikel, da von etwas Bestimmtem die Rede ist. — ἐς Ἐλευσῖνα. Der Weg von Thebä nach Eleusis führte über einen Theil des Kithäron, jenes Gebirges zwischen Böotien und Attika. — ταῖν χεροῖν, s. zu I, 6. ἐν ταῖν χεροῖν εἶχε, d. i. bedeckte mit den Händen. poet. b. Plut. mor. p. 513 E: ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει. — ἀνεκαλεῖτο, rief laut mit Namen. — ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης. Nur hier vorkommende Construction; bei Herodot. ἐπιμέμφεσθαί τινί τι, bei Sophokl. τινά τινος. — τὰς Ἐλευθεράς, Stadt am Fusse des Kithäron und an der Grenze von Attika und Boötien. — ὑπὸ τῶν πολέμων, in Folge der Kriege, wahrscheinlich von den Kriegen des Alexander (Thebens Zerstörung 335.) und seiner Nachfolger. — κυμβία, Trinkbecher von der einfachsten Gestalt ohne Henkel und Fuss.

3. Ἀρσάκης. Curtius 8, 3 erwähnt einen von Alexander eingesetzten Satrapen Mediens dieses Namens; einen anderen Arrian. als indischen Fürsten. Etwas Bestimmtes lässt sich hier nicht ermitteln. — γηραιὸς γὰρ κτέ. Diese Worte geben den Grund an von ἤχθετο καὶ ἠγ.

ἤδη καὶ νὴ Δί' οὐκ ἄσεμνος τὴν ὄψιν — ἐς τὸ βαρβαρικὸν ἤχθετο καὶ ἠγανάκτει πεζὸς βαδίζων καὶ ἠξίου τὸν ἵππον αὐτῷ προσαχθῆναι· καὶ γὰρ ὁ ἵππος αὐτῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος πελταστοῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ πρὸς τὸν Καππαδόκην συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προϋπεξορμήσας, ὑποστὰς δὲ ὁ Θρᾷξ τῇ πέλτῃ μὲν ὑποδὺς· ἀποσείεται τοῦ Ἀρσάκου τὸν κοντόν, ὑποθεὶς δὲ τὴν σάρισαν αὐτόν τε διαπείρει καὶ τὸν ἵππον.

ΑΝΤ. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι; 4

ΚΡΑΤ. Ῥᾷστ', ὦ Ἀντίσθενες· ὁ μὲν γὰρ ἐπήλαυνεν εἰκοσάπηχύν τινα προβεβλημένος κοντόν, ὁ Θρᾷξ δὲ ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολὴν καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκή, ἐς τὸ γόνυ ὀκλάσας δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον ὑπὸ θυμοῦ καὶ σφοδρότητος διαπείραντα ἑαυτόν· διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐκ τοῦ βουβῶνος διαμπὰξ ἄχρι ὑπὸ τὴν πυγήν. ὁρᾷς οἷόν τι ἐγένετο· οὐ τοῦ ἀνδρός, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον. ἠγανάκτει δ' ὅμως ὁμότιμος ὢν τῶν ἄλλων καὶ ἠξίου ἱππεὺς κατιέναι. ὁ δέ γε Ὀροίτης καὶ πάνυ ἁπαλὸς ἦν τὼ πόδε καὶ οὐδ' ἑστάναι χαμαί, οὐχ ὅπως βαδίζειν ἐδύνατο· πάσχουσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὰν ἀποβῶσι τῶν 5

πεζ. βαδ., und οὐκ ἄσεμνος τὴν ὄψ. von ἠξ. τὸν ἵππ. αὐτῷ προσαχθ. Die vornehmen Perser und Meder pflegten gewöhnlich zu Pferde zu erscheinen. — ἐς τὸ βαρβαρικόν, nach Barbarenart; s. zu II, 4. — βαδίζων, s. zu II, 9. Im Folg. ἠγανάκτει ὁμότιμος ὤν. — καὶ γάρ, denn auch; s. zu II, 51. — τῷ Ἀράξῃ, Fluss Armeniens, jetzt Aras. — τὸν Καππαδόκην, vielleicht von dem Eumenes zu verstehen, den Perdikkas zum Statthalter Kappadokiens und Paphlagoniens gemacht hatte. — τῇ πέλτῃ ὑποδύς, deckte sich mit seinem Schilde. — ἀποσείεται, synonym mit dem folg. ἀπεκρούσατο. — ὑποθείς, legte ein.

4. τὴν ἐπέλασιν, den Anritt. — ἐκ τοῦ βουβῶνος, von der Sch. an. — τὸ ἔργον, näml. ἦν. — ἠγανάκτει δ' ὅμως κτἑ. Diese Worte sind zu beziehen auf die vorhergehenden: καὶ γὰρ ὁ ἵππος αὐτῷ συνετεθνήκει. Obschon sein Pferd gefallen war, war er doch darüber unwillig, dass u. s. w. — ὁμότιμος τῶν ἄλλων. Ebenso ὁμότ. mit dem Genetiv. Demon. 46: ὁμότιμόν σαυτοῦ τὸν δοῦλον ἀποφαίνων. Kr. Gr. §. 48, 13, 12.

5. δέ γε, dagegen. — Ὀροίτης. Von diesem wissen wir ebenso wenig etwas. Oft kommt als Satrap Ὀρόντης bei den Geschichtschreibern vor. — οὐχ ὅπως, geschweige, s. zu III, 8. Kr. Gr. §. 67,14,3. — ἀτεχνῶς, s. zu II,1. — Μῆδοι πάντες. Darunter als Kollektivnamen sind auch die Armenier und alle zum persischen Reiche gehörende Völker zu verstehen. — ἐπάν. Unattisch für ἐπήν, aber bei Luc. mehrmals; vgl. Kr. Gr.

ἵππων· ὥσπερ ἐπὶ τῶν ἀκανθῶν βαίνοντες ἀκροποδητὶ μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν ἔκειτο καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀράμενος αὐτὸν ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον· ἐγὼ δὲ ἐγέλων.

6 *ΑΝΤ.* Ἐγὼ δὲ ὁπότε κατῄειν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτούς, προδραμὼν ἐπὶ τὸ πορθμεῖον προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι. καὶ παρὰ τὸν πλοῦν οἱ μὲν ἐδάκρυόν τε καὶ ἐναυτίων, ἐγὼ δὲ μάλα ἐτερπόμην ἐπ' αὐτοῖς.

7 *ΔΙΟΓ.* Σὺ μέν, ὦ Κράτης καὶ Ἀντίσθενες, τοιούτων ἐτύχετε τῶν συνοδοιπόρων, ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστικὸς ὁ ἐκ Πίσης καὶ Λάμπις ὁ Ἀκαρνὰν ξεναγὸς ὢν καὶ Δᾶμις ὁ πλούσιος ὁ ἐκ Κορίνθου συγκατῄεσαν, ὁ μὲν Δᾶμις ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανών, ὁ δὲ Λάμπις δι' ἔρωτα Μυρτίου τῆς ἑταίρας ἀποσφάξας ἑαυτόν, ὁ δὲ Βλεψίας λιμῷ ὁ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι, καὶ ἐδήλου δέ γε, ὠχρὸς ἐς ὑπερβολὴν καὶ λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δέ, καίπερ εἰδώς, ἀνέκρινον, ὃν τρόπον ἀποθάνοιεν. εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὸν υἱόν, Οὐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' αὐτοῦ, εἰ τάλαντα ἔχων ὁμοῦ χίλια καὶ τρυφῶν αὐτὸς ἐνενηκοντούτης ὢν ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. σὺ δέ, ὦ Ἀκαρνάν, — ἔστενε γὰρ κἀκεῖνος καὶ κατηρᾶτο τῇ Μυρτίῳ — τί αἰτιᾷ τὸν Ἔρωτα, σεαυτὸν δέον, ὃς τοὺς μὲν πολεμίους οὐδεπώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου πρὸ τῶν ἄλλων, ὑπὸ δὲ τοῦ τυχόντος παιδισκαρίου καὶ δακρύων ἐπιπλάστων καὶ στεναγμῶν ἑάλως ὁ γεν-

§. 69, 26. — ἐπὶ τῶν ἀκανθῶν. Deiktischer Gebrauch des Artikels; Kr. Gr. §. 50, 2, 1. — ἀκροποδητί. Spätes, nur bei Lucian vorkommendes Wort für das attische ἄκροις τοῖς ποσί.

6. ὡς ἂν .. πλεύσαιμι, s. oben zu 4, 2. — παρά, während. Gespr. 29, 1. — ἐτερπόμην ἐπ' αὐτοῖς. Gewöhnlich wird dieses Verbum nur mit dem Dativ. verbunden.

7. Σύ. Beachte den Singular., obschon zwei Personen angeredet werden und auch der Plural. folgt; Diogenes hatte erst nur den Krates im Sinne. — τοιούτων τῶν συνοδ., Kr. Gr. §. 50, 11, 1. 57, 3, 5. Ebenso im Folg. πολλὴν τὴν ἄνοιαν. — ὑπὸ τοῦ παιδός, s. zu II, 32. — ἐκ φαρμάκων, veneno. — ὁ ἄθλιος, der Unglückliche, der arme Teufel; s. zu IV, 17. Ebenso im Folg. ὁ γενναῖος und ὁ μάταιος. — καὶ ἐδήλου δέ γε, er zeigte es aber auch recht deutlich. — ὁμοῦ, ungefähr, fast. So oft bei Plutarch. — ὀκτωκαιδεκαέτει. Kr. Gr. §. 25, 3, 2. Dieselbe Form Toxar. 24. — σεαυτὸν δέον, näml. αἰτιᾶσθαι. — τοῦ τυχόντος, dem ersten besten. Im Folg. οὐ τὴν τυχοῦσαν τερπωλήν, d. i. kein gewöhnliches Vergnügen. Piscat. 17: οὐ γὰρ τοῖς τυχοῦσι θηρίοις προσπολεμῆσαι δεήσει σε, ἀλλὰ κτἑ. u. ö. Kr.

ναῖος. ὁ μὲν γὰρ Βλεψίας αὐτὸς ἑαυτοῦ κατηγόρει φθάσας πολλὴν τὴν ἄνοιαν, ὡς τὰ χρήματα ἐφύλαττε τοῖς οὐδὲν προσήκουσι κληρονόμοις, ἐς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. πλὴν ἔμοιγε οὐ τὴν τυχοῦσαν τερπωλὴν παρέσχοντο στένοντες. ἀλλ' ἤδη μὲν ἐπὶ τῷ στομίῳ ἐσμέν, ἀποβλέπειν δὲ χρὴ 8 καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαί, πολλοί γε καὶ ποικίλοι καὶ πάντες δακρύοντες πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γέροντες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον οὖν 9 τὸν ὑπέργηρων ἐρέσθαι βούλομαι. τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα γέρων ἀφιγμένος; ἦ που βασιλεὺς ἦσθα;

ΠΤΩΧΟΣ. Οὐδαμῶς.

ΔΙΟΓ. Ἀλλὰ σατράπης τις;

ΠΤΩ. Οὐδὲ τοῦτο.

ΔΙΟΓ. Ἆρα οὖν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι;

ΠΤΩ. Οὐδὲν τοιοῦτον, ἀλλ' ἔτη μὲν ἐγεγόνειν ἀμφὶ τὰ ἐνενήκοντα, βίον δὲ ἄπορον ἀπὸ καλάμου καὶ ὁρμιᾶς εἶχον, ἐς ὑπερβολὴν πτωχὸς ὢν ἄτεκνός τε καὶ προσέτι χωλὸς καὶ ἀμυδρὸν βλέπων.

Gr. §. 50, 4, 2. — *ὁ μὲν γὰρ Βλεψίας*. Was ist zur Erklärung von *γάρ* zu ergänzen? — *αὐτὸς ἑαυτοῦ*. *αὐτός* vor dem Reflexiv. schliesst nachdrucksvoller andere Subjecte von der Handlung aus. Kr. Gr. §. 51, 2, 12. Toxar. 41. Tyrannic. 18 u. ö. — *φθάσας*. Dial. meretr. 12, 2: *εἴθε μὴ αὐτὸς ἀποσταίη φθάσας*. Xenoph. Cyrop. 1, 5, 3: *εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσοι*. Ueber die Construct. v. *κατηγορεῖν* s. Kr. Gr. 47, 24, 1. — *παρέσχοντο*. Icaromenipp. 16: *ἔοικε γὰρ οὐ τὴν τυχοῦσαν τερπωλήν σοι παρεσχῆσθαι*. u. ö. Kr. Gr. §. 52, 8, 2. Jedoch auch im Activ., Gall. 6: *τοιοῦτον γάργαλον παρεῖχέ μοι τὰ ὁρώμενα. γέλωτα παρέχειν* ö.

8. *ἤδη μέν .. ἀποβλέπειν δὲ κτέ.* Aehnlich Lexiphan. 21: *ἀλλ' ἤδη μὲν καθαρὸς οὑτοσί.. σὺ δὲ τὸ μετὰ τοῦτο κτέ.* — *ἀλλὰ καί*. Wir: ja auch. — *οἱ πάνυ γέροντες*. Ebenso Halc. 3: *ὁ πάνυ γέρων*. — *τὸ φίλτρον .. τοῦ βίου*, der Zauber des Lebens, d. i. der Zauber, der mit dem Leben verbunden ist. — *αὐτούς*, näml. *τοὺς πάνυ γέροντας*.

9. *οὐδὲ τοῦτο*, *ne hoc quidem*, auch das nicht. Dial. deor. 9, 1. Parasit. 1. Cynic. 6. — *ἀμφὶ τὰ ἐνενήκοντα*. Der Artikel steht bei Cardinalzahlen, wo sie summarisch stehen, und wenn etwas mehr oder weniger nicht in Betracht kommt, besonders nach *ἀμφί, περί, εἰς, ὑπέρ*. Kr. Gr. §. 50, 2, 9. Philopseud. 11: *ἦν μὲν ἐγὼ μειράκιον ἔτι ἀμφὶ τὰ τέτταρα καὶ δέκα ἔτη σχεδόν*. u. ö. — *ἀπὸ καλάμου καὶ ὁρμιᾶς*. Ein armseliges Leben bezeichnen die Alten häufig mit dem Ausdruck Fischerleben. Ovid. Metamorph. 3, 586 f.: *pauper et ipse fuit, linoque solebat et hamis decipere et calamo salientes ducere pisces*. Vgl. Theocr. id. 21. — *ἀμυδρὸν βλέπων*, stumpf von Gesicht. Kr. Gr. §. 46, 5, 6. Dieselbe Redensart bei Aelian.

ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν ζῆν ἤθελες;

ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον.

ΔΙΟΓ. Παραπαίεις, ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεών, καὶ ταῦτα ἡλικιώτης ὢν τοῦ πορθμέως. τί οὖν ἄν τις ἔτι λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν, οὓς ἐχρῆν διώκειν τὸν θάνατον ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον; ἀλλ' ἀπίωμεν ἤδη, μή καί τις ἡμᾶς ὑπίδηται ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον εἰλουμένους.

---

28 (29).

ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ.

1 ΑΓΑΜ. Εἰ σὺ μανείς, ὦ Αἶαν, σαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα καὶ πρῴην οὔτε προσέβλεψας αὐτόν, ὁπότε ἧκε μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην καὶ ἑταῖρον, ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων παρῆλθες;

ΑΙΑΣ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι τῆς μανίας αἴτιος κατέστη, μόνος ἀντεξετασθεὶς ἐπὶ τοῖς ὅπλοις.

ΑΓΑΜ. Ἠξίωσας δὲ ἀναντagώνιστος εἶναι καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων;

ΑΙΑΣ. Ναί, τά γε τοιαῦτα· οἰκεία γάρ μοι ἦν ἡ πανοπλία τοῦ ἀνεψιοῦ γε οὖσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμεί-

var. hist. 6, 12. — μειρακιεύῃ πρὸς τὸ χρεών, benimmst dich wie ein junger Bursche gegen das Verhängniss. — μὴ καί, damit nicht noch, s. zu 20, 6. — ὡς, als ob. — ἀπόδρασιν βουλεύοντας. Char. 21: δῆλοί εἰσι δρασμὸν ἤδη βουλεύοντες. Prometh. 13: μὴ καὶ οὗτοι ἀπόστασιν βουλεύσωσι.

Dieses Gespräch bezieht sich auf den bekannten Streit des Aeas, des Telamoniers, mit dem Odysseus um die Waffen des Achilleus. Ersterer verfiel, als dem Odysseus die Waffen zugesprochen wurden, in Raserei und tödtete sich selbst. Homer. Odyss. 11, 542 ff. Ovid. Metam. 13, 1 ff.

1. ἐμέλλησας, näml. φονεῦσαι. Kr. Gr. §. 55, 4, 11. — ἧκε, in die Unterwelt. — ἄνδρα συστρατιώτην, Kr. Gr. §. 57, 1, 1. Timon. 34: ἀνὴρ ἐργάτης u. s. — μεγάλα βαίνων, mit grossen Schritten. Vgl. das homerische μακρὰ βιβάς. De saltat. 76: ὀρχηστοῦ πηδᾶν μεγάλα πειρωμένου. Dial. deor. 2, 2: εὔρυθμα βαῖνε. Kr. Gr. §. 46, 5, 4. — αὐτός, er selbst od. allein, is ipse. — τά γε τοιαῦτα, in Rücksicht auf Umstände solcher Art (wie sie nun folgen). — τοῦ ἀνεψιοῦ γε οὖσα, da sie ja meinem Vetter gehörte. Des Aeas Vater Telamon und des Achilleus Vater Peleus waren Brüder, Söhne des Aeakos. —

νους ὄντες ἀπείπασθε τὸν ἀγῶνα καὶ παρεχωρήσατέ μοι, ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι καὶ ἐπιτηδειότερος ἔχειν τὰ ὅπλα.

ΑΓΑΜ. Αἰτιῶ τοιγαροῦν, ὦ γενναῖε, τὴν Θέτιν, ἣ δέον 2 σοὶ τὴν κληρονομίαν παραδοῦναι τῶν ὅπλων συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά.

ΑΙΑΣ. Οὔκ, ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος.

ΑΓΑΜ. Συγγνώμη, ὦ Αἶαν, εἰ ἄνθρωπος ὢν ὠρέχθη δόξης, ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδύνους ὑπέμενεν, ἐπεὶ καὶ ἐκράτησέ σου καὶ ταῦτα ἐπὶ Τρωσὶ δικασταῖς.

ΑΙΑΣ. Οἶδα ἐγώ, ἥτις μου κατεδίκασεν· ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὸν δ' οὖν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι ἡ Ἀθηνᾶ τοῦτ' ἐπιτάττοι.

---

29 (30).

ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ.

ΜΙΝ. Ὁ μὲν λῃστὴς οὑτοσὶ Σώστρατος ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω, ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω, ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν 1

ἀπείπασθε, entsagtet, verzichtetet auf. Das Medium in dieser und ähnlicher Bedeutung kommt ausser bei Herodot. nur noch bei Späteren vor. — τῶν Φρυγῶν, d. i. den Troern.

2. δέον, s. zu III, 6. — φέρουσα κτἑ. Prometh. 14: νυνὶ δ' εἰς τὸ κοινὸν φέρων κατέθηκα ὑμῖν αὐτούς. Thetis, des Achilleus Mutter, setzte nach desselben Tode seine Waffen dem vorzüglichsten Helden zum Preis aus. — αὐτά, näml. τὰ ὅπλα. — τὸν Ὀδυσσέα, näml. αἰτιῶμαι. — ἐπεὶ καί, zumal da, hängt zusammen mit συγγνώμη, εἰ .. ὠρέχθη. — ἐπὶ Τρωσὶ δικασταῖς, vor den Troern als Richtern. Demosth. 19, 1: ἀλλὰ μὴν καὶ ἐπὶ τοῖς δικασταῖς ἔλεγες. Heliodor. 4, 19: ἐπὶ μάρτυσι τοῖς θεοῖς. 6, 15: ἐπὶ μάρτυσι τοιούτοις. u. so öfter bei Späteren. Gewöhnlich ist in dieser Verbindung der Genetiv. Was die Sache selbst anlangt, so hatte Agamemnon, um sich dabei aus der Schlinge zu ziehen, die Entscheidung den gefangenen Troern überlassen, und diese sprachen zu Gunsten des Odysseus. Desgleichen stimmte Athene für ihn, und auf sie beziehen sich die Worte: ἥτις μου κατεδίκασεν. — μὴ οὐχί. Kr. Gr. §. 67, 12, 6. Dial. deor. 5, 5.

1. ἐμβεβλήσθω. Beachte die verschiedenen Tempora. — Χιμαίρας. Ein missgestaltetes Ungeheuer göttlichen Ursprungs, oben Löwe, in der Mitte Ziege und unten Drache (Il. 6, 180 f.), welches Bellerophon erlegte. Die spätere Sage versetzte es mit andern Ungeheuern in die Unterwelt. — Τιτυόν. Dieser, ein Sohn der Gäa und gewaltiger Riese auf Euböa,

ἀποταθεὶς ὑπὸ τῶν γυπῶν καὶ αὐτὸς κειρέσθω τὸ ἧπαρ, ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον.

ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν.

ΜΙΝ. Νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι, ὦ Σώστρατε, πονηρὸς ὢν καὶ τοσούτους ἀπεκτονώς;

ΣΩΣΤ. Ἐλήλεγμαι μέν, ἀλλ' ὅρα, εἰ καὶ δικαίως κολασθήσομαι.

ΜΙΝ. Καὶ πάνυ, εἴ γε ἀποτίνειν τὴν ἀξίαν δίκαιον.

ΣΩΣΤ. Ὅμως ἀπόκριναί μοι, ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε.

ΜΙΝ. Λέγε, μὴ μακρὰ μόνον, ὡς καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη.

2 ΣΩΣΤ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς Μοίρας;

ΜΙΝ. Ὑπὸ τῆς Μοίρας δηλαδή.

ΣΩΣΤ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς ἐκείνῃ ὑπηρετοῦντες ταῦτα ἐδρῶμεν;

ΜΙΝ. Ναί, τῇ Κλωθοῖ, ᾗ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πρακτέα.

ΣΩΣΤ. Εἰ τοίνυν ἀναγκασθείς τις ὑπ' ἄλλου φονεύσειέ τινα, οὐ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζομένῳ, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθείς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου;

wurde wegen seines Frevels gegen die Leto entweder von Zeus mit dem Blitzstrahl oder von Apollon und der Artemis mit Pfeilen getödtet. In der Unterwelt ward er dann in der Weise gestraft, dass ihm, während er über neun Hufen am Boden ausgestreckt da lag, zwei Geier die Leber, welche immer nachwuchs, aushackten (Odyss. 11, 576 ff.). — *καὶ αὐτός*, wie Tityos. — *κατὰ τάχος*, s. zu II, 10. — *τὸ Ἠλύσιον πεδίον*. Das elysische Gefilde, wo immerwährender Frühling herrscht, ist bei Homer. Odyss. 4, 563 ff. der Sitz vorzüglich von Helden und Götterlieblingen. Die Inseln der Seligen, insulae beatorum, beschreiben Hesiod. op. 164 ff., Pindar. Ol. 2, 123 ff. u. A. Eine komisch-satyrische Beschreibung davon gibt Lucian. Ver. hist. 2, 5 f. — *ἀνθ' ὧν* s. oben zu 22, 1. — *ἀκούσω*, soll ich hören, s. zu 13, 3. — *ἐξελήλεγξαι .. ὢν .. ἀπεκτονώς*. Nigr. 28: *ἵνα μὴ τὰ παρὰ δύναμιν ἐπιτάττων ἐλέγχηται*. Bis acc. 13: *ἐξελέγξω σε δεινὰ εἰργασμένον*. Pro merc. cond. 6. Pisc. 11 u. s. Kr. Gr. §. 56, 7, 2. — *καὶ πάνυ*, gar sehr, näml. *δικαίως κολασθήσῃ*. So oft in Antworten. — *λέγε κτέ*. Ebenso Tim. 37: *λέγε, μὴ μακρὰ μέντοι*. — *διακρίνωμεν*, richten über.

2. *ἐκείνῳ βιαζομένῳ* zu beziehen

ΜΙΝ. Δῆλον ὡς τὸν δικαστὴν ἢ τὸν τύραννον, ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ ὄργανον ὂν τοῦτο πρὸς τὸν θυμὸν τῷ πρώτῳ παρασχόντι τὴν αἰτίαν.

ΣΩΣΤ. Εὖ γε, ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύῃ τῷ παραδείγματι. ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰστέον ἢ τίνα εὐεργέτην ἀναγραπτέον;

ΜΙΝ. Τὸν πέμψαντα, ὦ Σώστρατε· διάκονος γὰρ ὁ κομίσας ἦν.

ΣΩΣΤ. Οὐκοῦν ὁρᾷς, ὅπως ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γενομένους ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔχοι τις ἄν, ὡς τὸ ἀντιλέγειν δυνατὸν ἦν τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις. 3

ΜΙΝ. Ὦ Σώστρατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γιγνόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐρωτήσεως, διότι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτόν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. ὅρα δὲ μὴ καὶ τοὺς ἄλλους νεκροὺς τὰ ὅμοια ἐρωτᾶν διδάξῃς.

auf ὑπ' ἄλλου. — τῷ πρώτῳ παρασχόντι τὴν αἰτίαν, dem der zuerst die Veranlassung (dazu) gab. Ueber πρώτῳ Kr. Gr. §. 57, 5, 3. 50, 12, 1. — εὖ γε, ὅτι, s. oben z. 20, 6. — ἐπιδαψιλεύῃ τῷ παραδείγματι, zu meinem Beispiel eine Zugabe machst. — αὐτός, er selbst, im Gegensatz zum Herrn. — εὐεργ. ἀναγραπτέον, s. zu IV, 24.

3. ἄδικα ποιεῖς κολάζων, Kr. §. 56, 8, 1. — ὧν = τούτων ἅ. — τοὺς διακονησ. ἀλλ. ἀγαθοῖς, die (ihnen) fremdem Guten dienten, d. i. die das Gute, was sie thaten, nicht aus freiem Antriebe, sondern von der Klotho gezwungen, thaten, mit Bezug auf die vorhergehenden Worte: οὐκοῦν καὶ οἱ χρηστοὶ κτέ. Das Medium διακονεῖσθαι ist bei Lucian sehr oft anzutreffen. — οὐ γὰρ δὴ ἐκεῖνό γε, denn das wenigstens dürfte sicherlich nicht. De merc. cond. 10: οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἐστιν. Hermotim. 6: οὐ γὰρ δὴ σέ γε εἰκός. Tyrannic. 15: οὐ γὰρ δὴ αὐτός γε ὁ τύραννος κτέ. u. s. — κατὰ λόγον, ex ratione. — ἀπολαύσεις. Diese Futurform findet sich erst bei Späteren. Vgl. Hermotim. 78. — διότι = ὅτι, wie oft bei Lucian.

VI.

GÖTTERGESPRÄCHE.

Zur Abfassung derselben wie so vieler anderer Schriften wurde Lucian vornehmlich durch den zu seiner Zeit künstlich wieder erneuerten Glauben an die Macht und Herrlichkeit der alten, in den Augen der Gebildeten aber schon so ziemlich entthronten Götter veranlasst. Man war ja, wie bekannt, von vielen Seiten her bemüht, dem in den letzten Zügen liegenden Heidenthum mit allen nur möglichen Mitteln aufs Neue Geltung zu verschaffen und gewissermassen eine Art Orthodoxie in den bereits beinahe abgestorbenen Formen desselben einzuführen, zumal da es sich für die selbstsüchtigen Zwecke, welche man zum Theil verfolgte, recht gut brauchen zu lassen schien und die grosse Masse, die in Niedrigkeit und Gemeinheit jeder Art versunken war, diesem Bemühen auch mit Bereitwilligkeit aus eigenem Interesse fast durchweg entgegenkam. Um dem nun nach Kräften entgegenzuwirken, lässt Lucian in diesen Gesprächen die Götter in eigner Person auftreten und zeigt sie in einer Gestalt, die wahrlich eben nicht geeignet ist, ihnen zu ihrer ehemaligen Grösse und Würde wieder zu verhelfen, im Gegentheil zu ihrer Entgötterung so recht beitragen musste. Die hellenische Göttergeschichte bei Homeros und Anderen bot ihm dazu den Vorrath in unendlicher Masse und er benutzt denselben auf eine höchst geschickte, obschon mitunter etwas derbe, ja auch frivole Weise dazu, diese vormals so erhabenen und glanzvollen Göttergestalten in ihrer Schwäche und Ohnmacht, und wie Wieland sagt, in ihrem Hauswesen und Negligé darzustellen und so auf jede Weise dem Gelächter seiner Leser preiszugeben. Das in den alten Mythen Erhabene, wozu die Menschen ehedem mit der tiefsten Ehrfurcht und Verehrung aufblickten, versteht er zu seinem Zwecke so zu benutzen, dass seine Zeitgenossen, bei denen zum grossen Theil, wenigstens den Gebildeteren, von wirklicher Verehrung ohnehin schon nicht mehr die Rede sein konnte, darin weiter nichts als Lächerlichkeiten erblicken mussten. Die Götter sind bei ihm das geworden, wozu sie bei Homeros gewissermassen schon die Anlage hatten. Deswegen jedoch diese Gespräche ganz

aus dem Kreise der für Schüler bestimmten Schriften des Alterthums auszuschliessen, dürfte kein zwingender Grund in Wirklichkeit vorhanden sein; denn so viel Einsicht und Urtheil darf man doch wol selbst dem jugendlichen Alter zutrauen, dass es weiss, mit welchen Augen es einen Homeros und andere Schriftsteller des grossen Hellenenthums anzusehen, und wie es einen Lucian und seine Zeit aufzufassen habe, zumal wenn der Lehrer, von dem es in diese Lektüre eingeführt wird, es an der dazu erforderlichen Belehrung nicht fehlen lässt.

Ausgeschlossen sind, wie selbstverständlich, diejenigen Gespräche worden, die ihres Inhalts wegen als minder geeignet zur Lektüre für junge Leute erschienen.

VI.

ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.

1.

ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ.

ΠΡΟΜ. Λῦσόν με, ὦ Ζεῦ· δεινὰ γὰρ ἤδη πέπονθα.

ΖΕΥΣ. Λύσω σε, φῄς, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τοιαῦθ' ἡμῖν ζῷα τοὺς ἀνθρώπους ἔπλασας καὶ τὸ πῦρ ἔκλεψας καὶ γυναῖκας ἐδημιούργησας; ἃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ πιμελῇ κεκαλυμμένα παραθεὶς καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν;

ΠΡΟΜ. Οὔκουν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος, τὸν κάκιστα ὀρνέων ἀπολούμενον αἰετὸν τρέφων τῷ ἥπατι;

ΖΕΥΣ. Οὐδὲ πολλοστημόριον τοῦτο ὧν σε δεῖ παθεῖν.

ΠΡΟΜ. Καὶ μὴν οὐκ ἀμισθί με λύσεις, ἀλλά σοι μηνύσω τι, ὦ Ζεῦ, πάνυ ἀναγκαῖον.

2 ΖΕΥΣ. Κατασοφίζῃ με, ὦ Προμηθεῦ.

ΠΡΟΜ. Καὶ τί πλέον ἕξω; οὐ γὰρ ἀγνοήσεις αὖθις, ἔνθα

Zeus hatte den Prometheus nach der bekannten Sage von Hephästos am Kaukasos anschmieden lassen. Vgl. die Einleitung zu III.

1. λύσω, s. oben zu Dial. mort. 13, 3. — τὸν Καύκασον ὅλον abhängig von ἐπικείμενον, was in demselben Verhältnisse wie ἔχοντα steht. ἐπικεῖσθαι oft so bei Lucian mit dem Accusat. „etwas auf sich liegen haben". — ἀνθ' ὧν, s. zu oben zu D. mort. 22, 1. — τοὺς ἀνθρ... γυναῖκας. Vgl. III, 3. — τὸ πῦρ, näml. von der Sonne, ἐν κοίλῳ νάρθηκι. — τὸν κάκιστα ὀρν. ἀπολούμενον, den verwünschtesten Vogel. Unten 10 (14), 2: ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος ὁ Ζέφυρος. Dial. meretr. 10, 1: ὁ κάκιστα φιλοσόφων ἀπολούμενος Ἀρισταίνετος. Sonst häufig bei den Komikern vorkommender Ausdruck. Kr. Gr. §. 53, 7, 9. — ὧν = τούτων od. ἐκείνων ἅ.

2. τί πλέον ἕξω, was werde ich für einen Vortheil ha-

ὁ Καύκασός ἐστιν, οὐδὲ ἀπορήσεις δεσμῶν, ἥν τι τεχνάζων ἁλίσκωμαι.

ΖΕΥΣ. Εἰπὲ πρότερον, ὅντινα μισθὸν ἀποτίσεις ἀναγκαῖον ἡμῖν ὄντα.

ΠΡΟΜ. Ἢν εἴπω ἐφ' ὅ τι βαδίζεις νῦν, ἀξιόπιστος ἔσομαί σοι καὶ περὶ τῶν ὑπολοίπων μαντευόμενος;

ΖΕΥΣ. Πῶς γὰρ οὔ;

ΠΡΟΜ. Παρὰ τὴν Θέτιν, συνεσόμενος αὐτῇ.

ΖΕΥΣ. Τουτὶ μὲν ἔγνως. τί δ' οὖν τὸ ἐπὶ τούτῳ; δοκεῖς γὰρ ἀληθές τι ἐρεῖν.

ΠΡΟΜ. Μηδέν, ὦ Ζεῦ, κοινωνήσῃς τῇ Νηρηΐδι· ἢν γὰρ αὕτη κυοφορήσῃ ἐκ σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε οἷα καὶ σὺ ἔδρασας —

ΖΕΥΣ. Τοῦτο φής, ἐκπεσεῖσθαί με τῆς ἀρχῆς;

ΠΡΟΜ. Μὴ γένοιτο, ὦ Ζεῦ. πλὴν τοιοῦτό γε ἡ μῖξις αὐτῆς ἀπειλεῖ.

ΖΕΥΣ. Χαιρέτω τοιγαροῦν ἡ Θέτις· σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω.

2.

ΕΡΩΤΟΣ ΚΑΙ ΔΙΟΣ.

ΕΡΩΣ. Ἀλλ' εἰ καί τι ἥμαρτον, ὦ Ζεῦ, σύγγνωθί μοι· 1 παιδίον γάρ εἰμι καὶ ἔτι ἄφρων.

ΖΕΥΣ. Σὺ παιδίον ὁ Ἔρως, ὃς ἀρχαιότερος εἶ πολὺ Ἰαπετοῦ; ἢ διότι μὴ πώγωνα μηδὲ πολιὰς ἔφυσας, διὰ ταῦτα καὶ βρέφος ἀξιοῖς νομίζεσθαι, γέρων καὶ πανοῦργος ὤν;

---

ben. S. unser Wörterb. unter *πολύς*. — *πῶς γὰρ οὔ*; warum denn nicht? — *παρὰ τὴν Θέτιν*, näml. *βαδίζεις*. — *συνεσόμενος*, s. zu II, 25. — *τί δ' οὖν τὸ ἐπὶ τούτῳ*; d. i. was nun aber weiter?. s. zu IV, 7. — *τῇ Νηρηΐδι*, d. i. Thetis, des Nereus Tochter. — *τεχθέν*, unattische Form. Vgl. oben Todtengespr. 13, 1. — *ἔδρασας*, näml. *τὸν Κρόνον*. Diese Worte verschweigt Prometheus absichtlich. Zeus stiess nämlich seinen Vater Kronos vom Throne. — *τοῦτο φής*, meinst du damit.. Ebenso III, 2. — *ὁ Ἥφαιστος*. Nach Anderen Herakles. — *ἐπὶ τούτοις*, unter dieser Bedingung.

1. *Ἀλλ'* zu Anfange, um gleichsam diese Worte als Fortsetzung eines schon vorhergegangenen Gesprächs zu bezeichnen. Häufig werden zu diesem Zweck auch andere Partikeln so zu Anfange eines Gesprächs gesetzt. — *Ἰαπετοῦ*. Dieser war der Sohn des Uranos und der Gäa. = *ἢ διότι*, *an quod*, etwa weil. Piscat. 37: *ἢ διότι πώγωνας ἔχουσι καὶ φιλοσοφεῖν φάσκουσι .. διὰ τοῦτο χρὴ ὑμῖν εἰκάζειν αὐτούς*; Vgl. unten 9. (13), 1. Catapl. 14 u. s. — *γέ-*

ΕΡΩΣ. Τί δέ σε μέγα ἠδίκησα ὁ γέρων, ὡς φῄς, ἐγώ, διότι με καὶ πεδῆσαι διανοῇ;

ΖΕΥΣ. Σκόπει, ὦ κατάρατε, εἰ μικρά, ὃς ἐμοὶ μὲν οὕτως ἐντρυφᾷς, ὥστε οὐδέν ἐστιν ὃ μὴ πεποίηκάς με, σάτυρον, ταῦρον, χρυσόν, κύκνον, αἰετόν, ἐμοῦ δὲ ὅλως οὐδεμίαν ἥντινα ἐρασθῆναι πεποίηκας, οὐδὲ συνῆκα ἡδὺς γυναικὶ διὰ σὲ γεγενημένος, ἀλλά με δεῖ μαγγανεύειν ἐπ᾽ αὐτὰς καὶ κρύπτειν ἐμαυτόν· αἱ δὲ τὸν μὲν ταῦρον ἢ κύκνον φιλοῦσιν, ἐμὲ δὲ ἢν ἴδωσι, τεθνᾶσιν ὑπὸ τοῦ δέους.

2 ΕΡΩΣ. Εἰκότως· οὐ γὰρ φέρουσιν, ὦ Ζεῦ, θνηταὶ οὖσαι τὴν σὴν πρόσοψιν.

ΖΕΥΣ. Πῶς οὖν τὸν Ἀπόλλω ὁ Βράγχος καὶ ὁ Ὑάκινθος φιλοῦσιν;

ΕΡΩΣ. Ἀλλὰ ἡ Δάφνη κἀκεῖνον ἔφευγε καίτοι κομήτην καὶ ἀγένειον ὄντα. εἰ δ᾽ ἐθέλεις ἐπέραστος εἶναι, μὴ ἐπίσειε τὴν αἰγίδα μηδὲ τὸν κεραυνὸν φέρε, ἀλλ᾽ ὡς ἥδιστον ποίει σεαυτόν, ἑκατέρωθεν καθειμένος βοστρύχους, τῇ μίτρᾳ τούτους ἀνειλημμένος, πορφυρίδα ἔχε, ὑποδέου χρυσίδας, ὑπ᾽ αὐλῷ καὶ τυμπάνοις εὔρυθμα βαῖνε, καὶ ὄψει ὅτι πλείους ἀκολουθήσουσί σοι τῶν Διονύσου Μαινάδων.

ρων, *veterator*. — εἰ μικρά, näml. ἠδίκησας. — ὃ μή, Kr. Gr. §. 67, 4, 3. Iup. conf. 9: εἰδὼς οὐδέν με πεισόμενον, ὅ τι μὴ καὶ τῇ Μοίρᾳ ἔδοξεν u. s. — σάτυρον κτέ. Anthol. Palat. 9, 48:

Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι᾽ ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

αἰετόν, bei der Entführung des Ganymedes. — οὐδεμίαν ἥντινα, durchaus keine. οὐδείς nimmt hier den Casus des unmittelbar darauf folgenden ὅστις (bei dem gewöhnlich noch οὐ steht) an. Plat. Phaedon. p. 117 D: Ἀπολλόδωρος οὐδένα ὅντινα οὐ κατέκλαυσε τῶν παρόντων. Kr. Gr. §. 51, 10, 11. — ἐρασθῆναι, *amore capi*, sich verlieben. Kr. Gr. §. 53, 5, 1. — συνῆκα .. γεγενημένος, s. oben zu Todtengespr. 14, 6. — μαγγ. ἐπ᾽ αὐτάς. Bis accus. 17: ἐπὶ τοὺς ἀλλοτρίους ἐραστὰς μαγγανεύουσα. — τεθνᾶσιν ὑπὸ τοῦ δέους, s. zu II, 40. Vgl. unten 20, 6.

2. ὁ Βράγχος. Diesen, der selbst ein Sohn des Apollon war, liebte wegen seiner Schönheit Apollon und begabte ihn mit der Weissagekunst. — ἔφευγε. Warum das Imperfectum? — καίτοι .. ὄντα, s. zu II, 34. — κομήτην καὶ ἀγένειον. Eigenschaften seiner Schönheit und ewigen Jugend. — καθειμένος βοστρύχους, s. zu Todtengespr. 10, 8. — τῇ μίτρᾳ τούτους ἀνειλημμένος, mit der Kopfbinde diese zurück-, zusammengehalten habend. Vgl. μίτρᾳ ἀναδεδεμένος τὴν κόμην. Dial. deor. 18, 1. Bacch. 2. Navig. 2. χρυσῷ ἀναδεδεμένος τοὺς πλοκάμους Gall. 13. — ὑποδέου, unattische Form für ὑποδοῦ, s. Kr. Gr. §. 32, 3, 2. περιδέοντες De saltat. 18. — ὑπ᾽ αὐλῷ καὶ τυμπάνοις, unter Flötenklang und Paukenschall. Dial. deor. 18, 1: ὑπὸ τυμπάνοις καὶ αὐλῷ καὶ κυμβάλοις χορεύων. Sonst gewöhnlich ὑπό so mit Genetiv., Kr. Gr. §. 68, 43, 1. — εὔρυθμα βαῖνε, s.

ΖΕΥΣ. Ἄπαγε· οὐκ ἂν δεξαίμην ἐπέραστος εἶναι τοιοῦτος γενόμενος.

ΕΡΩΣ. Οὐκοῦν, ὦ Ζεῦ, μηδὲ ἐρᾶν θέλε· ῥᾴδιον γὰρ τοῦτό γε.

ΖΕΥΣ. Οὔκ, ἀλλὰ ἐρᾶν μέν, ἀπραγμονέστερον δὲ αὐτῶν ἐπιτυγχάνειν· ἐπὶ τούτοις αὐτοῖς ἀφίημί σε.

3.

ΔΙΟΣ ΚΑΙ ΕΡΜΟΥ.

ΖΕΥΣ. Τὴν τοῦ Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα, ὦ Ἑρμῆ;

ΕΡΜ. Ναί· τὴν Ἰὼ λέγεις.

ΖΕΥΣ. Οὐκέτι παῖς ἐκείνη ἐστίν, ἀλλὰ δάμαλις.

ΕΡΜ. Τεράστιον τοῦτο· τῷ τρόπῳ δ' ἐνηλλάγη;

ΖΕΥΣ. Ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλεν αὐτήν. ἀλλὰ καὶ καινὸν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι· βουκόλον τινὰ πολυόμματον, Ἄργον τοὔνομα, ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν ἄυπνος ὤν.

ΕΡΜ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν;

ΖΕΥΣ. Καταπτάμενος ἐς τὴν Νεμέαν — ἐκεῖ δέ που ὁ Ἄργος βουκολεῖ. — ἐκεῖνον ἀπόκτεινον, τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀγαγὼν Ἶσιν ποίησον· καὶ τὸ λοι-

zu Todtengespr. 28, 1. — ἐρᾶν μέν, näml. θέλω. — αὐτῶν, s. zu Todtengespr. 23, 1. — ἐπὶ τούτοις αὐτοῖς, grade unter dieser Bedingung, unter dieser Bedingung nur, zu beziehen auf die vorhergehenden Worte ἀπραγμ. u. s. w.

τῷ τρόπῳ = τίνι τρόπῳ. Vielleicht sind diese Worte aus einem Dichter entlehnt. — ἡ Ἥρα. Nach der gewöhnlichen Erzählung verwandelte Zeus selbst die Io in eine Kuh, um die Eifersucht der Hera zu teuschen. — ἀλλὰ καί, *quin etiam*, ja sogar, s. zu Todtengespr. 24, 1. — πολυόμματον. Ovid. Metamorph. 1, 625: *centum luminibus cinctum caput Argus habebat.* Diese gewöhnliche Vorstellung, dass Argos viele Augen hatte, findet sich schon bei Aeschylos: τὸν μυριωπὸν βούταν. Hermes, von Zeus gesandt, tödtet den Argos, und Hera versetzt dessen Augen in den Schweif des Pfaues. — Νεμέαν, Gebirgsthal in Argolis zwischen Kleonae und Phlius, berühmt durch das Heiligthum des Zeus Nemeios mit einem Haine, in dem die nemeischen Spiele (τὰ Νέμεα) gefeiert wurden. — ἐκεῖνον .. τὴν δέ. ἐκεῖνον ohne μέν, was man erwartete. Zeux. 11: κελεύει ἄλλο μηδέν, ἐλέφαντα δὲ μόνον ἐγκολάψαι. Calumn. non tem. cred. 8: εἰ τῷ κατηγόρῳ μετ' ἀδείας ἃ θέλει λέγειν ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγόρῳ κτἑ. Plut. Cat. min. 9: αἰδοῦνται τὴν δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετήν. u. so oft. — τὸ λοιπόν, fernerhin. Ebenso Piscat. 39. Nigr. 18. Toxar. 21. Scyth. 8. Kr.

πὸν ἔστω θεὸς τῶν ἐκεῖ καὶ τὸν Νεῖλον ἀναγέτω καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω καὶ σωζέτω τοὺς πλέοντας.

4.

ΔΙΟΣ ΚΑΙ ΓΑΝΥΜΗΔΟΥΣ.

1 ΖΕΥΣ. Ἄγε, ὦ Γανύμηδες — ἥκομεν γὰρ ἔνθα ἐχρῆν — φίλησόν με ἤδη, ὅπως εἰδῇς οὐκέτι ῥάμφος ἀγκύλον ἔχοντα οὐδ' ὄνυχας ὀξεῖς οὐδὲ πτερά, οἷος ἐφαινόμην σοι πτηνὸς εἶναι δοκῶν.

ΓΑΝ. Ἄνθρωπε, οὐκ αἰετὸς ἄρτι ἦσθα καὶ καταπτάμενος ἥρπασάς με ἀπὸ μέσου τοῦ ποιμνίου; πῶς οὖν τὰ μὲν πτερά σοι ἐκεῖνα ἐξερρύηκε, σὺ δὲ ἄλλος ἤδη ἀναπέφηνας;

ΖΕΥΣ. Ἀλλ' οὔτε ἄνθρωπον ὁρᾷς, ὦ μειράκιον, οὔτε αἰετόν, ὁ δὲ πάντων βασιλεὺς τῶν θεῶν οὗτός εἰμι πρὸς τὸν καιρὸν ἀλλάξας ἐμαυτόν.

ΓΑΝ. Τί φῄς; σὺ γὰρ εἶ ὁ Πὰν ἐκεῖνος; εἶτα πῶς σύριγγα οὐκ ἔχεις οὐδὲ κέρατα οὐδὲ λάσιος εἶ τὰ σκέλη;

ΖΕΥΣ. Μόνον γὰρ ἐκεῖνον ἡγῇ θεόν;

ΓΑΝ. Ναί· καὶ θύομέν γε αὐτῷ ἐνόρχην τράγον ἐπὶ τὸ σπήλαιον ἄγοντες, ἔνθα ἕστηκε· σὺ δὲ ἀνδραποδιστής τις εἶναί μοι δοκεῖς.

2 ΖΕΥΣ. Εἰπέ μοι, Διὸς δὲ οὐκ ἤκουσας ὄνομα οὐδὲ βωμὸν εἶδες ἐν τῷ Γαργάρῳ, τοῦ ὕοντος καὶ βροντῶντος καὶ ἀστραπὰς ποιοῦντος;

Gr. §. 46, 3, 2. — τῶν ἐκεῖ, d. i. der Bewohner Aegyptens. — ἀναγέτω, lasse anschwellen, austreten. — σωζέτω. Beachte den Chiasmus.

1. ἔνθα ἐχρῆν, näml. ἥκειν. Als Ort ist der Olympos oder Himmel zu denken. Ganymedes war der Sohn des Tros, welchen seiner Schönheit wegen Zeus, oder wie es bei Homeros heisst, die Götter entführten und zum Mundschenken machten. — ἔχοντα, näml. με. — οὗτος, deiktisch, hier. Dial. deor. 20, 12: τὴν Ἀφροδίτην παρεῖναι καιρός. Α. αὕτη σοι ἐγὼ πλησίον. u. ö. — πρὸς τὸν καιρόν, nach Zeit und Umständen. — ὁ Πάν. Ganymedes war der Sitte jener Zeit gemäss der Hirt seines Vaters und kannte als solcher weiter keinen Gott als den Pan. — σύριγγα. Für den Erfinder derselben galt Pan. Ausserdem wurde er dargestellt als gehörnt und bockfüssig (τραγοσκελής). — ἐνόρχην. Diese ist die richtige Form, nicht ἔνορχιν, wie bisher hier und Bis accus. 10 stand. — ἔνθα ἕστηκε, näml. sein Bild.

2. εἰπέ μοι, Διὸς δέ, s. zu, IV, 12. Kr. Gr. §. 69, 16, 5. — Γαργάρῳ. Γάργαρον ist die südliche Spitze des Idagebirges in Troas, worauf ein dem Zeus geheiligter Hain und ein Altar desselben sich be-

ΓΑΝ. *Σύ, ὦ βέλτιστε, φῂς εἶναι, ὃς πρῴην κατέχεας ἡμῖν τὴν πολλὴν χάλαζαν, ὁ οἰκεῖν ὑπεράνω λεγόμενος, ὁ ποιῶν τὸν ψόφον, ᾧ τὸν κριὸν ὁ πατὴρ ἔθυσεν; εἶτα τί ἀδικήσαντά με ἀνήρπασας, ὦ βασιλεῦ τῶν θεῶν; τὰ δὲ πρόβατα ἴσως οἱ λύκοι διαρπάσονται ἤδη, ἐρήμοις ἐπιπεσόντες.*

ΖΕΥΣ. *Ἔτι γὰρ μέλει σοι τῶν προβάτων ἀθανάτῳ γεγενημένῳ καὶ ἐνταῦθα συνεσομένῳ μεθ' ἡμῶν;*

ΓΑΝ. *Τί λέγεις; οὐ γὰρ κατάξεις με ἤδη ἐς τὴν Ἴδην τήμερον;*

ΖΕΥΣ. *Οὐδαμῶς· ἐπεὶ μάτην αἰετὸς ἂν εἴην ἀντὶ θεοῦ γεγενημένος.*

ΓΑΝ. *Οὐκοῦν ἐπιζητήσει με ὁ πατὴρ καὶ ἀγανακτήσει μὴ εὑρίσκων, καὶ πληγὰς ὕστερον λήψομαι καταλιπὼν τὸ ποίμνιον.*

ΖΕΥΣ. *Ποῦ γὰρ ἐκεῖνος ὄψεταί σε;*

ΓΑΝ. *Μηδαμῶς· ποθῶ γὰρ ἤδη αὐτόν. εἰ δὲ ἀπάξεις με, ὑπισχνοῦμαί σοι καὶ ἄλλον παρ' αὐτοῦ κριὸν τυθήσεσθαι λύτρα ὑπὲρ ἐμοῦ. ἔχομεν δὲ τὸν τριετῆ, τὸν μέγαν, ὃς ἡγεῖται πρὸς τὴν νομήν.*

ΖΕΥΣ. *Ὡς ἀφελὴς ὁ παῖς ἐστι καὶ ἁπλοϊκὸς καὶ αὐτὸ δὴ τοῦτο παῖς ἔτι. — ἀλλ', ὦ Γανύμηδες, ἐκεῖνα μὲν πάντα χαίρειν ἔα καὶ ἐπιλαθοῦ αὐτῶν, τοῦ τε ποιμνίου καὶ τῆς Ἴδης. σὺ δὲ — ἤδη γὰρ ἐπουράνιος εἶ — πολλὰ εὖ ποιήσεις ἐντεῦθεν καὶ τὸν πατέρα καὶ πατρίδα, καὶ ἀντὶ μὲν τυροῦ καὶ γάλακτος ἀμβροσίαν ἔδῃ καὶ νέκταρ πίῃ· τοῦτο μέντοι καὶ τοῖς ἄλλοις ἡμῖν αὐτὸς παρέξεις ἐγχέων· τὸ δὲ μέγιστον, οὐκέτι ἄνθρω-* 3

fand; Il. 8, 48. — *κατέχεας ἡμῖν.* Sonst verbindet Luc. dieses Verbum mit dem Genetiv. — *εἶτα*, s. oben zu Todtengespr. 16, 1. — *τί ἀδικήσαντά με ἀνήρπασας*, was habe ich Unrechtes gethan, dass du u. s. w. Catapl. 7: *τί δέ με ἀδικήσαντα τοσοῦτον εἴασας ἄνω τὸν χρόνον;* Harmonid. 1: *τί ποιοῦντα εἴσονταί με οἱ Ἕλληνες πάντες;* Kr. Gr. §. 51, 17, 4. — *συνεσομένῳ μεθ' ἡμῶν.* Seltene Verbindung. Plat. conviv. p. 195 B: *μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν.* Plutarch. mor. p. 551 E: *συνεῖναι μετὰ πονηρίας.* — *μὴ εὑρίσκων.* Warum *μή*? Kr. Gr. §. 67, 8. — *μηδαμῶς*, näml. möge das geschehen, dass er mich nicht wiedersieht.

3 *αὐτὸ δὴ τοῦτο*, *id ipsum*, eben dieses. De merc. cond. 35. *καὶ αὐτὰ δὴ ταῦτα* Epist. Sat. 36. — *τὸν πατέρα καὶ πατρίδα.* Der Artikel vor *πατρίδα* ist nicht nöthig. Plat. Cratyl. p. 405 D: *τὸν ὁμοκέλευθον καὶ ὁμόκοιτιν ἀκόλουθον καὶ ἄκοιτιν ἐκαλέσαμεν.* Demosth. 2, 9: *τὰ χωρία καὶ λιμένας.* Kr. Gr. §. 58, 2, 1. — *τὸ δὲ μέγιστον*, Kr. Gr. §. 57, 10, 12.

πος, ἀλλ' ἀθάνατος γενήσῃ, καὶ ἀστέρα σου φαίνεσθαι ποιήσω κάλλιστον, καὶ ὅλως εὐδαίμων ἔσῃ.

ΓΑΝ. Ἢν δὲ παίζειν ἐπιθυμήσω, τίς συμπαίξεταί μοι; ἐν γὰρ τῇ Ἴδῃ πολλοὶ ἡλικιῶται ἦμεν.

ΖΕΥΣ. Ἔχεις κἀνταῦθα τὸν συμπαιξόμενόν σοι τουτονὶ τὸν Ἔρωτα καὶ ἀστραγάλους μάλα πολλούς. θάρρει μόνον καὶ φαιδρὸς ἴσθι καὶ μηδὲν ἐπιπόθει τῶν κάτω.

4 ΓΑΝ. Τί δὲ ὑμῖν χρήσιμος ἂν γενοίμην; ἢ ποιμαίνειν δεήσει κἀνταῦθα;

ΖΕΥΣ. Οὔκ, ἀλλ' οἰνοχοήσεις καὶ ἐπὶ τοῦ νέκταρος τετάξῃ καὶ ἐπιμελήσῃ τοῦ συμποσίου.

ΓΑΝ. Τοῦτο μὲν οὐ χαλεπόν· οἶδα γὰρ ὡς χρὴ ἐγχέαι τὸ γάλα καὶ ἀναδοῦναι τὸ κισσύβιον.

ΖΕΥΣ. Ἰδού, πάλιν οὗτος γάλακτος μνημονεύει καὶ ἀνθρώποις διακονήσεσθαι οἴεται· ταυτὶ δ' ὁ οὐρανός ἐστι, καὶ πίνομεν, ὥσπερ ἔφην, τὸ νέκταρ.

ΓΑΝ. Ἥδιον, ὦ Ζεῦ, τοῦ γάλακτος;

ΖΕΥΣ. Εἴσῃ μετ' ὀλίγον καὶ γευσάμενος οὐκέτι ποθήσεις τὸ γάλα.

ΓΑΝ. Κοιμήσομαι δὲ ποῦ τῆς νυκτός; ἢ μετὰ τοῦ ἡλικιώτου Ἔρωτος;

ΖΕΥΣ. Οὔκ, ἀλλὰ διὰ τοῦτό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν.

ΓΑΝ. Μόνος γὰρ οὐκ ἂν δύναιο, ἀλλὰ ἥδιόν σοι καθεύδειν μετ' ἐμοῦ;

ΖΕΥΣ. Ναί, μετά γε τοιούτου οἷος εἶ σύ, Γανύμηδες, οὕτω καλός.

5 ΓΑΝ. Τί γάρ σε πρὸς τὸν ὕπνον ὀνήσει τὸ κάλλος;

ΖΕΥΣ. Ἔχει τι θέλγητρον ἡδὺ καὶ μαλακώτερον ἐπάγει αὐτόν.

ΓΑΝ. Καὶ μὴν ὅ γε πατὴρ ἤχθετό μοι συγκαθεύδοντι καὶ διηγεῖτο ἕωθεν, ὡς ἀφεῖλον αὐτοῦ τὸν ὕπνον στρεφόμενος

Vgl. Gall. 14. 25. — *ἀστέρα σου*, d. i. einen Stern deines Namens. Zu verstehen ist der Wassermann, aquarius, *ὑδροχόος*. — *καὶ ὅλως*, kurz, *denique*. — *τὸν συμπαιξόμενόν σοι*, einen, der mit dir spielen wird; Kr. Gr. §. 50, 4, 3.

4. *εἴσῃ μετ' ὀλίγον*, das wirst du in kurzem erfahren; s. oben zu Todtengespr. 16, 3. — *τῆς νυκτός*, Kr. Gr. §. 47, 2. — *οὕτω καλός*. Der Construction angemessener würde *οὕτω καλοῦ* sein.

5. *τι θέλγητρον*, Kr. Gr. §. 51, 16, 2. — *αὐτόν*, näml. *τὸν ὕπνον*. — *ὁπότε καθεύδοιμι*, Kr. Gr. §. 54,

καὶ λακτίζων καί τι φθεγγόμενος μεταξὺ ὁπότε καθεύδοιμι· ὥστε παρὰ τὴν μητέρα ἔπεμπέ με κοιμησόμενον ὡς τὰ πολλά. ὥρα δή σοι, εἰ διὰ τοῦτο, ὡς φής, ἀνήρπασάς με, καταθεῖναι αὖθις ἐς τὴν γῆν, ἢ πράγματα ἕξεις ἀγρυπνῶν· ἐνοχλήσω γάρ σε συνεχῶς στρεφόμενος.

ΖΕΥΣ. Τοῦτ' αὐτό μοι [τὸ] ἥδιστον ποιήσεις, εἰ ἀγρυπνήσαιμι μετὰ σοῦ φιλῶν πολλάκις καὶ περιπτύσσων.

ΓΑΝ. Αὐτὸς ἂν εἰδείης· ἐγὼ δὲ κοιμήσομαι σοῦ καταφιλοῦντος.

ΖΕΥΣ. Εἰσόμεθα τότε ὃ πρακτέον. νῦν δὲ ἄπαγε αὐτόν, ὦ Ἑρμῆ, καὶ πιόντα τῆς ἀθανασίας ἄγε οἰνοχοήσοντα ἡμῖν, διδάξας πρότερον ὡς χρὴ ὀρέγειν τὸν σκύφον.

5.

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

ΗΡΑ. Ἐξ οὗ τὸ μειράκιον τοῦτο, ὦ Ζεῦ, τὸ Φρύγιον ἀπὸ τῆς Ἴδης ἁρπάσας δεῦρο ἀνήγαγες, ἔλαττόν μοι τὸν νοῦν προσέχεις. 1

ΖΕΥΣ. Καὶ τοῦτο γάρ, ὦ Ἥρα, ζηλοτυπεῖς ἤδη, ἀφελὲς οὕτω καὶ ἀλυπότατον; ἐγὼ δὲ ᾤμην ταῖς γυναιξὶ μόναις χαλεπήν σε εἶναι, ὁπόσαι ἂν ὁμιλήσωσί μοι.

ΗΡΑ. Οὐδ' ἐκεῖνα μὲν εὖ ποιεῖς οὐδὲ πρέποντα σεαυτῷ, ὃς ἁπάντων θεῶν δεσπότης ὤν, ἀπολιπὼν ἐμὲ τὴν νόμῳ γαμετήν, ἐπὶ τὴν γῆν κάτει μοιχεύσων χρυσίον ἢ σάτυρος ἢ ταῦρος γενόμενος. πλὴν ἀλλ' ἐκεῖναι μέν σοι κἂν ἐν γῇ μένουσι, τὸ δὲ Ἰδαῖον τουτὶ παιδίον ἁρπάσας ἀνέπτης, ὦ γενναιότατε ἀετῶν, καὶ συνοικεῖ ἡμῖν, ἐπὶ κεφαλήν μοι ἐπαχθέν, οἰνοχοοῦν δὴ τῷ λόγῳ. οὕτως ἠπόρεις οἰνοχόων, καὶ ἀπηγορεύκασιν ἄρα ἥ τε Ἥβη καὶ ὁ Ἥφαιστος διακονούμενοι. σὺ δὲ καὶ τὴν κύλικα οὐκ ἂν ἄλλως λάβοις παρ' αὐτοῦ ἢ φιλή- 2

17, 2. — ὡς τὰ πολλά, meistentheils, gewöhnlich, *ut plurimum*. Sonst bei Luc. in der Regel nur τὰ πολλά; aber ebenso ὡς τὸ πολύ und ὡς ἐπὶ τὸ πολύ. — πράγματα ἕξεις, s. zu III, 16. — αὐτὸς ἂν εἰδείης, s. oben zu Todtengespr. 3, 1. — τῆς ἀθανασίας. Der Genuss des Nektar und der Ambrosia machte unsterblich.

1. τὸ Φρύγιον, den Ganymedes.

2. κἂν, wenigstens, wie oft bei Lucian. — ἐπὶ κεφαλήν, wir: über den Hals. — οἰνοχοοῦν δὴ τῷ λόγῳ, angeblich freilich als Mundschenk. So steht δή oft ironisch. — ἀπηγορεύκασιν .. διακονούμενοι, sind erschöpft durch den Dienst. Kr. Gr. §.

σας πρότερον αὐτὸν ἁπάντων ὁρώντων, καὶ τὸ φίλημά σοι ἥδιον τοῦ νέκταρος, καὶ διὰ τοῦτο οὐδὲ διψῶν πολλάκις αἰτεῖς πιεῖν· ὁτὲ δὲ καὶ ἀπογευσάμενος μόνον ἔδωκας ἐκείνῳ, καὶ πιόντος ἀπολαβὼν τὴν κύλικα, ὅσον ὑπόλοιπον ἐν αὐτῇ πίνεις, ὅθεν καὶ ὁ παῖς ἔπιε καὶ ἔνθα προσήρμοσε τὰ χείλη, ἵνα καὶ πίνῃς ἅμα καὶ φιλῇς· πρῴην δὲ ὁ βασιλεὺς καὶ ἁπάντων πατὴρ ἀποθέμενος τὴν αἰγίδα καὶ τὸν κεραυνὸν ἐκάθησο ἀστραγαλίζων μετ' αὐτοῦ, ὁ πώγωνα τηλικοῦτον καθειμένος. ἅπαντα οὖν ὁρῶ ταῦτα, ὥστε μὴ οἴου λανθάνειν.

3 ΖΕΥΣ. Καὶ τί δεινόν, ὦ Ἥρα, μειράκιον οὕτω καλὸν μεταξὺ πίνοντα καταφιλεῖν καὶ ἥδεσθαι ἀμφοῖν καὶ τῷ φιλήματι καὶ τῷ νέκταρι; ἢν γοῦν ἐπιτρέψω αὐτῷ κἂν ἅπαξ φιλῆσαί σε, οὐκέτι μέμψῃ μοι προτιμότερον τοῦ νέκταρος οἰομένῳ τὸ φίλημα εἶναι.

ΗΡΑ. Παιδεραστῶν οὗτοι λόγοι. ἐγὼ δὲ μὴ οὕτω μανείην, ὡς τὰ χείλη προσενεγκεῖν τῷ μαλθακῷ τούτῳ Φρυγί, οὕτως ἐκτεθηλυμμένῳ.

ΖΕΥΣ. Μή μοι λοιδοροῦ, ὦ γενναιοτάτη, τοῖς παιδικοῖς· οὑτοσὶ γὰρ ὁ θηλυδρίας, ὁ βάρβαρος, ὁ μαλθακός, ἡδίων ἐμοὶ καὶ ποθεινότερος — οὐ βούλομαι δὲ εἰπεῖν, μή σε παροξύνω ἐπὶ πλέον.

4 ΗΡΑ. Εἴθε καὶ γαμήσειας αὐτὸν ἐμοῦ γε οὕνεκα. μέμνησο δ' οὖν, οἷά μοι διὰ τὸν οἰνοχόον τοῦτον ἐμπαροινεῖς.

ΖΕΥΣ. Οὔκ, ἀλλὰ τὸν Ἥφαιστον ἔδει τὸν σὸν υἱὸν οἰνοχοεῖν ἡμῖν χωλεύοντα, ἐκ τῆς καμίνου ἥκοντα, ἔτι τῶν σπινθήρων ἀνάπλεων, ἄρτι τὴν πυράγραν ἀποτεθειμένον, καὶ ἀπ' ἐκείνων αὐτοῦ τῶν δακτύλων λαμβάνειν ἡμᾶς τὴν κύλικα, καὶ ἐπισπασαμένους γε φιλῆσαι μεταξύ, ὃν οὐδ' ἂν

56, 6, 1. — *οὐδὲ διψῶν*, nicht einmal durstend, ohne auch nur Durst zu haben. — *ὁτὲ δέ*, zuweilen, ohne vorhergehendes *ὁτὲ μέν*. — *ἔδωκας*, s. zu IV, 19. — *πιόντος*, näml. *αὐτοῦ*. — *ὁ .. καθειμένος*, du, der du u. s. w. Uebrigens s. oben zu Todtengespr. 10, 8.

3. *κἂν ἅπαξ*, wenn auch nur einmal. — *οὗτοι λόγοι*, näml. *εἰσίν*, das sind Reden der .., s. zu II, 10, z. E. — *μοι*, Dativus ethicus. — *ποθεινότερος*. Er bricht hier ab; hinzusetzen wollte er: „als du." — *ἐπὶ πλέον*, bis auf ein mehreres, mehr, weiter.

4. *εἴθε καὶ γαμήσειας*, Kr. Gr. §. 54, 3, 3. Der Aorist. *ἐγάμησα* für *ἔγημα* findet sich öfter bei Luc.; s. zu II, 52. — *ἐμοῦ γε οὕνεκα*, meinetwegen. Es ist diese die einzige Stelle, an der Luc. nach den besten Handschriften *οὕνεκα* für *ἕνεκα* gebraucht hat. — *οὔκ*, nein, das ist nicht der Fall; aber es sollte wol u. s. w. — *τὸν σὸν υἱόν*, sarkastisch. Als Mundschenk der Götter erscheint Hephästos

ἡ μήτηρ σὺ ἡδέως φιλήσειας ὑπὸ τῆς ἀσβόλου κατηθαλωμένον τὸ πρόσωπον. ἡδίω ταῦτα· οὐ γάρ; καὶ παρὰ πολὺ ὁ οἰνοχόος ἐκεῖνος ἐμπρέπει τῷ συμποσίῳ τῶν θεῶν, ὁ Γανυμήδης δὲ καταπεμπτέος αὖθις ἐς τὴν Ἴδην· καθάριος γὰρ καὶ ῥοδοδάκτυλος καὶ ἐπισταμένως ὀρέγει τὸ ἔκπωμα, καὶ ὃ σε λυπεῖ μάλιστα, καὶ φιλεῖ ἥδιον τοῦ νέκταρος.

ΗΡΑ. Νῦν καὶ χωλός, ὦ Ζεῦ, ὁ Ἥφαιστος καὶ οἱ δάκτυλοι αὐτοῦ ἀνάξιοι τῆς σῆς κύλικος καὶ ἀσβόλου μεστός ἐστι, καὶ ναυτιᾷς ὁρῶν αὐτόν, ἐξ ὅτου τὸν καλὸν κομήτην τοῦτον ἡ Ἴδη ἀνέθρεψε· πάλαι δὲ οὐχ ἑώρας ταῦτα, οὐδ' οἱ σπινθῆρες οὐδὲ ἡ κάμινος ἀπέτρεπόν σε μὴ οὐχὶ πίνειν παρ' αὐτοῦ. 5

ΖΕΥΣ. Λυπεῖς, ὦ Ἥρα, σεαυτήν, οὐδὲν ἄλλο, κἀμοὶ ἐπιτείνεις τὸν ἔρωτα ζηλοτυποῦσα· εἰ δὲ ἄχθῃ παρὰ παιδὸς ὡραίου δεχομένη τὸ ἔκπωμα, σοὶ μὲν ὁ υἱὸς οἰνοχοείτω, σὺ δέ, ὦ Γανύμηδες, ἐμοὶ μόνῳ ἀναδίδου τὴν κύλικα καὶ ἐφ' ἑκάστῃ δὶς φίλει με καὶ ὅτε πλήρη ὀρέγοις κἆτα αὖθις ὁπότε παρ' ἐμοῦ ἀπολαμβάνοις. τί τοῦτο; δακρύεις; μὴ δέδιθι· οἰμώξεται γὰρ ἥν τίς σε λυπεῖν θέλῃ.

---

6 (7).

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

ΗΦ. Ἑώρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν, ὡς καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον; 1

ΑΠ. Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἢ μέγα ἀγαθόν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ τῇ πανουργίᾳ;

ΗΦ. Καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν;

ΑΠ. Ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν,

bei Hom. Il. 1, 595. — *κατηθαλωμένον τὸ πρόσωπον*, im Gesicht geschwärzt. — *οὐ γάρ; nonne?* nicht wahr? — *παρὰ πολύ*, s. zu II, 18.

5. *νῦν καὶ χωλὸς ὁ Ἥφ.*, d. i. nun ist Heph. auf einmal lahm. — *ἐξ ὅτου*, seitdem, seltner als *ἐξ οὗ*; Kr. Gr. §. 51, 8, 3. — *μὴ οὐχί*, *quo minus*, vgl. Todtengespr. 28, 2. — *οὐδὲν ἄλλο*, weiter nichts. — *ὅτε .. ὀρέγοις .. ὁπότε .. ἀπολαμβάνοις*, s. oben zu Todtengespr. 21, 1.

1. *τὸ τῆς Μαίας βρέφος*, d. i. Hermes. — *δηλοῖ .. ἀποβησόμενον*, s. z. II, 53. — *ὅσον ἐπί*, *quantum ad*, was anbelangt. Iup. trag. 21: *ὅσον ἐπὶ σοὶ καὶ τῇ σῇ προνοίᾳ.* Phalar. 2, 8: *καὶ ὅσον ἐπὶ τῇ γῇ, βαθεῖ λιμῷ ἀεὶ συνῆμεν ἄν.* Catapl.

ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξείλκυσε λαθὸν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

2 ΗΦ. Τὸ νεογνὸν ταῦτα, ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;

ΑΠ. Εἴσῃ, ὦ Ἥφαιστε, ἤν σοι προσέλθῃ μόνον.

ΗΦ. Καὶ μὴν προσῆλθεν ἤδη.

ΑΠ. Τί οὖν; πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;

ΗΦ. Πάντα, ὦ Ἄπολλον.

ΑΠ. Ὅμως ἐπίσκεψαι ἀκριβῶς.

ΗΦ. Μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.

ΑΠ. Ἀλλ' ὄψει που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.

ΗΦ. Οὕτως ὀξύχειρ ἐστί, καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπτικήν;

3 ΑΠ. Οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ δὲ καὶ διακονεῖσθαι ἡμῖν ἐθέλει. χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπάλαισεν εὐθὺς οὐκ οἶδ' ὅπως ὑφελὼν τὼ πόδε· εἶτα μεταξὺ ἐπαινούμενος τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ γελῶντος ἔτι τὸ σκῆπτρον· εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.

ΗΦ. Γοργόν τινα τὸν παῖδα φῄς.

ΑΠ. Οὐ μόνον, ἀλλ' ἤδη καὶ μουσικόν.

ΗΦ. Τῷ τοῦτο τεκμαίρεσθαι ἔχεις;

4 ΑΠ. Χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ' αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας, ἔπειτα κολ-

1: ὅσον ἐπ' ἐμοί. u. ö. — τούτου, wovon abhängig? S. zu Todtengespr. 22, 1.

2. ταῦτα, näml. ἐποίησεν. — καὶ μήν, *atqui*. — ἐκμελετήσας. Wie ist das Masculin. zu erklären, da doch τὸ βρέφος Subiect ist?

3. τῆς Ἀφροδίτης, s. oben zu Todtengespr. 22, 3. — γελῶντος ἔτι, während er noch lachte (darüber dass er den Eros besiegt hatte). — εἰ δὲ μὴ .. ἦν, wir: wenn nicht gewesen wäre, Kr. Gr. §. 54, 10, 3. — οὐ μόνον, näml. γοργόν τινά φημι τὸν παῖδα. Vgl. Vit. auct. 7. Toxar. 1.

4. χελώνην κτἑ. Hermes erfand die χέλυς oder Lyra bei Gelegenheit seines an Apollon verübten Rinderdiebstahls in Arkadien, s. den homer. Hymnus auf ihn. — πήχεις. Darunter sind die beiden schlank und zierlich gebogenen aus der Basis oder dem Schallgehäuse (das bei der Lyra rund, bei der Kithara eckig war) hervorragenden Seitenstücke zu verstehen;

λάβους ἐμπήξας καὶ μαγάδα ὑποθεὶς καὶ ἐντεινάμενος ἑπτὰ χορδάς, ἐμελῴδει πάνυ γλαφυρόν, ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα, ὡς μηδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας ἄχρι τοῦ Ἅιδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

ΗΦ. Ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι.

ΑΠ. Τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθόν, τὴν πυράγραν —

ΗΦ. Εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτήν, εἴ που, ὡς φῄς, εὑρεθείη ἐν τοῖς σπαργάνοις.

---

7 (8).

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

ΗΦ. Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γάρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθον δέοι μιᾷ πληγῇ διακόψαι.

ΖΕΥΣ. Εὖ γε, ὦ Ἥφαιστε· ἀλλὰ δίελέ μου τὴν κεφαλὴν ἐς δύο κατενεγκών.

ΗΦ. Πειρᾷ μου, εἰ μέμηνα; πρόσταττε δ' οὖν τι ἄλλο, ὅπερ ἐθέλεις σοι γενέσθαι.

zwischen deren oberem Ende befand sich das Joch (ζυγόν), an dem die Saiten durch die Wirbel (κόλλοπες, hier bei Luc. κόλλαβοι) gespannt und gestimmt wurden; μαγάς ist der Steg. [Vgl. Carl v. Jahn in Gerhard's Denkm. 1858. n. 115. p. 181—190. nebst den Abbildungen n. 1 bis 4.]. — κολλάβους, unattisches Wort für κόλλοπας. — πεποίηται, hat sich gemacht, angeschafft. — τὴν δύναμιν, nähere Bestimmung zu θαυμασίαν. Iup. conf. 4: τότε μὲν δὴ θαυμάσιος ἐδόκεις μοι τὴν βίαν. u. s. — παίγνιον εἶναι. wir: zum Spielzeug. Diese Hinzufügung des Infinit. εἶναι ist mehr poetisch und dialektisch; bei den Attikern ist dieselbe seltner. Kr. Gr. II. §. 55, 3, 21. Long. pastor. 1, 19: καὶ τοὺς τυροὺς δῶρον εἶναι δίδωσι. Ebenso ἔχειν, Toxar. 45: δός μοι τὴν θυγατέρα σου γυναῖκα ἔχειν. Vgl. Catapl. 7: ἔφορόν σε καὶ ἰατρὸν εἶναι τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἀπελίμπανον. — τὴν πυράγραν. Hinzusetzen wollte er κλέψας, aber Hephästos unterbricht ihn.

ὀξύτατον, zu verbinden mit ἔχων, die Axt gehörig scharf habend. Was in diesem Gespräche dem Hephästos zugeschrieben wird, schreiben Andere dem Prometheus oder dem Hermes oder dem Palamaon zu. Luc. folgt dem Pindar. Ol. 7, 35 (65). — εἰ καί, si etiam. — ἐς δύο, näml. μέρη. Toxar. 54: ἐς δύο κατεκόπη τὸ Σκυθικὸν ἅπαν. Dial. meretr. 13, 4: λοχαγοῦ ἐς δύο τὴν κεφαλὴν διῃρημένου. Conviv. 44: διεῖλε τὸ κρανίον ἐς δύο. — κατενεγκών. Welches Wort ist das Object? Vgl. I, 3. — τι ἄλλο. Rhet. praec. 23: νύκτωρ τι

ΖΕΥΣ. Τοῦτο αὐτό, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν.

ΗΦ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλήθυιαν μαιώσεταί σε.

ΖΕΥΣ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα ἐγὼ τὸ συμφέρον.

ΗΦ. Ἄκων μέν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον· ἦ που στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ καὶ πυρριχίζει καὶ τὴν ἀσπίδα τινάσσει καὶ τὸ δόρυ πάλλει καὶ ἐνθουσιᾷ, καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας ἤδη αὐτήν.

ΖΕΥΣ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν. ἐγὼ δ' οὖν τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω.

ΗΦ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά, καὶ ἤδη συναρπάσω αὐτήν.

ΖΕΥΣ. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ἄλλο ὑποτελεῖν. — τοῦτο αὐτό, eben das, näml. προστάττω. — πειράσῃ, näml. μου. Hephästos hatte den Zorn des Zeus schon einmal empfunden, als ihn dieser aus dem Himmel warf, woher sich auch seine Lahmheit schrieb; Il. 1, 590 f. — κατὰ τὴν Εἰλ., nach Art der Eil. — ἄκων μέν, κατοίσω δέ, s. zu Todtengespr. 10, 6. — καὶ ταῦτα, und zwar. — ἐλελήθεις ἔχων, s. zu Todtengespr. 16, 4. — τὸ μέγιστον, *id quod maximum est*. — καλὴ πάνυ. Oft wird πάνυ nachgestellt, Piscat. 20. Rhet. praec. 15. Alexand. 55. Iup. conf. 3. Anach. 15. Catapl. 24. u. s. — μαίωτρα, Hebammenlohn, nur hier vorkommendes Wort. — τό γε ἐπ' ἐμοί, was mich wenigstens anlangt; ebenso Rhet. praec. 1. Pseudolog. 27. τὸ ἐπ' ἐμαυτῷ Abdicat. 32. — ἀδυνάτων ἐρᾷς. Hermotim. 51: ἐμήνυσα πρός σε ὑπ' εὐνοίας, ὅτι ἀδυνάτων ἐρᾷς. Catapl. 4: ὁρῶν ἀδυνάτων ἐφιέμενον. Eurip. Herc. fur. 317: ἄλλως δ' ἀδυνάτων ἔοικ' ἐρᾶν. Soph. Antig. 90: ἀλλ' ἀμηχάνων ἐρᾷς.

8 (11).

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

ΑΦΡ. Τί ταῦτα, ὦ Σελήνη, φασὶ ποιεῖν σε; ὁπόταν κατὰ 1 τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος ἀφορῶσαν ἐς τὸν Ἐνδυμίωνα καθεύδοντα ὑπαίθριον, ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν παρ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ;

ΣΕΛ. Ἐρώτα, ὦ Ἀφροδίτη, τὸν σὸν υἱόν, ὅς μοι τούτων αἴτιος.

ΑΦΡ. Ἔα· ἐκεῖνος ὑβριστής ἐστιν· ἐμὲ γοῦν αὐτὴν τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἴδην κατάγων Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δὲ ἐς τὸν Λίβανον ἐπὶ τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Φερσεφάττῃ ἐπέραστον ποιήσας ἐξ ἡμισείας ἀφείλετό με τὸν ἐρώμενον· ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ καὶ τὰ πτερά· ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγὰς τῷ σανδάλῳ· ὁ δὲ οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιὼς καὶ ἱκετεύων μετ' ὀλίγον ἐπιλέληςται ἁπάντων. ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων 2 ἐστίν; εὐπαραμύθητον γὰρ οὕτω τὸ δεινόν.

ΣΕΛ. Ἐμοὶ μὲν καὶ πάνυ καλός, ὦ Ἀφροδίτη, δοκεῖ,

1. *τί ταῦτα .. φασὶ ποιεῖν σε* = *τί ταῦτά ἐστιν, ἅ φασι ποιεῖν σε.* — *κατὰ τὴν Καρίαν*, in die Gegend von, nach, Iup. trag. 16: *γίγνομαι κατὰ τὴν Ποικίλην.* Philopseud. 25: *κατὰ τὸ δικαστήριον ἐγενόμην.* Somn. 15: *καθ' οὓς γενοίμην τῇ πτήσει.* — *τὸ ζεῦγος.* Der Selene wird ebenso wie dem Sonnengott ein Gespann beigelegt, auf dem sie durch den Himmel fährt. — *ἐς τὸν Ἐνδυμίωνα.* Apollodor. 1, 7, 5: *Καλύκης καὶ Ἀεθλίου παῖς Ἐνδυμίων γίγνεται, ὅστις, ἐκ Θεσσαλίας Αἰολέας ἀγαγών, Ἦλιν ᾤκισε. λέγουσι δὲ αὐτόν τινες ἐκ Διὸς γενέσθαι. τούτου κάλλει διενεγκόντος ἠράσθη Σελήνη. Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ βούλεται ἑλέσθαι. ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς ἀθάνατος καὶ ἀγήρως μένων.* Nach einer andern Sage hatte er seine Heimath auf dem Berge Latmos in Karien, daher Latmius bei Ovid. — *καθεύδοντα ὑπαίθριον*, Kr. Gr. §. 57, 5, 4. — *ἅτε*, s. zu II, 21. — *Ἀγχίσου.* Zu diesem, während er auf dem Ida weidete, kam Aphrodite und gebar von ihm den Aeneias. — *Ἀσσύριον ἐκ. μειρ.*, Adonis, welcher der Sohn des assyrischen Königs Theias oder des Kinyras, des Erbauers von Paphos auf Kypros, war. — *Φερσεφάττῃ.* „Aphrodite nämlich gab den Tod des Adonis der Persephone schuld, die ihr diesen schönen Jüngling missgönnt und ihn auf diese Art zu sich in die Unterwelt gebracht habe.“ Poppo. — *ἐξ ἡμισείας*, s. oben zu Todtengespr. 16, 1. — *κλάσειν*, zerbrechen. Selten ist der Gebrauch dieses Verb. simpl.; gewöhnlicher steht es vom Abbrechen junger Schösslinge. — *τὸ παραυτίκα*, für den Augenblick, augenblicklich; Kr. Gr. §. 50, 5, 13.

2. *οὕτω*, näml. wenn Endymion schön ist. — *ἐμοὶ μέν.* Welches ist

καὶ μάλιστα ὅταν ὑποβαλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ, τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια ἤδη ἐκ τῆς χειρὸς ὑπορρέοντα, ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπῃ τῷ προσώπῳ περικειμένη, ὁ δὲ ὑπὸ τοῦ ὕπνου λελυμένος ἀναπνέῃ τὸ ἀμβρόσιον ἐκεῖνο ἆσθμα. τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα, ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη — οἶσθα· τί οὖν ἄν σοι λέγοιμι τὰ μετὰ ταῦτα; πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

---

9 (13).

ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΥ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

1 *ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.*

ΗΡΑ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι.

ΗΡΑ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

ΑΣΚ. Ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ

der Gegensatz? S. zu III, 5. — *καὶ πάνυ*, gar sehr, ganz ausnehmend. — *ἀναπνέῃ*, ausathmen, selten. — *ὡς ἄν*, s. zu Todtengespr. 4, 2. — *οἶσθα*. Selene bricht ab, weil Aphrodite das Uebrige schon von selbst weiss. — *ὑπὸ τοῦ ἔρωτος*. Warum der Artikel?

1. *καὶ ἀμείνων γάρ*, s. zu Todtenspr. 6, 5. — *ὦ ἐμβρόντητε*, donnerschlächtig. Asklepios nämlich war vom Zeus mit dem Blitzstrahl erschlagen worden, weil er den Glaukos oder Hippolytos wieder lebendig gemacht hatte, und Pluton sich dadurch beeinträchtigt glaubte. Zur Entschädigung dafür versetzte ihn Zeus auf Apollon's Bitten in den Himmel. — *ἢ διότι*, s. oben zu 2, 1. — *κατ' ἔλεον*, aus Mitleid. — *ἐπιλέλησαι .. καταφλεγείς*. In Prosa seltene Verbindung. Eurip. Bacch. 188: *ἐπιλελήσμεθ' ἡδέως γέροντες ὄντες*. Kr. Gr. II. §. 56, 7, 2. — *καὶ σύ*, so wie ich. — *ἐν τῇ Οἴτῃ*, s. zu Todtengespr. 16, 5. — *ἴσα καὶ ὅμοια*, auf gleiche und ähnliche Weise. So steht *ἴσος* und *ὅμοιος* oft verbunden; s. zu 14, 10. Uebrigens vgl. Piscat. 37: *τί γὰρ ὑμῖν τοιοῦτο βεβίωται*; Kr. Gr. §. 52, 3, 4. — *ὅς*, der ich, da ich. — *τὸν βίον*, s. zu II, 4. — *θηρία*, den nemeischen Lö-

δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

ΑΣΚ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε 2 πρῴην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός· ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλὰ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ, ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

ΖΕΥΣ. Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ ξυμποσίου. καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

---

10 (14).

ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

ΕΡΜ. Τί σκυθρωπός, ὦ Ἄπολλον; 1

ΑΠ. Ὅτι, ὦ Ἑρμῆ, δυστυχῶ ἐν τοῖς ἐρωτικοῖς.

wen, den erymanthischen Eber, die lernäische Schlange. — χρήσιμος ἐπιθήσειν, brauchbar, tauglich um auflegen zu können. So ist der Infinitiv. fut. zu erklären. Vgl. Thucyd. 3, 28: γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν οὔτ' ἀποκωλύσειν δυνατοὶ ὄντες. u. A. Vgl. Kr. Gr. §. 53, 7, 11. — τῶν φαρμάκων, von deinen Mitteln, Genetiv. partitiv. Iup. trag. 35: ἐπίχει τῶν βλασφημιῶν. Dissert. c. Hes. 7: ἐπιφοροίη τῆς γῆς. Pro merc. cond. 2: ἐπιπάττειν τῶν φαρμάκων. Rhet. praec. 16. Pisc. 22 u. s.

2. εὖ λέγεις, ὅτι. Wir: freilich, weil od. denn. — τοῦ χιτῶνος, zu verstehen von dem mit dem Blute des Kentauren Nessos vergifteten Gewande, welches Deianeira dem Herakles schickte. — εἰ καὶ μηδὲν ἄλλο. Elliptische Redeweise, näml. ἐποίησα. — ἐδούλευσα. Nach der späteren Sage wurde Herakles an die Königin der Lyder Omphale durch Hermes verkauft und musste derselben dienen und sich weiblichen Verrichtungen unterwerfen. — ἀλλ' οὐδέ, s. zu Todtengespr. 24, 1. — τὰ τέκνα καὶ τὴν γυναῖκα. Herakles tödtete in der Raserei die Megara und die mit ihr gezeugten Kinder. — αὐτίκα μάλα εἴσῃ, s. zu Todtengespr. 16, 3. — ἐπὶ κεφαλήν, kopfüber. — τὸν Παιῶνα. Bei Homer. der Arzt der Götter. — τὸ κρανίον συντριβέντα. Statt des Accusat. auch der Genetiv., s. zu II, 48. — φημί, s. zu Todtengespr. 22, 1. — ἅτε καί, utpote etiam. Ver. hist. 2, 9. Toxar. 48. u. ö.

1. σκυθρωπός, näml. εἶ, was im

ΕΡΜ. Ἄξιον μὲν λύπης τὸ τοιοῦτο· σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν Δάφνην σε λυπεῖ ἔτι;

ΑΠ. Οὐδαμῶς· ἀλλὰ ἐρώμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

ΕΡΜ. Τέθνηκε γάρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

ΑΠ. Καὶ μάλα.

ΕΡΜ. Πρὸς τίνος, ὦ Ἄπολλον; [ἢ] τίς οὕτως ἀνέραστος ἦν, ὡς ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον;

ΑΠ. Αὐτοῦ ἐμοῦ τὸ ἔργον.

ΕΡΜ. Οὐκοῦν ἐμάνης, ὦ Ἄπολλον;

ΑΠ. Οὔκ, ἀλλὰ δυστύχημά τι ἀκούσιον ἐγένετο.

ΕΡΜ. Πῶς; ἐθέλω γὰρ ἀκοῦσαι τὸν τρόπον.

2 ΑΠ. Δισκεύειν ἐμάνθανε, κἀγὼ συνεδίσκευον αὐτῷ· ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος, ὁ Ζέφυρος, ἤρα μὲν ἐκ πολλοῦ καὶ αὐτός, ἀμελούμενος δὲ καὶ μὴ φέρων τὴν ὑπεροψίαν, ἐγὼ μὲν ἀνέρριψα, ὥσπερ εἰώθειμεν, τὸν δίσκον ἐς τὸ ἄνω, ὁ δὲ ἀπὸ τοῦ Ταϋγέτου καταπνεύσας ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτόν, ὥστε ἀπὸ τῆς πληγῆς αἷμά τε ῥυῆναι πολὺ καὶ τὸν παῖδα εὐθέως ἀποθανεῖν. ἀλλὰ ἐγὼ τὸν μὲν Ζέφυρον αὐτίκα ἠμυνάμην κατατοξεύσας, φεύγοντι ἐπισπόμενος ἄχρι τοῦ ὄρους, τῷ παιδὶ δὲ καὶ τάφον ἐχωσάμην ἐν Ἀμύκλαις, ὅπου ὁ δίσκος αὐτὸν κατέβαλε, καὶ ἀπὸ τοῦ αἵματος ἄνθος ἀναδοῦναι τὴν γῆν ἐποίησα ἥδιστον, ὦ Ἑρμῆ, καὶ

Dialog nicht vermisst wird. — τὸ κατὰ τὴν Δάφνην, die Geschichte mit der D. Kr. Gr. §. 43, 4, 21. — τὸν Λάκ. τὸν Οἰβάλου. Hyakinthos war der Sohn des spartanischen Königs Amyklas, der des Oebalos Grossvater war. Ebenso nennt ihn Ovidius des Oebalus Sohn. — πρὸς τίνος, näml. τέθνηκεν. Catapl. 26: οὗτοι πάντες πρὸς τοῦ ἀλιτηρίου τεθνᾶσιν. πρός, wie sonst bei derartigen Neutren ὑπό (Kr. Gr. §. 52, 3, 1.), findet sich bei Späteren, z. B. Arrian. u. A., nicht selten.

2. ὁ δὲ κάκ. ἀνέμ. ἀπολούμ., s. oben zu 1, 1. — ἐγὼ μὲν ἀνέρριψα. Des Gegensatzes wegen findet hier eine Anakoluthie Statt. Das Hauptsubject wird durch ὁ δέ wieder aufgenommen. Die gewöhnliche Verbindung würde etwa folgende sein: ἀμελούμ. δὲ καὶ μὴ φέρων τὴν ὑπεροψίαν, ἐμοῦ ἀναρρίψαντος, ὥσπ. εἰώθ., τὸν δίσκον ἐς τὸ ἄνω, καταπνεύσας ἐνέσεισε κτέ. Ebenso Dial. deor. 23, 2: ὁ μέντοι Πρίαπος, γελοῖον γάρ τί σοι διηγήσομαι, πρώην ἐν Λαμψάκῳ γενόμενος, ἐγὼ μὲν περιῄειν τὴν πόλιν, ὁ δὲ κτέ. Vgl. Kr. Gr. §. 56, 9, 3. — Ταϋγέτου. Gebirge zwischen Lakonien und Messenien. Zephyros nämlich trieb aus Eifersucht den von Apollon geworfenen Diskos gegen das Haupt des schönen Knaben. — φέρων, s. zu II, 22. — ἐχωσάμην, liess ich aufwerfen, errichten. — Ἀμύκλαις. Stadt Lakoniens mit einem berühmten Tempel des Apollon. Die Basis der Bildsäule des Apollon daselbst galt für das Grabmal des

εὐανθέστατον ἀνθέων ἁπάντων, ἔτι καὶ γράμματα ἔχον ἐπαιάζοντα τῷ νεκρῷ. ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ;

ΕΡΜ. Ναί, ὦ Ἄπολλον· ᾔδεις γὰρ θνητὸν πεποιημένος τὸν ἐρώμενον· ὥστε μὴ ἄχθου ἀποθανόντος.

---

11 (16).

ΗΡΑΣ ΚΑΙ ΛΗΤΟΥΣ.

ΗΡΑ. Καλὰ μέν, ὦ Λητοῖ, καὶ τὰ τέκνα ἔτεκες τῷ Διί. 1

ΛΗΤ. Οὐ πᾶσαι, ὦ Ἥρα, τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν.

ΗΡΑ. Ἀλλὰ οὗτος μὲν ὁ χωλὸς ὅμως χρήσιμός γέ ἐστι, τεχνίτης ὢν ἄριστος, καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανόν, καὶ τὴν Ἀφροδίτην ἔγημε καὶ σπουδάζεται πρὸς αὐτῆς, οἱ δὲ σοὶ παῖδες ἡ μὲν αὐτῶν ἀρρενικὴ πέρα τοῦ μετρίου καὶ ὄρειος, καὶ τὸ τελευταῖον ἐς τὴν Σκυθίαν ἀπελθοῦσα πάντες ἴσασιν οἷα ἐσθίει, ξενοκτονοῦσα καὶ μιμουμένη τοὺς Σκύθας αὐτούς, ἀνθρωποφάγους ὄντας· ὁ δὲ Ἀπόλλων προσποιεῖται μὲν πάντα εἰδέναι, καὶ τοξεύειν καὶ κιθαρίζειν καὶ ἰατρὸς εἶναι καὶ μαντεύεσθαι, καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς, τὸ μὲν ἐν Δελφοῖς, τὸ δὲ ἐν Κλάρῳ καὶ ἐν Διδύ-

Hyakinthos. — γράμματα. Aus dem vergossenen Blute des Hyak. sprosste die gleichnamige Blume (nicht etwa unsere Hyacinthe, s. unser Wörterbuch), auf deren Blätterstreifen man den Wehklagelaut AI, AI lesen wollte. Ovid. Metam. 10, 215 f.:
Ipse suos gemitus foliis inscribit, et ai ai
Flos habet inscriptum.
— ᾔδεις, s. zu Todtengespr. 22, 2. — πεποιημένος, s. zu Todtengespr. 10, 5. — τὸν ἐρώμενον, zu deinem Geliebten.

1. Καλὰ μέν. Der Gegensatz χρήσιμα δὲ οὐ liegt in den folgenden Worten der Hera. — καὶ τὰ τέκνα, näml. so wie du selbst schön bist. Leto hatte dem Zeus den Apollon und die Artemis geboren. — κατακεκόσμηκεν . . ἔγημε. Beachte den Wechsel der Tempora; s. zu 13, 1. — πρὸς αὐτῆς, s. zu II, 25. — οἱ δὲ σοὶ παῖδες ἡ μέν, s. zu Todtengespr. 14, 3. — πέρα τοῦ μετρίου, mehr als recht ist, über das Maass hinaus, oft bei Lucian. vorkommende Formel. Dial. deor. 6, 3. Catapl. 2. Piscat. 31. De hist. conscr. 7. 10. De saltat. 21. 75. Rhet. praec. 10. Auch so Navig. 1 zu schreiben. Vgl. hiermit die Formeln πέρα τοῦ μετρίως ἔχοντος (Todtengespr. 15, 1.), πέρα τοῦ καλῶς ἔχοντος, πέρα τοῦ πιθανοῦ. — τὸ τελευταῖον, s. zu II, 38. — οἷα ἐσθίει. In Tauris nämlich, der jetzigen Krimm, wurden von den Einwohnern alle Fremden der Artemis geopfert. — ἐν Δελφοῖς. Zu Delphoi in Phokis war das berühmteste Orakel des Apollon. — ἐν Κλάρῳ. Klaros, ein Ort in Ionien in der Nähe von Kolophon auf einer Landspitze, hatte ein Orakel des Apollon, das von der Manto, der Tochter des Teiresias, gegründet worden sein soll. Didyma, jetzt Jeronda oder Joran,

μοις, ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ, λοξὰ καὶ ἐπαμφοτερίζοντα πρὸς ἑκάτερον τῆς ἐρωτήσεως ἀποκρινόμενος, ὡς ἀκίνδυνον εἶναι τὸ σφάλμα. καὶ πλουτεῖ μὲν ἀπὸ τοῦ τοιούτου· πολλοὶ γὰρ οἱ ἀνόητοι καὶ παρέχοντες αὐτοὺς καταγοητεύεσθαι· πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν ξυνετωτέρων τὰ πολλὰ τερατευόμενος· αὐτὸς γοῦν ὁ μάντις ἠγνόει μὲν ὅτι φονεύσει τὸν ἐρώμενον τῷ δίσκῳ, οὐ προεμαντεύσατο δὲ ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα οὕτω καλὸν καὶ κομήτην ὄντα. ὥστε οὐχ ὁρῶ καθ' ὅ τι καλλιτεκνοτέρα τῆς Νιόβης ἔδοξας.

2 *ΛΗΤ. Ταῦτα μέντοι τὰ τέκνα, ἡ ξενοκτόνος καὶ ὁ ψευδόμαντις, οἶδα, ὅπως λυπεῖ σε ὁρώμενα ἐν τοῖς θεοῖς, καὶ μάλιστα ὁπόταν ἡ μὲν ἐπαινῆται ἐς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων.*

ΗΡΑ. Ἐγέλασα, ὦ Λητοῖ· ἐκεῖνος θαυμαστός, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν αὐτὸς κρατήσας τῇ μουσικῇ; νῦν δὲ κατασοφισθεὶς ἄθλιος ἀπόλωλεν, ἀδίκως ἁλούς· ἡ δὲ καλή σου παρθένος οὕτω καλή ἐστιν, ὥστε, ἐπεὶ ἔμαθεν ὀφθεῖσα ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπ-

lag im Gebiete von Miletos in Ionien, und hier war der berühmte Tempel mit dem Orakel des didymäischen Apollon, der Sitz der Branchiden. — *λοξά*. Daher das Beiwort des Apollon *Λοξίας*. — *πρὸς ἑκάτερον τῆς ἐρωτήσεως*, *in utramque interrogationis partem*, so dass der um Rath Fragende die Antwort nach zwei Seiten hin deuten konnte. — *πλουτεῖ*. Bekannt sind ja die Tempelschätze zu Delphoi (s. zu II, 42.) und anderwärts. — *παρέχοντες αὐτ. καταγοητεύεσθαι*, *praebentes se decipiendos*. Apol. pro merc. cond. 1: *παρέχειν ἑαυτὸν ἕλκεσθαι καὶ σύρεσθαι*. Sonst folgt nach *παρέχειν* der Infinitiv. Activ., s. zu II, 40. Ueber *παρέχειν* mit dem Particip. Fut. Pass. s. zu III, 1. — *οὐκ ἀγνοεῖται . . τερατευόμενος*, Kr. Gr. §. 56, 7, 1. — *τὸν ἐρώμενον*, den Hyakinthos. — *τῆς Νιόβης*, Niobe, die Tochter des phrygischen oder lydischen Königs Tantalos und Gemahlin des thebanischen Königs Amphion, überhob sich ihres Kinderreichthums gegen die Leto. Die Rache, welche letztere deshalb an ihr nahm, ist bekannt durch die in Florenz noch vorhandene berühmte Marmorgruppe.

2. *ἐγέλασα*, s. zu Todtengespr. 9, 2. — *ὁ Μαρσύας*. Der Satyr Marsyas hatte sich mit dem Apollon in einen Wettkampf im Flötenspiele eingelassen, wobei die Musen das Richteramt versahen. Diese entschieden natürlich zu Gunsten des letzteren, und Marsyas wurde lebendig geschunden. — *ἄθλιος ἀπόλωλεν*, nicht *ἀθλίως*, s. zu IV, 14. Ebenso im Lateinischen *miser periit*. — *ἁλούς*, verurtheilt. — *ἔμαθεν . . ὀφθεῖσα*, s. zu Todtengespr. 10, 5. — *Ἀκταίωνος*. Aktäon, der Enkel des Kadmos, wurde von der Artemis in einen Hirsch verwandelt und von seinen eigenen Hunden auf dem Berge Kithäron zerrissen. Ovid.

ἀφῆκεν αὐτῷ τοὺς κύνας· ἐῶ γὰρ λέγειν, ὅτι οὐδὲ τὰς κυούσας ἂν ἐμαιοῦτο παρθένος γε αὐτὴ οὖσα.

ΛΗΤ. Μέγα, ὦ Ἥρα, φρονεῖς, ὅτι ξύνει τῷ Διὶ καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς. πλὴν ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, ὁπόταν σε καταλιπὼν ἐς τὴν γῆν κατίῃ, ταῦρος ἢ κύκνος γενόμενος.

---

12 (18).

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

ΗΡΑ. Ἐγὼ μὲν ᾐσχυνόμην ἄν, ὦ Ζεῦ, εἴ μοι τοιοῦτος 1 υἱὸς ἦν, θῆλυς οὕτω καὶ διεφθαρμένος ὑπὸ τῆς μέθης, μίτρᾳ μὲν ἀναδεδεμένος τὴν κόμην, τὰ πολλὰ δὲ μαινομέναις ταῖς γυναιξὶ συνών, ἁβρότερος αὐτῶν ἐκείνων, ὑπὸ τυμπάνοις καὶ αὐλῷ καὶ κυμβάλοις χορεύων, καὶ ὅλως παντὶ μᾶλλον ἐοικὼς ἢ σοὶ τῷ πατρί.

ΖΕΥΣ. Καὶ μὴν οὗτός γε ὁ θηλυμίτρης, ὁ ἁβρότερος τῶν γυναικῶν, οὐ μόνον, ὦ Ἥρα, τὴν Λυδίαν ἐχειρώσατο καὶ τοὺς κατοικοῦντας τὸν Τμῶλον ἔλαβε καὶ [τοὺς] Θρᾷκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπ' Ἰνδοὺς ἐλάσας τῷ γυναικείῳ τούτῳ στρατιωτικῷ τούς τε ἐλέφαντας εἷλε καὶ τῆς χώρας ἐκράτησε καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀντιστῆναι τολμήσαντα αἰχμάλωτον ἀπήγαγε, καὶ ταῦτα πάντα ἔπραξεν ὀρχούμενος ἅμα καὶ χορεύων θύρσοις χρώμενος κιττίνοις, μεθύων, ὡς φής, καὶ ἐνθεάζων. εἰ δέ τις ἐπεχείρησε λοιδορήσασθαι αὐτῷ ὑβρίσας ἐς τὴν τελετήν, καὶ τοῦτον ἐτιμωρήσατο ἢ καταδήσας

Metamorph. 3, 131 ff. — ἐμαιοῦτο, als Eileithyia, daher sie auch λοχεία heisst. — παρθένος γε αὐτὴ οὖσα = εἰ παρθένος γε αὐτὴ ἦν. — ταῦρος ἢ κύκνος, nämlich Zeus.

1. Ἐγὼ μέν. Was ist als Gegensatz zu denken? — υἱός, Dionysos. — μίτρᾳ ἀναδεδ. τὴν κόμην, s. oben zu 2, 2. — μαινομέναις ταῖς γυναιξί, den Mänaden oder Bakchantinnen. — ὑπὸ τυμπάνοις κτέ., s. oben zu 2, 2. — τὴν Λυδίαν, Landschaft Kleinasiens. De saltat. 22: ὁ Διόνυσος Τυρρηνοὺς καὶ Ἰνδοὺς καὶ Λυδοὺς ἐχειρώσατο. — τὸν Τμῶλον, Gebirge Lydiens, jetzt Boz Dagh. — ἐπ' Ἰνδούς. Diese Fabel von dem Zuge des Dionysos nach Indien bildete sich seit der Zeit Alexanders des Grossen. — στρατιωτικῷ. τὸ στρατιωτικόν für οἱ στρατιῶται oder ὁ στρατός wie τὸ βαρβαρικόν für οἱ βάρβαροι, u. a., s. Kr. Gr. §. 43, 4, 17. Der Dativ drückt die Begleitung aus, auch von Truppen, die dann als Kriegsmittel dargestellt werden. Toxar. 39: ἧκον ἐπὶ τὴν χώραν Σαυρομάται μυρίοις ἱππεῦσιν. u. s. Ebenso im Latein., Caesar. bell. gall. 2, 7: *ad castra Caesaris omnibus copiis contenderunt.* Vgl. Zumpt. §. 473. Ueber die Stellung von οὗτος s. zu II, 6. — τὴν τελετήν. Zu verstehen von der religiösen Feier, den Orgien des

τοῖς κλήμασιν ἢ διασπασθῆναι ποιήσας ὑπὸ τῆς μητρὸς ὥσπερ νεβρόν. ὁρᾷς ὡς ἀνδρεῖα ταῦτα καὶ οὐκ ἀνάξια τοῦ πατρός; εἰ δὲ παιδιὰ καὶ τρυφὴ πρόσεστιν αὐτοῖς, οὐδεὶς φθόνος, καὶ μάλιστα εἰ λογίσαιτό τις, οἷος ἂν οὗτος νήφων ἦν, ὅπου ταῦτα μεθύων ποιεῖ.

2 ΗΡΑ. Σύ μοι δοκεῖς ἐπαινέσεσθαι καὶ τὸ εὕρημα αὐτοῦ, τὴν ἄμπελον καὶ τὸν οἶνον, καὶ ταῦτα ὁρῶν, οἷα οἱ μεθυσθέντες ποιοῦσι σφαλλόμενοι καὶ πρὸς ὕβριν τρεπόμενοι καὶ ὅλως μεμηνότες ὑπὸ τοῦ ποτοῦ· τὸν γοῦν Ἰκάριον, ᾧ πρώτῳ ἔδωκε τὸ κλῆμα, οἱ ξυμπόται αὐτοὶ διέφθειραν παίοντες ταῖς δικέλλαις.

ΖΕΥΣ. Οὐδὲν τοῦτο φῄς· οὐ γὰρ ὁ οἶνος ταῦτα οὐδὲ ὁ Διόνυσος ποιεῖ, τὸ δὲ ἄμετρον τῆς πόσεως καὶ τὸ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι τοῦ ἀκράτου. ὃς δ' ἂν ἔμμετρα πίνῃ, ἱλαρώτερος μὲν καὶ ἡδίων γένοιτ' ἄν, οἷον δὲ ὁ Ἰκάριος ἔπαθεν, οὐδὲν ἂν ἐργάσαιτο οὐδένα τῶν ξυμποτῶν. ἀλλὰ σὺ ἔτι ζηλοτυπεῖν ἔοικας, ὦ Ἥρα, καὶ τῆς Σεμέλης μνημονεύειν, ἥ γε διαβάλλεις τοῦ Διονύσου τὰ κάλλιστα.

Dionysos. — τοῖς κλήμασιν, Weinranken. Worauf sich übrigens das bezieht, ist zweifelhaft. — διασπασθῆναι κτἑ. Pentheus, König von Thebae, der Sohn des Echion und der Agaue, der Tochter des Kadmos, leugnete die Gottheit des nach Thebae kommenden Dionysos, und wurde auf dem Kithäron von seiner eigenen Mutter in bakchischer Wuth zerfleischt. Ovid. Metam. 3, 512 ff. [des Euripides Bakchen.] — οὐδεὶς φθόνος, näml. ἐστί, man muss ihm das nicht verargen oder verübeln, es hat nichts auf sich, oft vorkommende Formel, Vit. auct. 21. Hermotim. 76. De conscr. hist. 8. Rhet. praec. 1. Pseudol. 30.

2. Ἰκάριον. Ikarios, ein Athenäer, nahm unter Pandion's Regierung den nach Attika kommenden Dionysos gastfreundlich auf. Dafür gab ihm derselbe die Rebe und Schläuche mit Wein, mit denen er im Lande herumfuhr und die Gabe des Gottes vertheilte. Hirten, die ihre davon berauschten Genossen für vergiftet hielten, tödteten ihn und stürzten ihn in einen Brunnen oder begruben ihn unter einem Baume. — οὐδὲν τοῦτο φῄς, = τοῦτο, ὃ φῄς, οὐδέν ἐστι, das ist nichts gesagt. Ebenso Dial. deor. 6, 5. Iup. trag. 32: ἀγροῖκον τοῦτο εἴρηκας. u. ö. Vgl. zu Gall. 26. — τὸ ἄμετρον, s. zu I, 8. — ἐμφορεῖσθαι τοῦ ἀκράτου. Prometh. 16: τῆς ἀμβροσίας ἐνεφορούμεθα, u. das. die Anm. — ἔμμετρα, Kr. Gr. §. 46, 5, 4. Philopseud. 38: παρθένος ἔμμετρα φθεγγομένη. Toxar. 62: ἄσκοπα τετοξεύκαμεν. u. s. — οὐδὲν .. οὐδένα, Kr. Gr. §. 67, 12, 1. Vgl. 16, 2: μὴ λέγε τοιοῦτον μηδέν. — ἥ γε, s. zu II, 25.

13 (19).

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

ΑΦΡ. Τί δήποτε, ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Δία, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς, καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾴς, κενὴ δὲ οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ καὶ ἄστοχος; 1

ΕΡ. Δέδια, ὦ μῆτερ, αὐτήν· φοβερὰ γάρ ἐστι καὶ χαροπὴ καὶ δεινῶς ἀνδρική· ὁπόταν γοῦν ἐντεινάμενος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον ἐκπλήττει με καὶ ὑπότρομος γίνομαι καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν.

ΑΦΡ. Ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν; καὶ ὅμως ἀφώπλισας αὐτὸν καὶ νενίκηκας.

ΕΡ. Ἀλλὰ ἐκεῖνος ἑκὼν προσίεταί με καὶ προσκαλεῖται, ἡ Ἀθηνᾶ δὲ ὑφορᾶται ἀεί, καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην πλησίον ἔχων τὴν λαμπάδα, ἡ δέ, εἴ μοι πρόσει, φησί, νὴ τὸν πατέρα, τῷ δορατίῳ σε διαπείρασα ἢ τοῦ ποδὸς λαβομένη καὶ ἐς τὸν Τάρταρον ἐμβαλοῦσα ἢ αὐτὴ διασπασαμένη διαφθερῶ. πολλὰ τοιαῦτα ἠπείλησε· καὶ ὁρᾷ δὲ δριμὺ καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερόν, ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα δέδια· μορμολύττεται γάρ με, καὶ φεύγω ὅταν ἴδω αὐτό.

ΑΦΡ. Ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας, ὡς φῄς, καὶ τὴν Γοργόνα, καὶ ταῦτα μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. αἱ δὲ Μοῦσαι διὰ τί σοι ἄτρωτοι καὶ ἔξω βελῶν εἰσιν; ἢ κἀκεῖναι λόφους ἐπισείουσι καὶ Γοργόνας προφαίνουσιν; 2

ΕΡ. Αἰδοῦμαι αὐτάς, ὦ μῆτερ· σεμναὶ γάρ εἰσι καὶ ἀεί

1. ἐπ' ἐκείνης, bei od. an ihr. Catapl. 4: μὴ ἐπὶ πάντων χρῶ τῇ κλεπτικῇ. — ἀφώπλισας αὐτ. καὶ νενίκηκας. „Man bemerke diese Zusammenstellung des Aorists und des Perfekts, du entwaffnetest ihn (momentan, bei einem und dem andern Vorfalle), νενίκηκας, du hast ihn besiegt, bist sein Besieger gewesen und giltst seitdem fortwährend dafür". Poppo. Vgl. oben 11, 1. — ἄλλως, von ungefähr, nur so, *temere*. — καὶ ὁρᾷ δέ, s. zu Todtengespr. 4, 1. — δριμύ. Kr. Gr. §. 46, 5, 6. Conviv. 16: δριμὺ καὶ παράφορον βλέπων u. s. — πρόσωπον, das Medusen- oder Gorgonenhaupt. Athene nämlich trug einen Schild, auf dessen Mitte das Medusenhaupt abgebildet war.

2. Μοῦσαι. Anthol. Pal. 9, 39:

Ἁ Κύπρις Μούσαισι· κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρων ὔμμιν ἐφοπλίσομαι.
χαἰ Μοῦσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

— ἔξω βελῶν, ausserhalb der

τι φροντίζουσι καὶ περὶ ᾠδὴν ἔχουσι, καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

ΑΦΡ. Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

ΕΡ. Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

ΑΦΡ. Τίνος, ὦ τέκνον;

ΕΡ. Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα καὶ ἑκηβόλον —

ΑΦΡ. Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

---

14 (20).

ΘΕΩΝ ΚΡΙΣΙΣ.

ΖΕΥΣ, ΕΡΜΗΣ, ΗΡΑ, ΑΘΗΝΑ, ΑΦΡΟΔΙΤΗ, ΠΑΡΙΣ Η ΑΛΕΞΑΝΔΡΟΣ.

1 ΖΕΥΣ. Ἑρμῆ, λαβὼν τουτὶ τὸ μῆλον ἄπιθι ἐς τὴν Φρυγίαν παρὰ τὸν Πριάμου παῖδα τὸν βουκόλον — νέμει δὲ τῆς Ἴδης ἐν τῷ Γαργάρῳ — καὶ λέγε πρὸς αὐτόν, ὅτι σέ, ὦ Πάρι, κελεύει ὁ Ζεύς, ἐπειδὴ καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικά, δικάσαι ταῖς θεαῖς, ἥτις αὐτῶν ἡ καλλίστη ἐστί· τοῦ δὲ ἀγῶνος τὸ ἆθλον ἡ νικῶσα λαβέτω τὸ μῆλον. ὥρα δὲ ἤδη καὶ ὑμῖν αὐταῖς ἀπιέναι παρὰ τὸν δικαστήν· ἐγὼ γὰρ ἀπα-

Schusslinie. Sonst bei Lucian in der Regel der Singular. ἔξω βέλους. — περὶ ᾠδὴν ἔχουσι, sind mit Gesang beschäftigt. Phalar 1, 4: κἀγὼ περὶ ταῦτα εἶχον. Saturn. 23: περὶ τἄλλα τῶν ὀψοποιῶν ἐχόντων. Macrob. 2. 18 u. ö. Ebenso ἀμφί τι ἔχειν. Kr. Gr. §. 68, 30, 3. — τὸ μὲν ὅλον, s. zu IV, 2. — τίνος. Wovon abhängig? — αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν. Kr. Gr. §. 55, 3, 20. Horat. od. I, 23, 9: *non ego te frangere persequor*. — πρὸς τῷ τ. ἐστίν, s. zu III, 5. De dom. 18: ὅλος δὲ πρὸς τοῖς ὁρωμένοις ἐστίν. — ἀδελφόν, den Apollon. — καίτοι .. ὄντα, s. zu II, 34. — καὶ αὐτόν, et ipsum. Uebrigens wird hier Eros von der Aphrodite unterbrochen; er wollte hinzufügen ἐτόξευσα.

1. τὸ μῆλον, der Eris. Zur Hochzeit des Peleus und der Thetis waren alle Götter eingeladen mit Ausnahme der Eris. Dennoch erschien sie, ward aber nicht zugelassen, und warf deswegen einen goldenen Apfel, der die Aufschrift hatte: „der Schönsten". unter die Gäste. Nun geriethen darüber Hera, Athene und Aphrodite in Streit. Darauf liess Zeus die Göttinnen auf Gargaron (s. zu 4, 2) zum Paris, der daselbst seine Heerden weidete, führen, damit dieser den Streit entscheide, und dieser denn sprach jenen Apfel, den Preis der Schönheit, der Aphrodite zu, weil sie ihm das schönste Weib, die Helene, zur Ehe verhiess. — ὅτι, Kr. Gr. §. 65, 1, 2. — ὑμῖν. Hiermitredet Zeus die Göttinnen selbst

θοῦμαι τὴν δίαιταν, ἐπ' ἴσης τε ὑμᾶς ἀγαπῶν καὶ εἴ γε οἷόν τε ἦν, ἡδέως ἂν ἁπάσας νενικηκυίας εἶδον. ἄλλως τε καὶ ἀνάγκη, μιᾷ τὸ καλλιστεῖον ἀποδόντα πάντως ἀπεχθάνεσθαι ταῖς πλείοσι. διὰ ταῦτα αὐτὸς μὲν οὐκ ἐπιτήδειος ὑμῖν δικαστής, ὁ δὲ νεανίας ὁ Φρύξ, ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι καὶ Γανυμήδους τούτου ξυγγενής, τἆλλα δὲ ἀφελὴς καὶ ὄρειος· οὐκ ἄν τις αὐτὸν ἀπαξιώσειε τοιαύτης θέας.

2 *ΑΦΡ.* Ἐγὼ μέν, ὦ Ζεῦ, εἰ καὶ τὸν Μῶμον αὐτὸν ἐπιστήσειας ἡμῖν δικαστήν, θαρροῦσα βαδιοῦμαι πρὸς τὴν ἐπίδειξιν· τί γὰρ ἂν καὶ μωμήσαιτό μου; χρὴ δὲ καὶ ταύταις ἀρέσκειν τὸν ἄνθρωπον.

ΗΡΑ. Οὐδ' ἡμεῖς, ὦ Ἀφροδίτη, δέδιμεν, οὐδ' ἂν ὁ Ἄρης ὁ σὸς ἐπιτραπῇ τὴν δίαιταν· ἀλλὰ δεχόμεθα καὶ τοῦτον, ὅστις ἂν ᾖ, τὸν Πάριν.

ΖΕΥΣ. Ἦ καὶ σοὶ ταῦτα, ὦ θύγατερ, συνδοκεῖ; τί φῄς; ἀποστρέφῃ καὶ ἐρυθριᾷς; ἔστι μὲν ἴδιον τὸ αἰδεῖσθαι τά γε τοιαῦτα ὑμῶν τῶν παρθένων· ἐπινεύεις δὲ ὅμως. ἄπιτε οὖν καὶ ὅπως μὴ χαλεπήνητε τῷ δικαστῇ αἱ νενικημέναι μηδὲ κακὸν ἐντρίψησθε τῷ νεανίσκῳ· οὐ γὰρ οἷόν τε ἐπ' ἴσης πάσας εἶναι καλάς.

3 *ΕΡΜ.* Προΐωμεν εὐθὺ τῆς Φρυγίας, ἐγὼ μὲν ἡγούμενος, ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι, καὶ θαρρεῖτε· οἶδα ἐγὼ τὸν Πάριν, νεανίας ἐστὶ καλὸς καὶ τὰ ἄλλα ἐρωτικὸς καὶ τὰ τοιαῦτα κρίνειν ἱκανώτατος· οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς.

ΑΦΡ. Τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις, τὸ

an. — ἀγαπῶν καὶ .. εἶδον. Beachte die Aenderung der Construction; sollte dieselbe beobachtet werden, dann musste Luc. im Particip. fortfahren. Allein derartige Uebergänge vom Particip. zum Verbum finitum sind nicht selten, sondern sehr häufig; vgl. Kr, Gr. §. 59, 2, 5. Auffälliger als hier Thucyd. 2,29: Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων βασιλεύς τε πρῶτος ἐγένετο. — δικαστής, näml. εἰμί.

2. τί .. μωμήσαιτό μου. Piscat. 42: καὶ ὅ τις ἂν μέμψαιτό σου μάλιστα. Kr. Gr. §. 47,10, 2. — ὁ σός, sarkastisch, dein Liebhaber. — ἐπιτραπῇ τὴν δίαιταν. Nigr. 34: οἱ τὰς πόλεις ἐπιτετραμμένοι. Kr. Gr. §. 52, 4, 5. — ὅπως μὴ χαλεπήνητε .. μηδὲ ἐντρίψησθε. Man sollte χαλεπανεῖτε und ἐντρίψεσθε erwarten, s. zu II, 48. Kr. Gr. §. 54, 8, 7. Allein bei einem Schriftsteller wie Lucian. darf man gegen alle Handschriften zu keinen gewaltsamen Aenderungen schreiten. Vgl. Cronosol. 10: ὑμεῖς δὲ ὁρᾶτε ὅπως μὴ παρανομήσητε μηδὲ παρακούσητε τῶνδε τῶν προσταγμάτων. — ἐντρίψησθε, s. zu III, 10.

3. βραδέως. Hermes, der schnelle Götterbote, fürchtet den Aufenthalt unterwegs, da er mit Weibern zu thun hat. — πρὸς ἐμοῦ, zu meinem Vortheil. Sophocl. Oed.

δίκαιον ἡμῖν εἶναι τὸν δικαστήν. πότερα δὲ ἄγαμός τίς ἐστιν οὗτος ἢ καὶ γυνή τις αὐτῷ σύνεστιν;

ΕΡΜ. *Οὐ παντελῶς ἄγαμος, ὦ Ἀφροδίτη.*

ΑΦΡ. *Πῶς λέγεις;*

ΕΡΜ. *Δοκεῖ τις αὐτῷ συνοικεῖν Ἰδαία γυνή, ἱκανὴ μέν, ἀγροῖκος δὲ καὶ δεινῶς ὄρειος, ἀλλ' οὐ σφόδρα προσέχειν αὐτῇ ἔοικε. τίνος δ' οὖν ἕνεκα ταῦτα ἐρωτᾷς;*

ΑΦΡ. *Ἄλλως ἠρόμην.*

4 ΑΘ. *Παραπρεσβεύεις, ὦ οὗτος, ἰδίᾳ ταύτῃ κοινολογούμενος.*

ΕΡΜ. *Οὐδέν, ὦ Ἀθηνᾶ, δεινόν, οὐδὲ καθ' ὑμῶν, ἀλλ' ἤρετό με, εἰ ἄγαμος ὁ Πάρις ἐστίν.*

ΑΘ. *Ὡς δὴ τί τοῦτο πολυπραγμονοῦσα;*

ΕΡΜ. *Οὐκ οἶδα· φησὶ δ' οὖν ὅτι ἄλλως ἐπελθόν, οὐκ ἐξεπίτηδες ἤρετο.*

ΑΘ. *Τί οὖν; ἄγαμός ἐστιν;*

ΕΡΜ. *Οὐ δοκεῖ.*

ΑΘ. *Τί δαί; τῶν πολεμικῶν ἐστιν αὐτῷ ἐπιθυμία καὶ φιλόδοξός τις ἢ τὸ πᾶν βουκόλος;*

ΕΡΜ. *Τὸ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, εἰκάζειν δὲ χρὴ νέον ὄντα καὶ τούτων ὀρέγεσθαι τυχεῖν, καὶ βούλεσθαι ἂν πρῶτον αὐτὸν εἶναι κατὰ τὰς μάχας.*

ΑΦΡ. *Ὁρᾷς; οὐδὲν ἐγὼ μέμφομαι οὐδὲ ἐγκαλῶ σοι πρὸς ταύτην ἰδίᾳ λαλεῖν· μεμψιμοίρων γὰρ καὶ οὐκ Ἀφροδίτης τὰ τοιαῦτα.*

ΕΡΜ. *Καὶ αὕτη σχεδὸν ταὐτά με ἤρετο· διὸ μὴ χαλεπῶς ἔχε μηδ' οἴου μειονεκτεῖν, εἴ τι καὶ ταύτῃ κατὰ τὸ ἁπλοῦν*

tyr. 1434: *πρὸς σοῦ γάρ, οὐδ' ἐμοῦ, φράσω.* Aristophan. vesp. 647: *τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶναι χαλεπὸν μὴ πρὸς ἐμοῦ λέγοντι.* u. s. Kr. Gr. §. 68, 37, 1. — *πότερα*, seltener als *πότερον*. — *Ἰδαία γυνή*, Oenone, die Tochter des Flussgottes Kebren. — *ἱκανή*, quae sufficit, d. i. schön genug. — *οὐ σφόδρα προσέχειν αὐτῇ*, sich nicht viel aus ihr machen. — *ἄλλως*, nur so, *temere*, Piscat. 20: *ἄλλως τοῦτο ἠρόμην.* u. s.

4. *ὦ οὗτος*, *heus tu*, mein Lieber, oft bei Lucian., vgl. §. 9: *ὦ αὗται.* — *ὡς δή τι.* Seltnere elliptische Formel wie sonst *ἵνα τί*, s. Kr. Gr. §. 51, 17, 8. Ebenso Necyom. 8. — *τοῦτο.* Welches Verbum ist zu ergänzen? — *ἄλλως ἐπελθόν*, in dem es ihr nur so beikam, Accusativ. absolut., Kr. Gr. §. 56, 9, 5. Ebenso *κεκελευσμένον* §. 8. — *ἄγαμός ἐστιν;* Athene fragt deshalb so, weil sie fürchtete, Paris könnte noch unverheirathet sein und dann zu Gunsten der Aphrodite entscheiden. — *τὸ πᾶν*, ganz und gar. — *βούλεσθαι ἄν.* Warum *ἄν* erst hier und nicht schon bei *ὀρέγεσθαι*? Vgl. Kr. Gr. §. 69, 7, 1. — *κατὰ τὸ ἁπλοῦν*, schlicht, schlechthin. Ebenso *κατὰ τὸ ἀκούσιον* Piscat. 12. u. s.

ἀπεκρινάμην. ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες ἀπε- 5
σπάσαμεν τῶν ἀστέρων καὶ σχεδόν γε κατὰ τὴν Φρυγίαν
ἐσμέν. ἐγὼ δὲ καὶ τὴν Ἴδην ὁρῶ καὶ τὸ Γάργαρον ὅλον
ἀκριβῶς, εἰ δὲ μὴ ἐξαπατῶμαι, καὶ αὐτὸν ὑμῶν τὸν δικαστὴν
τὸν Πάριν.

ΗΡΑ. Ποῦ δέ ἐστιν; οὐ γὰρ κἀμοὶ φαίνεται.

ΕΡΜ. Ταύτῃ, ὦ Ἥρα, πρὸς τὰ λαιὰ περισκόπει, μὴ πρὸς
ἄκρῳ τῷ ὄρει, παρὰ δὲ τὴν πλευράν, οὗ τὸ ἄντρον, ἔνθα τὴν
ἀγέλην ὁρᾷς.

ΗΡΑ. Ἀλλ᾽ οὐχ ὁρῶ τὴν ἀγέλην.

ΕΡΜ. Πῶς φῄς; οὐχ ὁρᾷς βοίδια κατὰ τὸν ἐμὸν οὑτωσὶ
δάκτυλον ἐκ μέσων τῶν πετρῶν προερχόμενα, καί τινα ἐκ
τοῦ σκοπέλου καταθέοντα καλαύροπα ἔχοντα καὶ ἀνείργοντα
μὴ πρόσω διασκίδνασθαι τὴν ἀγέλην;

ΗΡΑ. Ὁρῶ νῦν, εἴ γε ἐκεῖνός ἐστιν.

ΕΡΜ. Ἀλλ᾽ ἐκεῖνος. ἐπειδὴ δὲ πλησίον ἤδη ἐσμέν, ἐπὶ
τῆς γῆς, εἰ δοκεῖ, καταστάντες βαδίζωμεν, ἵνα μὴ διαταράξω-
μεν αὐτὸν ἄνωθεν ἐξ ἀφανοῦς καθιπτάμενοι.

ΗΡΑ. Εὖ λέγεις, καὶ οὕτω ποιῶμεν. ἐπεὶ δὲ καταβεβή-
καμεν, ὥρα σοι, ὦ Ἀφροδίτη, προϊέναι καὶ ἡγεῖσθαι ἡμῖν
τῆς ὁδοῦ· σὺ γάρ, ὡς τὸ εἰκός, ἔμπειρος εἶ τοῦ χωρίου, πολ-
λάκις, ὡς λόγος, κατελθοῦσα πρὸς Ἀγχίσην.

ΑΦΡ. Οὐ σφόδρα, ὦ Ἥρα, τούτοις ἄχθομαι τοῖς σκώμ-
μασιν.

ΕΡΜ. Ἀλλ᾽ ἐγὼ ὑμῖν ἡγήσομαι· καὶ γὰρ αὐτὸς ἐνδιέ- 6
τριψα τῇ Ἴδῃ, ὁπότε δὴ ὁ Ζεὺς ἤρα τοῦ μειρακίου τοῦ Φρυ-
γός, καὶ πολλάκις δεῦρο ἦλθον ὑπ᾽ ἐκείνου καταπεμφθεὶς ἐς
ἐπισκοπὴν τοῦ παιδός, καὶ ὁπότε γε ἤδη ἐν τῷ ἀετῷ ἦν,
συμπαριπτάμην αὐτῷ καὶ συνεκούφιζον τὸν καλόν, καὶ εἴ γε
μέμνημαι, ἀπὸ ταυτησὶ τῆς πέτρας αὐτὸν ἀνήρπασεν. ὁ μὲν

5. *μεταξὺ λόγων*, s. zu IV, 24. — *πολύ* gehört zu *ἀπεσπάσαμεν*. Ueber *ἀπεσπάσαμεν* s. zu IV, 21. — *κατὰ τὸν ἐμὸν οὑτωσὶ δάκτυλον*, so nach Art meines Fingers, d. i. so klein wie mein Finger. — *ἀνείργοντα μή*, Kr. Gr. §. 67, 12, 3. Vgl. zu III, 6. — *διασκίδνασθαι*. In Prosa erst seit Aristoteles vorkommende Form. — *Ἀλλ᾽ ἐκεῖνος*, freilich ist er's; s. zu II, 36. Toxar. 50. — *καθιπτάμενοι*, unattische, aber bei Späteren häufige Form für *καταπετόμενοι*. Vgl. §. 6. *συμπαριπτάμην*. Catapl. 2: *ἀνίπταται*. Amor. 6: *διιπτάμεθα*. — *ὡς τὸ εἰκός*, wie natürlich, oft bei Lucian., minder häufig *ὡς εἰκός*.

6. *ὁπότε δή*, als eben. Ebenso *ὅτε δή*. — *ἐν τῷ ἀετῷ ἦν*, d. i. als er die Gestalt des Adlers angenommen hatte. Vgl. Asin. 56: *καλλίων αὐτῇ φανεῖσθαι λέγων νῦν*

γὰρ ἔτυχε τότε συρίζων πρὸς τὸ ποίμνιον· καταπτάμενος δὲ ὄπισθεν αὐτὸς ὁ Ζεύς, κούφως μάλα τοῖς ὄνυξι περιβαλὼν καὶ τῷ στόματι τὴν ἐπὶ τῇ κεφαλῇ τιάραν ἔχων, ἀνέφερε τὸν παῖδα τεταραγμένον καὶ τῷ τραχήλῳ ἀπεστραμμένῳ ἐς αὐτὸν ἀποβλέποντα. τότε οὖν ἐγὼ τὴν σύριγγα λαβὼν — ἀποβεβλήκει γὰρ αὐτὴν ὑπὸ τοῦ δέους — — ἀλλὰ γὰρ ὁ διαιτητὴς
7 οὑτοσὶ πλησίον, ὥστε προσείπωμεν αὐτόν. Χαῖρε, ὦ βουκόλε.

ΠΑΡ. [Νὴ] καὶ σύ γε, ὦ νεανίσκε. τίς δὲ ὢν δεῦρο ἀφῖξαι πρὸς ἡμᾶς; ἢ τίνας ταύτας ἄγεις τὰς γυναῖκας; οὐ γὰρ ἐπιτήδειαι ὀρεοπολεῖν, οὕτω γε οὖσαι καλαί.

ΕΡΜ. Ἀλλ' οὐ γυναῖκές εἰσιν, Ἥραν δέ, ὦ Πάρι, καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην ὁρᾷς, κἀμὲ τὸν Ἑρμῆν ὁ Ζεὺς ἀπέστειλεν. ἀλλὰ τί τρέμεις καὶ ὠχριᾷς; μὴ δέδιθι· χαλεπὸν γὰρ οὐδέν· κελεύει δέ σε δικαστὴν γενέσθαι τοῦ κάλλους αὐτῶν· Ἐπεὶ γάρ, φησί, καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικά, σοὶ τὴν γνῶσιν ἐπιτρέπω, τοῦ δὲ ἀγῶνος τὸ ἆθλον εἴσῃ ἀναγνοὺς τὸ μῆλον.

ΠΑΡ. Φέρ' ἴδω τί καὶ βούλεται. Ἡ ΚΑΛΗ, φησί, ΛΑΒΕΤΩ. πῶς ἂν οὖν, ὦ δέσποτα Ἑρμῆ, δυνηθείην ἐγὼ θνητὸς αὐτὸς καὶ ἀγροῖκος ὢν δικαστὴς γενέσθαι παραδόξου θέας καὶ μείζονος ἢ κατὰ βουκόλον; τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον καὶ ἀστικῶν· τὸ δὲ ἐμόν, αἶγα μὲν αἰγὸς ὁποτέρα καλλίων καὶ δάμαλιν ἄλλης δαμάλεως, τάχ' ἂν δι-
8 κάσαιμι κατὰ τὴν τέχνην· αὗται δὲ πᾶσαί τε ὁμοίως καλαὶ καὶ οὐκ οἶδ' ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας· οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥᾳ-

ἐν ἀνθρώπῳ ὤν. — λαβών, Aposiopesis. — ἀποβεβλήκει. Das Augmentum fehlt bei Lucian mehrfach beim Plusquamperf. — ὑπὸ τοῦ δέους, s. zu II, 40. — ἀλλὰ γάρ, *at enim*. Diese Partikeln sind auf elliptische Weise zusammengestellt, wobei man den zu ἀλλά gehörigen Gedanken (doch ich will davon abbrechen; denn u. s. w.) aus dem Zusammenhange zu ergänzen hat. De merc. cond. 1. Bis accus. 26. Amor. 23. Kr. Gr. §. 69, 14, 4.

7. τίνας ταύτας ἄγεις τὰς γυναῖκας = τίνες αὗταί εἰσιν αἱ γυναῖκες, ἃς ἄγεις, s. zu IV, 11. — ὀρεοπολεῖν. Nur hier vorkommendes Wort. — κελεύει, näml. Ζεύς. — φέρ' ἴδω, Kr. Gr. §. 54, 2, 1. — τί καὶ βούλεται, *quid tandem sibi velit*, näml. die Aufschrift. — πῶς ἂν οὖν. Bei anderen Schriftstellern, wie Xenophon, ist nach den besseren Handschriften die gewöhnlichere Wortstellung πῶς οὖν ἄν. — ἢ κατά, als dass es ein Kuhhirt beurtheilen kann, Kr. Gr. §. 49, 4. — τὸ δὲ ἐμόν, *quod vero ad me attinet*. Vgl. Gall. 3. — αἶγα κτέ. Icaromenipp. 8: τὴν μὲν γὰρ ἐναντιότητα ὁπόση τῶν λόγων ῥάδιον καταμαθεῖν. Vitar. auct. 16: οὐχ ὁρᾷς τὸν Ἄνουβιν τὸν ἐν Αἰγύπτῳ ὅσος;

8. ἐθέλει, näml. ἡ ὄψις. — ἀπο-

δίως, ἀλλ' ἔνθα ἂν ἀπερείσῃ τὸ πρῶτον, τούτου ἔχεται καὶ τὸ παρὸν ἐπαινεῖ· κἂν ἐπ' ἄλλο μεταβῇ, κἀκεῖνο καλὸν ὁρᾷ καὶ παραμένει καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται, καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτῶν καὶ ὅλον περιείληφέ με καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτός, ὥσπερ ὁ Ἄργος, ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. δοκῶ δ' ἄν μοι καλῶς δικάσαι, πάσαις ἀποδοὺς τὸ μῆλον. καὶ γὰρ αὖ καὶ τόδε, ταύτην μὲν εἶναι συμβέβηκε τοῦ Διὸς ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας. πῶς οὖν οὐ χαλεπὴ καὶ οὕτως ἡ κρίσις;

ΕΡΜ. Οὐκ οἶδα· πλὴν οὐχ οἷόν τε ἀναδῦναι πρὸς τοῦ Διὸς κεκελευσμένον.

ΠΑΡ. Ἓν τοῦτο, ὦ Ἑρμῆ, πεῖσον αὐτάς, μὴ χαλεπῶς ἔχειν μοι τὰς δύο τὰς νενικημένας, ἀλλὰ μόνων τῶν ὀφθαλμῶν ἡγεῖσθαι τὴν διαμαρτίαν. 9

ΕΡΜ. Οὕτω φασὶ ποιήσειν· ὥρα δέ σοι ἤδη περαίνειν τὴν κρίσιν.

ΠΑΡ. Πειρασόμεθα· τί γὰρ ἂν καὶ πάθοι τις; ἐκεῖνο δὲ πρότερον εἰδέναι βούλομαι, πότερα ἐξαρκέσει σκοπεῖν αὐτάς, ὡς ἔχουσιν, ἢ καὶ ἀποδῦσαι δεήσει πρὸς τὸ ἀκριβὲς τῆς ἐξετάσεως;

ΕΡΜ. Τοῦτο μὲν σὸν ἂν εἴη τοῦ δικαστοῦ, καὶ πρόσταττε, ὅπῃ καὶ θέλεις.

ΠΑΡ. Ὅπῃ καὶ θέλω; γυμνὰς ἰδεῖν βούλομαι.

ΕΡΜ. Ἀπόδυτε, ὦ αὗται· σὺ δὲ ἐπισκόπει· ἐγὼ δὲ ἀπεστράφην.

ΗΡΑ. Καλῶς, ὦ Πάρι· καὶ πρώτη γε ἀποδύσομαι, ὅπως μάθῃς, ὅτι μὴ μόνας ἔχω τὰς ὠλένας λευκὰς μηδὲ τῷ 10

ρείσῃ, näml. τὴν ὄψιν. Icaromenipp. 12: τὴν ὄψιν εἴσω ἀπηρεισάμην. — καλόν, als etwas Schönes. — ὑπὸ τῶν πλησίον, von den nächsten Gegenständen. — ὁ Ἄργος, s. oben zu 3, 1. — καὶ γὰρ αὖ καὶ τόδε, denn es kommt auch wieder das in Betracht. Die Verbindung καὶ γὰρ αὖ καί ist sehr häufig bei Lucian., vgl. Piscat. 34. De sacrif. 6. De merc. cond. 27. 36. De morte Peregr. 21 u. s. — συμβέβηκε, s. zu IV, 16. — καὶ οὕτως, auch so, auch in dieser Beziehung. — ἀναδῦναι, zurücktreten, sich zurückziehen; vgl. Pro imagin. 16. — κεκελευσμένον, da es befohlen worden ist; s. zu §. 4.

9. τί γὰρ ἂν καὶ πάθοι τις, s. zu II, 39. — ὡς ἔχουσιν, wie sie da sind. — πρὸς τὸ ἀκριβὲς τῆς ἐξετάσεως, d. i. behufs genauer Untersuchung. — σὸν ἂν εἴη τοῦ δικαστοῦ. Iup. tragoed. 22: ὑμέτερον ἂν εἴη ἰᾶσθαι ταῦτα τῶν προαγαγόντων. Apol. pro merc. cond. 4: τὸ δὲ σὸν οὐ παρὰ μικρὸν ἀτοπώτερον ἀκριβοῦντος.. καὶ κατηγοροῦντος. u. s. Gall. 29. Ebenso im Latein., *nomen meum absentis* Cic. Planc. 10, 26 u. s. Kr. Gr. §. 47, 5, 1. — ἐγὼ δὲ ἀπεστράφην,

βοῶπις εἶναι μέγα φρονῶ, ἐπ' ἴσης δέ εἰμι πᾶσα καὶ ὁμοίως καλή.

ΠΑΡ. Ἀπόδυθι καὶ σύ, ὦ Ἀφροδίτη.

ΑΘ. Μὴ πρότερον ἀποδύσῃς αὐτήν, ὦ Πάρι, πρὶν ἂν τὸν κεστὸν ἀπόθηται — φαρμακὶς γάρ ἐστι — μή σε καταγοητεύσῃ δι' αὐτοῦ. καίτοι γε ἐχρῆν μηδὲ οὕτω κεκαλλωπισμένην παρεῖναι μηδὲ τοσαῦτα ἐντετριμμένην χρώματα καθάπερ ὡς ἀληθῶς ἑταίραν τινά, ἀλλὰ γυμνὸν τὸ κάλλος ἐπιδεικνύειν.

ΠΑΡ. Εὖ λέγουσι τὸ περὶ τοῦ κεστοῦ, καὶ ἀπόθου.

ΑΦΡ. Τί οὖν οὐχὶ καὶ σύ, ὦ Ἀθηνᾶ, τὴν κόρυν ἀφελοῦσα ψιλὴν τὴν κεφαλὴν ἐπιδεικνύεις, ἀλλ' ἐπισείεις τὸν λόφον καὶ τὸν δικαστὴν φοβεῖς; ἢ δέδιας, μή σοι ἐλέγχηται τὸ γλαυκὸν τῶν ὀμμάτων ἄνευ τοῦ φοβεροῦ βλεπόμενον;

ΑΘ. Ἰδού σοι ἡ κόρυς αὕτη ἀφῄρηται.

ΑΦΡ. Ἰδοὺ καί σοι ὁ κεστός.

ΗΡΑ. Ἀλλὰ ἀποδυσώμεθα.

11 ΠΑΡ. Ὦ Ζεῦ τεράστιε τῆς θέας, τοῦ κάλλους, τῆς ἡδονῆς. οἵα μὲν ἡ παρθένος, ὡς δὲ βασιλικὸν αὕτη καὶ σεμνὸν ἀπολάμπει καὶ ἀληθῶς ἄξιον τοῦ Διός, ὡς δὲ ὁρᾷ ἥδε ἡδέως, καὶ γλαφυρόν τι καὶ προσαγωγὸν ἐμειδίασεν. ἀλλ' ἤδη μὲν ἅλις ἔχω τῆς εὐδαιμονίας· εἰ δοκεῖ δέ, καὶ ἰδίᾳ καθ' ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι καὶ οὐκ οἶδα πρὸς ὅ τι ἀποβλέψω πάντῃ τὰς ὄψεις περισπώμενος.

ΑΦΡ. Οὕτω ποιῶμεν.

ΠΑΡ. Ἄπιτε οὖν αἱ δύο· σὺ δέ, ὦ Ἥρα, περίμενε.

ΗΡΑ. Περιμενῶ, κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα σοι

ich aber habe mich abgewandt.

10. ἐπ' ἴσης .. ὁμοίως. Ersteres bezieht sich auf die Quantität, letzteres auf die Qualität. — μὴ πρότερον ἀποδύσῃς αὐτήν, d. i. lass dieselbe sich nicht eher ausziehen. — τὸν κεστόν. Der Sitz der bezaubernden Gewalt, die Aphrodite über Götter und Menschen ausübt, ist ihr Gürtel; vgl. Il. 14, 214 ff. — φαρμακὶς γάρ ἐστι, s. zu IV, 10. — καίτοι γε. Steht γὲ gleich nach καίτοι, so afficirt es den ganzen Satz; sind aber die Partikeln getrennt, so hebt γὲ das Wort, nach dem es steht, hervor. Ebenso wie hier Abdicat. 18. 19. Parasit. 10. u. s. Dasselbe gilt von μέντοι γε. — ὡς ἀληθῶς, s. zu I, 10. — Εὖ λέγουσι κτέ. Diese Worte spricht Paris zur Aphrodite gewandt. — τί οὖν οὐχὶ .. ἐπιδεικνύεις, s. zu II, 31.

11. ὦ Ζεῦ τεράστιε, s. oben zu Todtengespr. 20, 4. — τῆς θέας, Kr. Gr. §. 47, 3, 1. — οἵα μὲν ἡ παρθένος, Athene. — αὕτη, Hera. — ἥδε, Aphrodite. — καθ' ἑκάστην, *singulas*. Toxar. 30: ἀνεσκοπεῖτο καθ' ἕκαστον τῶν δεδεμένων. Iupit.

καὶ ἄλλα ἤδη σκοπεῖν, εἰ καλά σοι καὶ τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς· ἢν γάρ με, ὦ Πάρι, δικάσῃς εἶναι καλήν, ἁπάσης ἔσῃ τῆς Ἀσίας δεσπότης.

ΠΑΡ. *Οὐκ ἐπὶ δώροις μὲν τὰ ἡμέτερα. ἀλλ' ἄπιθι· πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ. σὺ δὲ πρόσιθι ἡ Ἀθηνᾶ.* 12

ΑΘ. *Παρέστηκά σοι, κἀτα ἤν με, ὦ Πάρι, δικάσῃς καλήν, οὔποτε ἥττων ἄπει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν· πολεμιστὴν γάρ σε καὶ νικηφόρον ἀπεργάσομαι.*

ΠΑΡ. *Οὐδέν, ὦ Ἀθηνᾶ, δεῖ μοι πολέμου καὶ μάχης· εἰρήνη γάρ, ὡς ὁρᾷς, τὰ νῦν ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν καὶ ἀπολέμητος ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. θάρρει δέ· οὐ μειονεκτήσεις γάρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. ἀλλ' ἔνδυθι ἤδη καὶ ἐπίθου τὴν κόρυν· ἱκανῶς γὰρ εἶδον. τὴν Ἀφροδίτην παρεῖναι καιρός.*

ΑΦΡ. *Αὕτη σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς μηδὲν παρατρέχων, ἀλλ' ἐνδιατρίβων ἑκάστῳ τῶν μερῶν. εἰ δ' ἐθέλεις, ὦ καλέ, καὶ τάδε μου ἄκουσον· ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα καὶ καλόν, ὁποῖον οὐκ οἶδ' εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους καὶ ταυτασὶ τὰς πέτρας κατ' ἄστυ ζῆν, ἀλλὰ διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ. τί μὲν γὰρ ἂν σὺ ἀπολαύσειας τῶν ὀρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βόες; ἔπρεπε δὲ ἤδη σοι καὶ γεγαμηκέναι, μὴ μέντοι ἀγροῖκόν τινα καὶ χωρῖτιν, οἷαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος, ἢ Ἀργόθεν ἢ ἐκ Κορίνθου ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστί, νέα τε καὶ καλὴ καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική. ἐκείνη γὰρ δὴ εἰ καὶ μόνον θεάσαιτό σε, οἶδα ἐγώ, πάντα ἀπολιποῦσα καὶ παρασχοῦσα ἑαυτὴν ἔκδοτον ἕψεται καὶ συνοικήσει. πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς.* 13

conf. 17 u. s. Ebenso im Folg. *καθ' ἕν.* — *τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς*, d. i. *dona suffragii mihi dati*, *τῆς ἐμῆς* also objectiv., Kr. Gr. §. 47, 7, 8. Sophocl. Electr. 343: *τἀμὰ νουθετήματα*, die Ermahnungen, die du mir gibst. — *οὐκ ἐπὶ δώροις τὰ ἡμέτερα*, d. i. unsere Sache bezweckt nicht Geschenke. — *πεπράξεται.* Ueber die Bedeutung dieses dritten Futur. s. Kr. Gr. §. 53, 9, 3.

12. *τὰ νῦν*, für jetzt, Kr. Gr. §. 50, 5, 13.

13. *αὕτη*, deiktisch, hier. — *ἐγὼ γάρ*, ich nämlich. — *αἰτιῶμαι δὲ τὸ μή*, ich mache dir es aber zum Vorwurf, dass du nicht u. s. w. — *ἀπόναιντο*, mehr poetisches Wort; auch Amor. 52. u. Paras. 1. — *ἔπρεπε*, *decebat.* — *γὰρ δή*, *nam profecto* od. *utique*, sehr häufig bei Lucian. — *οἶδα ἐγώ*,

τι φροντίζουσι καὶ περὶ ᾠδὴν ἔχουσι, καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

ΑΦΡ. Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

ΕΡ. Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

ΑΦΡ. Τίνος, ὦ τέκνον;

ΕΡ. Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα καὶ ἑκηβόλον —

ΑΦΡ. Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

---

14 (20).

ΘΕΩΝ ΚΡΙΣΙΣ.

ΖΕΥΣ, ΕΡΜΗΣ, ΗΡΑ, ΑΘΗΝΑ, ΑΦΡΟΔΙΤΗ, ΠΑΡΙΣ Η ΑΛΕΞΑΝΔΡΟΣ.

1 *ΖΕΥΣ. Ἑρμῆ, λαβὼν τουτὶ τὸ μῆλον ἄπιθι ἐς τὴν Φρυγίαν παρὰ τὸν Πριάμου παῖδα τὸν βουκόλον — νέμει δὲ τῆς Ἴδης ἐν τῷ Γαργάρῳ — καὶ λέγε πρὸς αὐτόν, ὅτι σέ, ὦ Πάρι, κελεύει ὁ Ζεύς, ἐπειδὴ καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικά, δικάσαι ταῖς θεαῖς, ἥτις αὐτῶν ἡ καλλίστη ἐστί· τοῦ δὲ ἀγῶνος τὸ ἆθλον ἡ νικῶσα λαβέτω τὸ μῆλον. ὥρα δὲ ἤδη καὶ ὑμῖν αὐταῖς ἀπιέναι παρὰ τὸν δικαστήν· ἐγὼ γὰρ ἀπω-*

Schusslinie. Sonst bei Lucian. in der Regel der Singular. *ἔξω βέλους.* — *περὶ ᾠδὴν ἔχουσι*, sind mit Gesang beschäftigt. Phalar 1, 4: *κἀγὼ περὶ ταῦτα εἶχον.* Saturn. 23: *περὶ τἄλλα τῶν ὀψοποιῶν ἐχόντων.* Macrob. 2. 18 u. ö. Ebenso *ἀμφί τι ἔχειν.* Kr. Gr. §. 68, 30, 3. — *τὸ μὲν ὅλον*, s. zu IV, 2. — *τίνος.* Wovon abhängig? — *αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν.* Kr. Gr. §. 55, 3, 20. Horat. od. 1, 23, 9: *non ego te frangere persequor.* — *πρὸς τῷ τ. ἐστίν*, s. zu III, 5. De dom. 18: *ὅλος δὲ πρὸς τοῖς ὁρωμένοις ἐστίν.* — *ἀδελφόν*, den Apollon. — *καίτοι .. ὄντα*, s. zu II, 34. — *καὶ αὐτόν*, *et ipsum.* Uebrigens wird hier Eros von der Aphrodite unterbrochen; er wollte hinzufügen *ἐτόξευσα.*

1. *τὸ μῆλον*, der Eris. Zur Hochzeit des Peleus und der Thetis waren alle Götter eingeladen mit Ausnahme der Eris. Dennoch erschien sie, ward aber nicht zugelassen, und warf deswegen einen goldenen Apfel, der die Aufschrift hatte: „der Schönsten“, unter die Gäste. Nun geriethen darüber Hera, Athene und Aphrodite in Streit. Darauf liess Zeus die Göttinnen auf Gargaron (s. zu 4, 2) zum Paris, der daselbst seine Heerden weidete, führen, damit dieser den Streit entscheide, und dieser denn sprach jenen Apfel, den Preis der Schönheit, der Aphrodite zu, weil sie ihm das schönste Weib, die Helene, zur Ehe verhiess. — *ὅτι*, Kr. Gr. §. 65, 1, 2. — *ὑμῖν.* Hiermit redet Zeus die Göttinnen selbst

θοῦμαι τὴν δίαιταν, ἐπ' ἴσης τε ὑμᾶς ἀγαπῶν καὶ εἴ γε οἷόν τε ἦν, ἡδέως ἂν ἁπάσας νενικηκυίας εἶδον. ἄλλως τε καὶ ἀνάγκη, μιᾷ τὸ καλλιστεῖον ἀποδόντα πάντως ἀπεχθάνεσθαι ταῖς πλείοσι. διὰ ταῦτα αὐτὸς μὲν οὐκ ἐπιτήδειος ὑμῖν δικαστής, ὁ δὲ νεανίας ὁ Φρύξ, ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι καὶ Γανυμήδους τούτου ξυγγενής, τἆλλα δὲ ἀφελὴς καὶ ὄρειος· οὐκ ἄν τις αὐτὸν ἀπαξιώσειε τοιαύτης θέας.

ΑΦΡ. Ἐγὼ μέν, ὦ Ζεῦ, εἰ καὶ τὸν Μῶμον αὐτὸν ἐπιστήσειας ἡμῖν δικαστήν, θαρροῦσα βαδιοῦμαι πρὸς τὴν ἐπίδειξιν· τί γὰρ ἂν καὶ μωμήσαιτό μου; χρὴ δὲ καὶ ταύταις ἀρέσκειν τὸν ἄνθρωπον. 2

ΗΡΑ. Οὐδ' ἡμεῖς, ὦ Ἀφροδίτη, δέδιμεν, οὐδ' ἂν ὁ Ἄρης ὁ σὸς ἐπιτραπῇ τὴν δίαιταν· ἀλλὰ δεχόμεθα καὶ τοῦτον, ὅστις ἂν ᾖ, τὸν Πάριν.

ΖΕΥΣ. Ἦ καὶ σοὶ ταῦτα, ὦ θύγατερ, συνδοκεῖ; τί φῄς; ἀποστρέφῃ καὶ ἐρυθριᾷς; ἔστι μὲν ἴδιον τὸ αἰδεῖσθαι τά γε τοιαῦτα ὑμῶν τῶν παρθένων· ἐπινεύεις δὲ ὅμως. ἄπιτε οὖν καὶ ὅπως μὴ χαλεπήνητε τῷ δικαστῇ αἱ νενικημέναι μηδὲ κακὸν ἐντρίψησθε τῷ νεανίσκῳ· οὐ γὰρ οἷόν τε ἐπ' ἴσης πάσας εἶναι καλάς.

ΕΡΜ. Προΐωμεν εὐθὺ τῆς Φρυγίας, ἐγὼ μὲν ἡγούμενος, ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι, καὶ θαρρεῖτε· οἶδα ἐγὼ τὸν Πάριν, νεανίας ἐστὶ καλὸς καὶ τὰ ἄλλα ἐρωτικὸς καὶ τὰ τοιαῦτα κρίνειν ἱκανώτατος· οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς. 3

ΑΦΡ. Τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις, τὸ

an. — ἀγαπῶν καὶ .. εἶδον. Beachte die Aenderung der Construction; sollte dieselbe beobachtet werden, dann musste Luc. im Particip. fortfahren. Allein derartige Uebergänge vom Particip. zum Verbum finitum sind nicht selten, sondern sehr häufig; vgl. Kr, Gr. §. 59, 2, 5. Auffälliger als hier Thucyd. 2,29: Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων βασιλεύς τε πρῶτος ἐγένετο. — δικαστής, näml. εἰμί.

2. τί .. μωμήσαιτό μου. Piscat. 42: καὶ ὅ τις ἂν μέμψαιτό σου μάλιστα. Kr. Gr. §. 47, 10, 2. — ὁ σός, sarkastisch, dein Liebhaber. — ἐπιτραπῇ τὴν δίαιταν. Nigr. 34: οἱ τὰς πόλεις ἐπιτετραμμένοι. Kr. Gr. §. 52, 4, 5. — ὅπως μὴ χαλεπήνητε .. μηδὲ ἐντρίψησθε. Man sollte χαλεπανεῖτε und ἐντρίψεσθε erwarten, s. zu II, 48. Kr. Gr. §. 54, 8, 7. Allein bei einem Schriftsteller wie Lucian. darf man gegen alle Handschriften zu keinen gewaltsamen Aenderungen schreiten. Vgl. Cronosol. 10: ὑμεῖς δὲ ὁρᾶτε ὅπως μὴ παρανομήσητε μηδὲ παρακούσητε τῶνδε τῶν προσταγμάτων. — ἐντρίψησθε, s. zu III, 10.

3. βραδέως. Hermes, der schnelle Götterbote, fürchtet den Aufenthalt unterwegs, da er mit Weibern zu thun hat. — πρὸς ἐμοῦ, zu meinem Vortheil. Sophocl. Oed.

δίκαιον ἡμῖν εἶναι τὸν δικαστήν. πότερα δὲ ἄγαμός τίς ἐστιν οὗτος ἢ καὶ γυνή τις αὐτῷ σύνεστιν;

ΕΡΜ. *Οὐ παντελῶς ἄγαμος, ὦ Ἀφροδίτη.*

ΑΦΡ. *Πῶς λέγεις;*

ΕΡΜ. *Δοκεῖ τις αὐτῷ συνοικεῖν Ἰδαία γυνή, ἱκανὴ μέν, ἀγροῖκος δὲ καὶ δεινῶς ὄρειος, ἀλλ' οὐ σφόδρα προσέχειν αὐτῇ ἔοικε. τίνος δ' οὖν ἕνεκα ταῦτα ἐρωτᾷς;*

ΑΦΡ. *Ἄλλως ἠρόμην.*

4 ΑΘ. *Παραπρεσβεύεις, ὦ οὗτος, ἰδίᾳ ταύτῃ κοινολογούμενος.*

ΕΡΜ. *Οὐδέν, ὦ Ἀθηνᾶ, δεινόν, οὐδὲ καθ' ὑμῶν, ἀλλ' ἤρετό με, εἰ ἄγαμος ὁ Πάρις ἐστίν.*

ΑΘ. *Ὡς δὴ τί τοῦτο πολυπραγμονοῦσα;*

ΕΡΜ. *Οὐκ οἶδα· φησὶ δ' οὖν ὅτι ἄλλως ἐπελθόν, οὐκ ἐξεπίτηδες ἤρετο.*

ΑΘ. *Τί οὖν; ἄγαμός ἐστιν;*

ΕΡΜ. *Οὐ δοκεῖ.*

ΑΘ. *Τί δαί; τῶν πολεμικῶν ἐστιν αὐτῷ ἐπιθυμία καὶ φιλόδοξός τις ἢ τὸ πᾶν βουκόλος;*

ΕΡΜ. *Τὸ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, εἰκάζειν δὲ χρὴ νέον ὄντα καὶ τούτων ὀρέγεσθαι τυχεῖν, καὶ βούλεσθαι ἂν πρῶτον αὐτὸν εἶναι κατὰ τὰς μάχας.*

ΑΦΡ. *Ὁρᾷς; οὐδὲν ἐγὼ μέμφομαι οὐδὲ ἐγκαλῶ σοι πρὸς ταύτην ἰδίᾳ λαλεῖν· μεμψιμοίρων γὰρ καὶ οὐκ Ἀφροδίτης τὰ τοιαῦτα.*

ΕΡΜ. *Καὶ αὕτη σχεδὸν ταὐτά με ἤρετο· διὸ μὴ χαλεπῶς ἔχε μηδ' οἴου μειονεκτεῖν, εἴ τι καὶ ταύτῃ κατὰ τὸ ἁπλοῦν*

tyr. 1434: *πρὸς σοῦ γάρ, οὐδ' ἐμοῦ, φράσω.* Aristophan. vesp. 647: *τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶναι χαλεπὸν μὴ πρὸς ἐμοῦ λέγοντι.* u. s. Kr. Gr. §. 68, 37, 1. — *πότερα*, seltener als *πότερον*. — *Ἰδαία γυνή*, Oenone, die Tochter des Flussgottes Kebren. — *ἱκανή*, quae sufficit, d. i. schön genug. — *οὐ σφόδρα προσέχειν αὐτῇ*, sich nicht viel aus ihr machen. — *ἄλλως*, nur so, *temere*, Piscat. 20: *ἄλλως τοῦτο ἠρόμην.* u. s.

4. *ὦ οὗτος*, *heus tu*, mein Lieber, oft bei Lucian., vgl. §. 9: *ὦ αὗται.* — *ὡς δὴ τί.* Seltnere elliptische Formel wie sonst *ἵνα τί*, s. Kr. Gr. §. 51, 17, 8. Ebenso Necyom. 8. — *τοῦτο.* Welches Verbum ist zu ergänzen? — *ἄλλως ἐπελθόν*, indem es ihr nur so beikam, Accusativ. absolut., Kr. Gr. §. 56, 9, 5. Ebenso *κεκελευσμένον* §. 8. — *ἄγαμός ἐστιν;* Athene fragt deshalb so, weil sie fürchtete, Paris könnte noch unverheirathet sein und dann zu Gunsten der Aphrodite entscheiden. — *τὸ πᾶν*, ganz und gar. — *βούλεσθαι ἄν.* Warum *ἄν* erst hier und nicht schon bei *ὀρέγεσθαι*? Vgl. Kr. Gr. §. 69, 7, 1. — *κατὰ τὸ ἁπλοῦν*, schlicht, schlechthin. Ebenso *κατὰ τὸ ἀκούσιον* Piscat. 12. u. s.

ἀπεκρινάμην. ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες ἀπε- 5
σπάσαμεν τῶν ἀστέρων καὶ σχεδόν γε κατὰ τὴν Φρυγίαν
ἐσμέν. ἐγὼ δὲ καὶ τὴν Ἴδην ὁρῶ καὶ τὸ Γάργαρον ὅλον
ἀκριβῶς, εἰ δὲ μὴ ἐξαπατῶμαι, καὶ αὐτὸν ὑμῶν τὸν δικαστὴν
τὸν Πάριν.

ΗΡΑ. Ποῦ δέ ἐστιν; οὐ γὰρ κἀμοὶ φαίνεται.

ΕΡΜ. Ταύτῃ, ὦ Ἥρα, πρὸς τὰ λαιὰ περισκόπει, μὴ πρὸς
ἄκρῳ τῷ ὄρει, παρὰ δὲ τὴν πλευράν, οὗ τὸ ἄντρον, ἔνθα τὴν
ἀγέλην ὁρᾷς.

ΗΡΑ. Ἀλλ' οὐχ ὁρῶ τὴν ἀγέλην.

ΕΡΜ. Πῶς φῄς; οὐχ ὁρᾷς βοΐδια κατὰ τὸν ἐμὸν οὑτωσὶ
δάκτυλον ἐκ μέσων τῶν πετρῶν προερχόμενα, καί τινα ἐκ
τοῦ σκοπέλου καταθέοντα καλαῦροπα ἔχοντα καὶ ἀνείργοντα
μὴ πρόσω διασκίδνασθαι τὴν ἀγέλην;

ΗΡΑ. Ὁρῶ νῦν, εἴ γε ἐκεῖνός ἐστιν.

ΕΡΜ. Ἀλλ' ἐκεῖνος. ἐπειδὴ δὲ πλησίον ἤδη ἐσμέν, ἐπὶ
τῆς γῆς, εἰ δοκεῖ, καταστάντες βαδίζωμεν, ἵνα μὴ διαταράξω-
μεν αὐτὸν ἄνωθεν ἐξ ἀφανοῦς καθιπτάμενοι.

ΗΡΑ. Εὖ λέγεις, καὶ οὕτω ποιῶμεν. ἐπεὶ δὲ καταβεβή-
καμεν, ὥρα σοι, ὦ Ἀφροδίτη, προϊέναι καὶ ἡγεῖσθαι ἡμῖν
τῆς ὁδοῦ· σὺ γάρ, ὡς τὸ εἰκός, ἔμπειρος εἶ τοῦ χωρίου, πολ-
λάκις, ὡς λόγος, κατελθοῦσα πρὸς Ἀγχίσην.

ΑΦΡ. Οὐ σφόδρα, ὦ Ἥρα, τούτοις ἄχθομαι τοῖς σκώμ-
μασιν.

ΕΡΜ. Ἀλλ' ἐγὼ ὑμῖν ἡγήσομαι· καὶ γὰρ αὐτὸς ἐνδιέ- 6
τριψα τῇ Ἴδῃ, ὁπότε δὴ ὁ Ζεὺς ἤρα τοῦ μειρακίου τοῦ Φρυ-
γός, καὶ πολλάκις δεῦρο ἦλθον ὑπ' ἐκείνου καταπεμφθεὶς ἐς
ἐπισκοπὴν τοῦ παιδός, καὶ ὁπότε γε ἤδη ἐν τῷ ἀετῷ ἦν,
συμπαριπτάμην αὐτῷ καὶ συνεκούφιζον τὸν καλόν, καὶ εἴ γε
μέμνημαι, ἀπὸ ταυτησὶ τῆς πέτρας αὐτὸν ἀνήρπασεν. ὁ μὲν

5. *μεταξὺ λόγων*, s. zu IV, 24. — *πολύ* gehört zu *ἀπεσπάσαμεν*. Ueber *ἀπεσπάσαμεν* s. zu IV, 21. — *κατὰ τὸν ἐμὸν οὑτωσὶ δάκτυλον*, so nach Art meines Fingers, d. i. so klein wie mein Finger. — *ἀνείργοντα μή*, Kr. Gr. §. 67, 12, 3. Vgl. zu III, 6. — *διασκίδνασθαι*. In Prosa erst seit Aristoteles vorkommende Form. — *Ἀλλ' ἐκεῖνος*, freilich ist er's; s. zu II, 36. Toxar. 50. — *καθιπτάμενοι*, unattische, aber bei Späteren häufige Form für *καταπετόμενοι*. Vgl. §. 6. *συμπαριπτάμην*. Catapl. 2: *ἀνίπταται*. Amor. 6: *διιπτάμεθα*. — *ὡς τὸ εἰκός*, wie natürlich, oft bei Lucian., minder häufig *ὡς εἰκός*.

6. *ὁπότε δή*, als eben. Ebenso *ὅτε δή*. — *ἐν τῷ ἀετῷ ἦν*, d. i. als er die Gestalt des Adlers angenommen hatte. Vgl. Asin. 56: *καλλίων αὐτῇ φανεῖσθαι λέγων νῦν*

γὰρ ἔτυχε τότε συρίζων πρὸς τὸ ποίμνιον· καταπτάμενος δὲ ὄπισθεν αὐτὸς ὁ Ζεύς, κούφως μάλα τοῖς ὄνυξι περιβαλὼν καὶ τῷ στόματι τὴν ἐπὶ τῇ κεφαλῇ τιάραν ἔχων, ἀνέφερε τὸν παῖδα τεταραγμένον καὶ τῷ τραχήλῳ ἀπεστραμμένῳ ἐς αὐτὸν ἀποβλέποντα. τότε οὖν ἐγὼ τὴν σύριγγα λαβὼν — ἀποβεβλήκει γὰρ αὐτὴν ὑπὸ τοῦ δέους — — ἀλλὰ γὰρ ὁ διαιτητὴς
7 *οὑτοσὶ πλησίον, ὥστε προσείπωμεν αὐτόν. Χαῖρε, ὦ βουκόλε.*

ΠΑΡ. [Νὴ] καὶ σύ γε, ὦ νεανίσκε. τίς δὲ ὢν δεῦρο ἀφῖξαι πρὸς ἡμᾶς; ἢ τίνας ταύτας ἄγεις τὰς γυναῖκας; οὐ γὰρ ἐπιτήδειαι ὀρεοπολεῖν, οὕτω γε οὖσαι καλαί.

ΕΡΜ. Ἀλλ' οὐ γυναῖκές εἰσιν, Ἥραν δέ, ὦ Πάρι, καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην ὁρᾷς, κἀμὲ τὸν Ἑρμῆν ὁ Ζεὺς ἀπέστειλεν. ἀλλὰ τί τρέμεις καὶ ὠχριᾷς; μὴ δέδιθι· χαλεπὸν γὰρ οὐδέν· κελεύει δέ σε δικαστὴν γενέσθαι τοῦ κάλλους αὐτῶν· Ἐπεὶ γάρ, φησί, καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικά, σοὶ τὴν γνῶσιν ἐπιτρέπω, τοῦ δὲ ἀγῶνος τὸ ἆθλον εἴσῃ ἀναγνοὺς τὸ μῆλον.

ΠΑΡ. Φέρ' ἴδω τί καὶ βούλεται. Ἡ ΚΑΛΗ, φησί, ΛΑΒΕΤΩ. πῶς ἂν οὖν, ὦ δέσποτα Ἑρμῆ, δυνηθείην ἐγὼ θνητὸς αὐτὸς καὶ ἀγροῖκος ὢν δικαστὴς γενέσθαι παραδόξου θέας καὶ μείζονος ἢ κατὰ βουκόλον; τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον καὶ ἀστικῶν· τὸ δὲ ἐμόν, αἶγα μὲν αἰγὸς ὁποτέρα καλλίων καὶ δάμαλιν ἄλλης δαμάλεως, τάχ' ἂν δι-
8 *κάσαιμι κατὰ τὴν τέχνην· αὗται δὲ πᾶσαί τε ὁμοίως καλαὶ καὶ οὐκ οἶδ' ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας· οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥα-*

ἐν ἀνθρώπῳ ὤν. — *λαβών*, Aposiopesis. — *ἀποβεβλήκει*. Das Augmentum fehlt bei Lucian. mehrfach beim Plusquamperf. — *ὑπὸ τοῦ δέους*, s. zu II, 40. — *ἀλλὰ γάρ*, *at enim*. Diese Partikeln sind auf elliptische Weise zusammengestellt, wobei man den zu *ἀλλά* gehörigen Gedanken (doch ich will davon abbrechen; denn u. s. w.) aus dem Zusammenhange zu ergänzen hat. De merc. cond. 1. Bis accus. 26. Amor. 23. Kr. Gr. §. 69, 14, 4.

7. *τίνας ταύτας ἄγεις τὰς γυναῖκας* = *τίνες αὗταί εἰσιν αἱ γυναῖκες, ἃς ἄγεις*, s. zu IV, 11. — *ὀρεοπολεῖν*. Nur hier vorkommendes Wort. — *κελεύει*, näml. *Ζεύς*. — *φέρ' ἴδω*, Kr. Gr. §. 54, 2, 1. — *τί καὶ βούλεται*, *quid tandem sibi velit*, näml. die Aufschrift. — *πῶς ἂν οὖν*. Bei anderen Schriftstellern, wie Xenophon, ist nach den besseren Handschriften die gewöhnlichere Wortstellung *πῶς οὖν ἄν*. — *ἢ κατά*, als dass es ein Kuhhirt beurtheilen kann, Kr. Gr. §. 49, 4. — *τὸ δὲ ἐμόν*, *quod vero ad me attinet*. Vgl. Gall. 3. — *αἶγα κτέ*. Icaromenipp. 8: *τὴν μὲν γὰρ ἐναντιότητα ὁπόση τῶν λόγων ῥᾴδιον καταμαθεῖν*. Vitar. auct. 16: *οὐχ ὁρᾷς τὸν Ἄνουβιν τὸν ἐν Αἰγύπτῳ ὅσος;*

8. *ἐθέλει*, näml. *ἡ ὄψις*. — *ἀπε-*

δίως, ἀλλ' ἔνθα ἂν ἀπερείσῃ τὸ πρῶτον, τούτου ἔχεται καὶ τὸ παρὸν ἐπαινεῖ· κἂν ἐπ' ἄλλο μεταβῇ, κἀκεῖνο καλὸν ὁρᾷ καὶ παραμένει καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται, καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτῶν καὶ ὅλον περιείληφέ με καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτός, ὥσπερ ὁ Ἄργος, ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. δοκῶ δ' ἂν μοι καλῶς δικάσαι, πάσαις ἀποδοὺς τὸ μῆλον. καὶ γὰρ αὖ καὶ τόδε, ταύτην μὲν εἶναι συμβέβηκε τοῦ Διὸς ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας. πῶς οὖν οὐ χαλεπὴ καὶ οὕτως ἡ κρίσις;

ΕΡΜ. Οὐκ οἶδα· πλὴν οὐχ οἷόν τε ἀναδῦναι πρὸς τοῦ Διὸς κεκελευσμένον.

ΠΑΡ. Ἓν τοῦτο, ὦ Ἑρμῆ, πεῖσον αὐτάς, μὴ χαλεπῶς 9 ἔχειν μοι τὰς δύο τὰς νενικημένας, ἀλλὰ μόνων τῶν ὀφθαλμῶν ἡγεῖσθαι τὴν διαμαρτίαν.

ΕΡΜ. Οὕτω φασὶ ποιήσειν· ὥρα δέ σοι ἤδη περαίνειν τὴν κρίσιν.

ΠΑΡ. Πειρασόμεθα· τί γὰρ ἂν καὶ πάθοι τις; ἐκεῖνο δὲ πρότερον εἰδέναι βούλομαι, πότερα ἐξαρκέσει σκοπεῖν αὐτάς, ὡς ἔχουσιν, ἢ καὶ ἀποδῦσαι δεήσει πρὸς τὸ ἀκριβὲς τῆς ἐξετάσεως;

ΕΡΜ. Τοῦτο μὲν σὸν ἂν εἴη τοῦ δικαστοῦ, καὶ πρόσταττε, ὅπῃ καὶ θέλεις.

ΠΑΡ. Ὅπῃ καὶ θέλω; γυμνὰς ἰδεῖν βούλομαι.

ΕΡΜ. Ἀπόδυτε, ὦ αὗται· σὺ δὲ ἐπισκόπει· ἐγὼ δὲ ἀπεστράφην.

ΗΡΑ. Καλῶς, ὦ Πάρι· καὶ πρώτη γε ἀποδύσομαι, 10 ὅπως μάθῃς, ὅτι μὴ μόνας ἔχω τὰς ὠλένας λευκὰς μηδὲ τῷ

ρείσῃ, näml. τὴν ὄψιν. Icaromenipp. 12: τὴν ὄψιν εἴσω ἀπηρεισάμην. — καλόν, als etwas Schönes. — ὑπὸ τῶν πλησίον, von den nächsten Gegenständen. — ὁ Ἄργος, s. oben zu 3, 1. — καὶ γὰρ αὖ καὶ τόδε, denn es kommt auch wieder das in Betracht. Die Verbindung καὶ γὰρ αὖ καί ist sehr häufig bei Lucian., vgl. Piscat. 34. De sacrif. 6. De merc. cond. 27. 36. De morte Peregr. 21 u. s. — συμβέβηκε, s. zu IV, 16. — καὶ οὕτως, auch so, auch in dieser Beziehung. — ἀναδῦναι, zurücktreten, sich zurückziehen; vgl. Pro imagin. 16. — κεκελευσμένον, da es befohlen worden ist; s. zu §. 4.

9. τί γὰρ ἂν καὶ πάθοι τις, s. zu II, 39. — ὡς ἔχουσιν, wie sie da sind. — πρὸς τὸ ἀκριβὲς τῆς ἐξετάσεως, d. i. behufs genauer Untersuchung. — σὸν ἂν εἴη τοῦ δικαστοῦ. Iup. tragoed. 22: ὑμέτερον ἂν εἴη ἰᾶσθαι ταῦτα τῶν προαγαγόντων. Apol. pro merc. cond. 4: τὸ δὲ σὸν οὐ παρὰ μικρὸν ἀτοπώτερον ἀκριβοῦντος.. καὶ κατηγοροῦντος. u. s. Gall. 29. Ebenso im Latein., *nomen meum absentis* Cic. Planc. 10, 26 u. s. Kr. Gr. §. 47, 5, 1. — ἐγὼ δὲ ἀπεστράφην,

βοῶπις εἶναι μέγα φρονῶ, ἐπ' ἴσης δέ εἰμι πᾶσα καὶ ὁμοίως καλή.

ΠΑΡ. Ἀπόδυθι καὶ σύ, ὦ Ἀφροδίτη.

ΑΘ. Μὴ πρότερον ἀποδύσῃς αὐτήν, ὦ Πάρι, πρὶν ἂν τὸν κεστὸν ἀπόθηται — φαρμακὶς γάρ ἐστι — μή σε καταγοητεύσῃ δι' αὐτοῦ. καίτοι γε ἐχρῆν μηδὲ οὕτω κεκαλλωπισμένην παρεῖναι μηδὲ τοσαῦτα ἐντετριμμένην χρώματα καθάπερ ὡς ἀληθῶς ἑταίραν τινά, ἀλλὰ γυμνὸν τὸ κάλλος ἐπιδεικνύειν.

ΠΑΡ. Εὖ λέγουσι τὸ περὶ τοῦ κεστοῦ, καὶ ἀπόθου.

ΑΦΡ. Τί οὖν οὐχὶ καὶ σύ, ὦ Ἀθηνᾶ, τὴν κόρυν ἀφελοῦσα ψιλὴν τὴν κεφαλὴν ἐπιδεικνύεις, ἀλλ' ἐπισείεις τὸν λόφον καὶ τὸν δικαστὴν φοβεῖς; ἢ δέδιας, μή σοι ἐλέγχηται τὸ γλαυκὸν τῶν ὀμμάτων ἄνευ τοῦ φοβεροῦ βλεπόμενον;

ΑΘ. Ἰδού σοι ἡ κόρυς αὕτη ἀφῄρηται.

ΑΦΡ. Ἰδοὺ καί σοι ὁ κεστός.

ΗΡΑ. Ἀλλὰ ἀποδυσώμεθα.

11 *ΠΑΡ. Ὦ Ζεῦ τεράστιε τῆς θέας, τοῦ κάλλους, τῆς ἡδονῆς. οἵα μὲν ἡ παρθένος, ὡς δὲ βασιλικὸν αὕτη καὶ σεμνὸν ἀπολάμπει καὶ ἀληθῶς ἄξιον τοῦ Διός, ὡς δὲ ὁρᾷ ἥδε ἡδέως, καὶ γλαφυρόν τι καὶ προσαγωγὸν ἐμειδίασεν. ἀλλ' ἤδη μὲν ἅλις ἔχω τῆς εὐδαιμονίας· εἰ δοκεῖ δέ, καὶ ἰδίᾳ καθ' ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι καὶ οὐκ οἶδα πρὸς ὅ τι ἀποβλέψω πάντῃ τὰς ὄψεις περισπώμενος.*

ΑΦΡ. Οὕτω ποιῶμεν.

ΠΑΡ. Ἄπιτε οὖν αἱ δύο· σὺ δέ, ὦ Ἥρα, περίμενε.

ΗΡΑ. Περιμενῶ, κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα σοι

ich aber habe mich abgewandt.

10. *ἐπ' ἴσης .. ὁμοίως*. Ersteres bezieht sich auf die Quantität, letzteres auf die Qualität. — *μὴ πρότερον ἀποδύσῃς αὐτήν*, d. i. lass dieselbe sich nicht eher ausziehen. — *τὸν κεστόν*. Der Sitz der bezaubernden Gewalt, die Aphrodite über Götter und Menschen ausübt, ist ihr Gürtel; vgl. Il. 14, 214 ff. — *φαρμακὶς γάρ ἐστι*, s. zu IV, 10. — *καίτοι γε*. Steht *γὲ* gleich nach *καίτοι*, so afficirt es den ganzen Satz; sind aber die Partikeln getrennt, so hebt *γὲ* das Wort, nach dem es steht, hervor. Ebenso wie hier Abdicat. 18. 19. Parasit. 10. u. s. Dasselbe gilt von *μέντοι γε*. — *ὡς ἀληθῶς*, s. zu I, 10. — *Εὖ λέγουσι κτέ.* Diese Worte spricht Paris zur Aphrodite gewandt. — *τί οὖν οὐχὶ .. ἐπιδεικνύεις*, s. zu II, 31.

11. *ὦ Ζεῦ τεράστιε*, s. oben zu Todtengespr. 20, 4. — *τῆς θέας*, Kr. Gr. §. 47, 3, 1. — *οἵα μὲν ἡ παρθένος*, Athene. — *αὕτη*, Hera. — *ἥδε*, Aphrodite. — *καθ' ἑκάστην*, *singulas*. Toxar. 30: *ἀνεσκοπεῖτο καθ' ἕκαστον τῶν δεδεμένων*. Iupit.

καὶ ἄλλα ἤδη σκοπεῖν, εἰ καλά σοι καὶ τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς· ἢν γάρ με, ὦ Πάρι, δικάσῃς εἶναι καλήν, ἁπάσης ἔσῃ τῆς Ἀσίας δεσπότης.

ΠΑΡ. Οὐκ ἐπὶ δώροις μὲν τὰ ἡμέτερα. ἀλλ' ἄπιθι· πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ. σὺ δὲ πρόσιθι ἡ Ἀθηνᾶ. 12

ΑΘ. Παρέστηκά σοι, κἄτα ἤν με, ὦ Πάρι, δικάσῃς καλήν, οὔποτε ἥττων ἄπει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν· πολεμιστὴν γάρ σε καὶ νικηφόρον ἀπεργάσομαι.

ΠΑΡ. Οὐδέν, ὦ Ἀθηνᾶ, δεῖ μοι πολέμου καὶ μάχης· εἰρήνη γάρ, ὡς ὁρᾷς, τὰ νῦν ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν καὶ ἀπολέμητος ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. θάρρει δέ· οὐ μειονεκτήσεις γάρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. ἀλλ' ἔνδυθι ἤδη καὶ ἐπίθου τὴν κόρυν· ἱκανῶς γὰρ εἶδον. τὴν Ἀφροδίτην παρεῖναι καιρός.

ΑΦΡ. Αὕτη σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς μηδὲν παρατρέχων, ἀλλ' ἐνδιατρίβων ἑκάστῳ τῶν μερῶν. εἰ δ' ἐθέλεις, ὦ καλέ, καὶ τάδε μου ἄκουσον· ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα καὶ καλόν, ὁποῖον οὐκ οἶδ' εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους καὶ ταυτασὶ τὰς πέτρας κατ' ἄστυ ζῆν, ἀλλὰ διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ. τί μὲν γὰρ ἂν σὺ ἀπολαύσειας τῶν ὀρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βόες; ἔπρεπε δὲ ἤδη σοι καὶ γεγαμηκέναι, μὴ μέντοι ἀγροῖκόν τινα καὶ χωρῖτιν, οἷαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος, ἢ Ἀργόθεν ἢ ἐκ Κορίνθου ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστί, νέα τε καὶ καλὴ καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική. ἐκείνη γὰρ δὴ εἰ καὶ μόνον θεάσαιτό σε, οἶδα ἐγώ, πάντα ἀπολιποῦσα καὶ παρασχοῦσα ἑαυτὴν ἔκδοτον ἕψεται καὶ συνοικήσει. πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς. 13

conf. 17 u. s. Ebenso im Folg. *καθ' ἕν*. — *τὰ δῶρα τῆς ψήφου τῆς ἐμῆς*, d. i. *dona suffragii mihi dati*, *τῆς ἐμῆς* also objectiv., Kr. Gr. §. 47, 7, 8. Sophocl. Electr. 343: *τἀμὰ νουθετήματα*, die Ermahnungen, die du mir gibst. — *οὐκ ἐπὶ δώροις τὰ ἡμέτερα*, d. i. unsere Sache bezweckt nicht Geschenke. — *πεπράξεται*. Ueber die Bedeutung dieses dritten Futur. s. Kr. Gr. §. 53, 9, 3.

12. *τὰ νῦν*, für jetzt, Kr. Gr. §. 50, 5, 13.

13. *αὕτη*, deiktisch, hier. — *ἐγὼ γάρ*, ich nämlich. — *αἰτιῶμαι δὲ τὸ μή*, ich mache dir es aber zum Vorwurf, dass du nicht u. s. w. — *ἀπόναιντο*, mehr poetisches Wort; auch Amor. 52. u. Paras. 1. — *ἔπρεπε*, *decebat*. — *γὰρ δή*, *nam profecto* od. *utique*, sehr häufig bei Lucian. — *οἶδα ἐγώ*,

ΠΑΡ. Οὐδέν, ὦ Ἀφροδίτη· νῦν δὲ ἡδέως ἂν ἀκούσαιμί σου τὰ πάντα διηγουμένης.

14 ΑΦΡ. Αὕτη θυγάτηρ μέν ἐστι Λήδας, ἐκείνης τῆς καλῆς, ἐφ' ἣν ὁ Ζεὺς κατέπτη κύκνος γενόμενος.

ΠΑΡ. Ποία δὲ τὴν ὄψιν ἐστί;

ΑΦΡ. Λευκὴ μέν, οἵαν εἰκὸς ἐκ κύκνου γεγεννημένην, ἁπαλὴ δέ, ὡς ἐν ᾠῷ τραφεῖσα, γυμνὰς τὰ πολλὰ καὶ παλαιστική, καὶ οὕτω δή τι περισπούδαστος, ὥστε καὶ πόλεμον ἀμφ' αὐτῇ γενέσθαι, τοῦ Θησέως ἄωρον ἔτι ἁρπάσαντος. οὐ μὴν ἀλλ' ἐπειδήπερ ἐς ἀκμὴν κατέστη, πάντες οἱ ἄριστοι τῶν Ἀχαιῶν ἐπὶ τὴν μνηστείαν ἀπήντησαν, προεκρίθη δὲ Μενέλεως τοῦ Πελοπιδῶν γένους· εἰ δὴ θέλοις, ἐγώ σοι καταπράξομαι τὸν γάμον.

ΠΑΡ. Πῶς φής; τὸν τῆς γεγαμημένης;

ΑΦΡ. Νέος εἶ σὺ καὶ ἀγροῖκος, ἐγὼ δὲ οἶδα ὡς χρὴ τὰ τοιαῦτα δρᾶν.

ΠΑΡ. Πῶς; ἐθέλω γὰρ καὶ αὐτὸς εἰδέναι.

15 ΑΦΡ. Σὺ μὲν ἀποδημήσεις ὡς ἐπὶ θέαν δὴ τῆς Ἑλλάδος, κἀπειδὰν ἀφίκῃ ἐς τὴν Λακεδαίμονα, ὄψεταί σε ἡ Ἑλένη, τοὐντεῦθεν δὲ ἐμὸν ἂν εἴη τὸ ἔργον, ὅπως ἐρασθήσεταί σου καὶ ἀκολουθήσει.

ΠΑΡ. Τοῦτο αὐτὸ καὶ ἄπιστον εἶναί μοι δοκεῖ, τὸ ἀπολιποῦσαν τὸν ἄνδρα ἐθελῆσαι βαρβάρῳ καὶ ξένῳ συνεκπλεῦσαι.

parenthetisch eingeschaltet, wie εὖ οἶδ' ἐγώ, εὖ οἶδ' ὅτι u. ähnl.

14. οἵαν εἰκός, näml. εἶναι. — ὡς ἐν ᾠῷ τραφεῖσα. Die Dioskuren (Kastor und Polydeukes) werden nach späterer Sage mit der Helena aus einem Ei geboren, welches die Leda zur Welt brachte. — γυμνάς = γυμνή, poetisches Wort. „Lucian. spielt hier auf die freilich erst später [von Lykurgos] eingeführte Sitte der Lakedämonier an, dass die Mädchen sich zugleich mit den Knaben nackt übten." Poppo. — οὕτω δή τι, unattische Formel, die sich häufig bei Herodot. findet, 1, 163. 185. 3, 12 u. s., vgl. Kr. Gr. §. 51, 16, 5. — ἀμφ' αὐτῇ, um sie, wegen ihr. ἀμφί mit dem Dativ. ist der attischen Prosa fremd. Homer. Il. 3, 70: ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι. — ἄωρον ἔτι. Theseus hatte die Helena aus Sparta entführt und in Aphidna seiner Mutter Aethra übergeben, allein die Dioskuren befreiten sie. Diese Sage erwähnt Lucian. auch anderwärts; Gall. 17. — οὐ μὴν ἀλλά, indessen, *verumtamen*, *verum enim vero*, Kr. Gr. §. 67, 14, 2., nicht selten bei Luc., vgl. Piscat. 20. Icaromenipp. 4. 8. u. s. — καταπράξομαι. Man sollte hier das Activ. erwarten, allein Lucian. gebraucht nicht eben selten das Med. für das Act.

15. ὡς ἐπὶ θέαν δὴ τῆς Ἑλλάδος, d. i. unter dem Vorwande Hellas zu sehen. So steht ὡς .. δή nicht selten um das Vorgebliche zu bezeichnen (Kr. Gr. §. 69, 17, 2.). Thuc. 6, 54: ὡς οὐ διὰ τοῦτο δή. u. s. — τὸ ἀπολιποῦσαν κτέ. Vitar. auct. 15: ἄπιστα λέγεις, τὸ

ΑΦΡ. Θάρρει τούτου γε ἕνεκα. παῖδε γάρ μοι ἐστὸν δύο καλώ, Ἵμερος καὶ Ἔρως, τούτω σοι παραδώσω ἡγεμόνε τῆς ὁδοῦ γενησομένω· καὶ ὁ μὲν Ἔρως ὅλος παρελθὼν ἐς αὐτὴν ἀναγκάσει τὴν γυναῖκα ἐρᾶν, ὁ δὲ Ἵμερος αὐτῷ σοι περιχυθείς, τοῦθ' ὅπερ ἐστίν, ἱμερτόν σε θήσει καὶ ἐράσμιον, καὶ αὐτὴ δὲ συμπαροῦσα δεήσομαι καὶ τῶν Χαρίτων ἀκολουθεῖν, ἅπαντες αὐτὴν ἵνα πείσωμεν.

ΠΑΡ. Ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Ἀφροδίτη· πλὴν ἐρῶ γε ἤδη τῆς Ἑλένης, καὶ οὐκ οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἴομαι καὶ πλέω εὐθὺ τῆς Ἑλλάδος καὶ τῇ Σπάρτῃ ἐπιδημῶ καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα καὶ ἄχθομαι, ὅτι μὴ ταῦτα ἤδη πάντα ποιῶ.

ΑΦΡ. Μὴ πρότερον ἐρασθῇς, ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν καὶ νυμφαγωγὸν ἀμείψασθαι τῇ κρίσει· πρέποι γὰρ ἂν κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τὰ ἐπινίκια· πάντα γὰρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον τουτουὶ τοῦ μήλου πρίασθαι. 16

ΠΑΡ. Δέδοικα, μή μου ἀμελήσῃς μετὰ τὴν κρίσιν.

ΑΦΡ. Βούλει οὖν ἐπομόσωμαι;

ΠΑΡ. Μηδαμῶς, ἀλλὰ ὑπόσχου πάλιν.

ΑΦΡ. Ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα καὶ ἀκολουθήσειν γε αὐτὴν καὶ ἀφίξεσθαι παρ' ὑμᾶς ἐς τὴν Ἴλιον, καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω τὰ πάντα.

ΠΑΡ. Καὶ τὸν Ἔρωτα καὶ τὸν Ἵμερον καὶ τὰς Χάριτας ἄξεις;

ΑΦΡ. Θάρρει, καὶ τὸν Πόθον καὶ τὸν Ὑμέναιον ἔτι πρὸς τούτοις παραλήψομαι.

ΠΑΡ. Οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε.

παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν. Jedoch bleibt auch der Artikel weg, s. Kr. Gr. §. 57, 10, 7. — Ἵμερος καὶ Ἔρως, Begleiter der Aphrodite, Hesiod. theog. 201. Beide mit dem Pothos standen, ein Werk des Skopas, in dem Tempel der Aphrodite in Megara. — χωρήσει. Selten ist vom Simplex bei Att. das Futur. in activer Form, öfter in Compositen.

16. ἔνεστί σοι, es steht bei dir. — βούλει ἐπομόσωμαι, s. zu II, 37. — ἄξεις, wirst du mitbringen. Piscat. 16: ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις; u. ö. — ἐπὶ τούτοις wiederholt Paris mit ganz besonderem Nachdruck.

15 (21).

ΑΡΕΩΣ ΚΑΙ ΕΡΜΟΥ.

1 *ΑΡ.* *Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεύς, ὡς ὑπεροπτικὰ καὶ ὡς ἀπίθανα; Ἢν ἐθελήσω, φησίν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δὲ ἀποκρεμασθέντες κατασπᾶν βιάσεσθέ με, ἀλλὰ μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλατταν συναρτήσας μετεωριῶ· καὶ τἆλλα ὅσα καὶ σὺ ἀκήκοας. ἐγὼ δέ, ὅτι μὲν καθ' ἕνα πάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν, οὐκ ἂν ἀρνηθείην, ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν, ὡς μὴ καταπονήσειν αὐτόν, κἂν τὴν γῆν καὶ τὴν θάλατταν προσλάβωμεν, οὐκ ἂν πεισθείην.*

2 *ΕΡΜ.* *Εὐφήμει, ὦ Ἄρες· οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας.*

ΑΡ. *Οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σέ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; ὃ δ' οὖν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες*

1. *σειρὰν καθήσω.* Es bezieht sich dieses auf die bekannte Stelle in der Il. 8, 18 ff., wo Zeus sagt: *εἰ δ' ἄγε πειρήσασθε* u. s. w. Auch anderwärts wird dieser Worte des Zeus oftmals von Luc. Erwähnung gethan, vgl. Iup. conf. 4. Iup. trag. 45. De conscr. hist. 8. — *κατασπᾶν βιάσεσθε. βιάζεσθαι,* mit Gewalt versuchen, sich anstrengen, mit folgendem Infinitiv., findet sich bei Luc. nicht selten. Aus den Attikern ist mir nur eine Stelle dafür aus Thucyd. 7, 79. bekannt, wenn diese irgend richtig ist. — *εἰ .. θελήσαιμι — μετεωριῶ,* s. zu II, 15. — *ἀνελκύσαι,* näml. *τὴν σειράν.* — *καθ' ἕνα πάντων,* als alle, einzeln genommen. Amor. 22: *καὶ καθ' ἕνα τοιαῦτα ζηλοῦν πάντων ἑλομένων οὐδὲ εἷς ἔσται.* Ebenso *πάντα καθ' ἕκαστον* IV, 2. — *ἀρνηθείην.* Der mediale Aorist. *ἠρνησάμην* findet sich unter den attischen Prosaikern nur bei Aeschines. — *τῶν τοσούτων,* diese so vielen, als eben erwähnt worden sind; Kr. Gr. §. 50, 4, 6. — *ὑπερφέρειν,* näml. *αὐτόν.* — *καταπονήσειν,* näml. *ἡμᾶς.* Dieses Verbum gehört erst den Späteren an.

2. *μὴ καί,* s. zu Todtengespr. 20, 6. — *οὐχὶ δέ,* wir: und nicht. Saturnal. 36: *πρὸς γὰρ σὲ οἴει μόνον ὑπὸ τῶν πενήτων ταῦτα γεγράφθαι, ὦ Κρόνε, οὐχὶ δὲ καὶ ὁ Ζεὺς ἤδη ἐκκεκώφωται πρὸς αὐτῶν;* Prometh. 6 u. s. — *ἐχεμυθεῖν.* Dieses Wort, das sonst nur noch bei Iamblichos vorkommt, findet sich bei Lucian. auch Gall. 2. — *τῆς ἀπειλῆς.* Wovon abhängig? — *ὁ Ποσειδῶν κτἑ.* Homer. Il. 1, 399 ff.

ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί.

ἐπεβούλευον συνδῆσαι λαβόντες αὐτόν, ὡς παντοῖος ἦν δεδιώς, καὶ ταῦτα τρεῖς ὄντας, καὶ εἴ γε μὴ ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο [ἂν] αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ ἐπῄει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ.

ΕΡΜ. Σιώπα, φημί· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

---

16 (24).

ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

ΕΡΜ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; 1

ΜΑΙ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν.

ΕΡΜ. Μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ, καὶ διαστρώσαντα τὴν κλισίαν εὐθετίσαντά τε ἕκαστα παρεστάναι τῷ Διὶ καὶ διαφέρειν τὰς ἀγγελίας [τὰς] παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα, καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι καὶ παρεστάναι τῷ δικαστηρίῳ· οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας

— ἐπεβούλευον, mit dem Infinitiv. *per insidias moliri*, einen Plan schmieden, worauf ausgehen. Von derselben Sache Iup. trag. 40: ἐπεβούλευον ξυνδῆσαι αὐτὸν ἡ θυγάτηρ καὶ ὁ ἀδελφὸς καὶ ἡ γυνή. Herodot. 1: ἐπεβούλευε δὲ ἀθρόους που λαβεῖν τοὺς Ἕλληνας ἅπαντας. — ὡς παντοῖος ἦν δεδιώς, wie er alles Mögliche versuchte vor Furcht; s. zu Todtengespr. 21, 1. — καὶ ταῦτα τρεῖς ὄντας, wir: und zwar obschon sie nur drei waren; s. zu IV, 4. — αὐτῷ κεραυνῷ καὶ βροντῇ, s. zu II, 22.

1. γάρ, s. zu II, 18. Vgl. oben zu 2 z. A. — — μὴ λέγε — μηδέν, s. oben zu 12, 2. — μὴ λέγω, ich soll es nicht sagen? Ueber den Coniunctiv. s. zu Todtengespr. 13, 3. — πρὸς τοσ. ὑπηρ. διασπ., s. zu Gall. 22. — διαφέρειν, hier und dorthin bringen, austragen. — τὸν νεώνητον. Für den geraubten Sohn (Ganymedes) gab Zeus dem Tros ein Gespann göttlicher Rosse; Hom. Il. 5, 266. Ueber die Stellung des τοῦτον s. zu II, 6. — τὸ δὲ πάντων δεινότατον, s. zu Todtengespr. 5, 1. — ὅτι μηδέ, s. zu Todtengespr. 15, 2. De saltat. 4: τὸ γοῦν δεινότατον τοῦτό ἐστιν, ὅτι μηδὲ ἰάσεώς τινα ἡμῖν ὑποφαίνεις ἐλπίδα. — μόνος τῶν ἄλλων, s. zu II, 55. — τῷ δικαστηρίῳ, das über die Todten in der Unterwelt gehalten wurde, die Hermes

ἔργα, ἐν παλαίστραις εἶναι κἂν ταῖς ἐκκλησίαις κηρύττειν καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον. 2 καίτοι τὰ μὲν τῆς Λήδας τέκνα παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν Ἅιδου εἰσίν, ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν κἀκεῖνα καὶ ταῦτα ποιεῖν ἀναγκαῖον, καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης ἐκ γυναικῶν δυστήνων γενόμενοι εὐωχοῦνται ἀφρόντιδες, ὁ δὲ Μαίας τῆς Ἀτλαντίδος διακονοῦμαι αὐτοῖς. καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμου θυγατρός, ἐφ' ἣν πέπομφέ με ὀψόμενον ὅ τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην· εἶτ' ἐκεῖθεν ἐς Βοιωτίαν, φησίν, ἐλθὼν ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδέ. καὶ ὅλως ἀπηγόρευκα ἤδη. εἰ γοῦν δυνατὸν ἦν, ἡδέως ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες.

ΜΑΙ. Ἔα ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ νεανίαν ὄντα. καὶ νῦν ὥσπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβῃς· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

brachte. — ἐν παλαίστραις κτἑ. Vgl. Catapl. 1, wo es von Hermes heisst: ὁ δὲ καλὸς ἡμῖν κἀγαθὸς νεκροπομπὸς ἀναστρέψαι πρὸς ἡμᾶς ἐπιλέλησται, καὶ ἤτοι παλαίει μετὰ τῶν ἐφήβων ἢ κιθαρίζει ἢ λόγους τινὰς διεξέρχεται. Hermes ist bekannt als Schutzpatron der Ringer, Herolde und Redner. — συνδιαπράττειν, näml. δεῖ με.

2. τὰ τῆς Λήδας τέκνα, Kastor und Polydeukes; vgl. das letzte Gespräch. — παρ' ἡμέραν, alternis diebus, Tag um Tag, einen Tag um den andern, im Gegensatz zu καθ' ἑκάστην ἡμέραν; dieselbe Ausdrucksweise bei Plutarch. und Long.; bei Pindar. παρ' ἆμαρ. — ἐν Ἅιδου, Kr. Gr. §. 43, 3, 6. — εἰσίν, Kr. Gr. §. 63, 2, 1. — οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης, d. i. Herakles und Dionysos. — ὁ δέ, ich dagegen, der Sohn der u. s. w. — Σιδῶνος, Stadt Phönikiens, jetzt Saida oder Seïdeh. — παρὰ τῆς Κάδμου θυγατρός. Irrthümlich. Diese Worte können sich nur auf die Europe beziehen; diese war aber des Kadmos Schwester und Tochter des Agenor. — τὴν Δανάην, s. zu II, 13. — τὴν Ἀντιόπην, die Tochter des böotischen Königs Nykteus, und von Zeus Mutter des Amphion und Zethos. — καὶ ὅλως, s. zu I, 10. — πεπρᾶσθαι, s. oben zu Todtengespr. 12, 1. „Gegen Grausamkeit des eigenen Herrn war ihr (der Sklaven) einziger Schutz, in das Theseion oder an irgend einen anderen Altar sich zu flüchten, worauf der Herr gezwungen werden konnte, sie zu verkaufen.“ Becker's Charikles Th. 3 S. 34 f. — σόβει, intransitiv, eile. Long. Pastor. 3, 29: καὶ συντείνας σοβεῖ παρὰ τὸν Δρύαντα. 4, 6. Luc. pro imag. 29: καὶ ὡς ὁρᾷς, ἤδη ἀποσοβῶ παρ' αὐτήν. Navig. 4. — μὴ καί, s. oben zu Todtengespr. 20, 6.

17 (25).

ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ.

ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε. ἀπολώλεκας 1 τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθείς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε, πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε· καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ὑπέμεινεν ἄν· τοιοῦτον ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον καὶ διφρηλάτην ἐκπέπομφας.

ΗΛ. Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

ΖΕΥΣ. Οὐκ ᾔδεις, ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα, καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμόν, καὶ ὡς δεῖ ξυνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθύς, ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιά, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιά, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

ΗΛ. Πάντα μὲν ἠπιστάμην ταῦτα, καὶ διὰ τοῦτο ἀντεῖχον 2 ἐπὶ πολὺ καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα ὑπεθέμην, ὅπως μὲν χρὴ βεβηκέναι αὐτόν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι,

1. *μειρακίῳ ἀνοήτῳ*, dem Phaëthon. Ovid. Metam. 1, 750 ff. 2, 1—400. Dieselbe Sage erzählt in einem dem Hesiodos zugeschriebenen Gedicht astronomischen Inhalts und dargestellt von Aeschylos in den Heliaden und von Euripides im Phaëthon. — *τὰ μὲν .. τὰ δέ*, die eine Hälfte, die andere Hälfte der Erde. — *πρόσγειος*, Kr. Gr. §. 57, 5, 4. — *πόθεν γὰρ ἂν καὶ ἤλπισα*, denn woher hätte ich auch nur erwarten können. Was ist hierbei zu ergänzen? Ueber die Bedeutung von *ἐλπίζειν* s. zu IV, 8. — *ᾔδεις*, s. oben zu Todtengespr. 22, 2. — *τῶν ἵππων τὸν θυμόν*, s. zu Todtengespr. 22, 3. — *εἰ γὰρ ἐνδοίη τις*, denn im Fall od. so oft dass man locker gelassen hat. Toxar. 7: *εἰ δέ τι καὶ μικρόν τι ἀντιπνεύσειεν, οἴχονται μόνους τοῖς κινδύνοις ἀπολιπόντες*. — *ὥσπερ ἀμέλει*, wie ja, wie in der That; Piscat. 25. u. ö. — *ἄρτι μέν* mit entsprechendem *μετ' ὀλίγον δέ*, wie Bis accus. 1. De saltat. 10. oder *μετὰ μικρὸν δέ* Abdicat. 9. — *ἐς τὸ ἐναντίον τοῦ δρόμου*, d. i. nach der entgegengesetzten Richtung.

2. *ἐπὶ πολύ*, (auf) lange Zeit; ebenso *ἐπ' ὀλίγον*. — *κατελιπάρησε*. Nur hier und Catapl. 4. 14. vorkommendes Wort. — *βεβηκέναι*, feststehen. — *ἀφέντα*, näml.

εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν, καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι· ὁ δὲ — παῖς γὰρ ἦν — ἐπιβὰς τοσούτου πυρὸς καὶ ἐπικύψας ἐς βάθος ἀχανὲς ἐξεπλάγη, ὡς τὸ εἰκός· οἱ δὲ ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου ἐξετράποντο τῆς ὁδοῦ καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν· ὁ δὲ τὰς ἡνίας ἀφείς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ αὐτός, εἴχετο τῆς ἄντυγος. ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην, κἀμοί, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος.

3 *ΖΕΥΣ. Ἱκανὸν λέγεις τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι, ἐς δὲ τὸ λοιπόν, ἤν τι ὅμοιον παρανομήσῃς ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ, ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. ὥστε ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθείς, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι, καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει, σὺ δὲ ξυμπηξάμενος τὸ ἅρμα — κατέαγε δὲ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος τῶν τροχῶν συντέτριπται — ἔλαυνε ὑπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.*

---

18 (26).

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1 *ΑΠ. Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστὶ τούτων, ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς.*

ΕΡΜ. Ὁ μὲν χθὲς ἡμῖν ξυγγενόμενος ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης.

τοὺς ἵππους. — *εἶτα*, näml. *ἐφ' ὁπόσον.* — *ἐφιέναι*, näml. *τὰς ἡνίας.* — *ὀρθήν*, näml. *ὁδόν*, geradeaus. — *τοσούτου πυρός*, die so grosse Feuermasse, d. i. den Sonnenwagen. — *ἐξεπλάγη.* Ovid. Metamorph. 2, 178 ff.
Ut vero summo despexit ab aethere terras
Infelix Phaëthon penitus penitusque iacentes,
Palluit et subito genua intremuere timore,
Suntque oculis tenebrae per tantum lumen obortae.

3. *αἱ ἀδελφαί*, die Heliaden; vgl. Metamorph. 2, 323 ff. 340 ff. Unter dem Eridanos dachte sich Aeschylos in den Heliaden den Rhodanus, den er aber mit dem Padus vermischte; Euripides nahm eine Vereinigung beider Flüsse an. Dann ward dieser mythische Name gewöhnlich auf den Padus bezogen. Vgl. mit dieser Stelle De electr. 2.

ΑΠ. Πῶς διαγινώσκεις; ὅμοιοι γάρ.

ΕΡΜ. Ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων, καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη τῷ Ἰάσονι συμπλέων, ἅτερος δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι καὶ ἀπαθὴς τὸ πρόσωπον.

ΑΠ. Ὤνησας διδάξας τὰ γνωρίσματα, ἐπεὶ τά γε ἄλλα πάντα ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον καὶ ἀστὴρ ὑπεράνω καὶ ἀκόντιον ἐν τῇ χειρὶ καὶ ἵππος ἑκατέρῳ λευκός, ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον Κάστορα Πολυδεύκην ὄντα, τὸν δὲ τῷ τοῦ Πολυδεύκους ὀνόματι. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ' ἐξ ἡμισείας ἄρτι μὲν νεκρός, ἄρτι δὲ θεός ἐστιν ἅτερος αὐτῶν;

ΕΡΜ. Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθάνατον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν. 2

ΑΠ. Οὐ ξυνετήν, ὦ Ἑρμῆ, τὴν νομήν, οἵ γε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γὰρ ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; πλὴν ἀλλ', ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις παιδοτρίβης ἄριστος ὤν, ἡ δὲ Ἄρτεμις μαιεύεται, καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην, οὗτοι δὲ τί ποιήσουσιν ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες;

1. οὗτος μέν, Polydeukes. — ὁπόσα, näml. τραύματα. Toxar. 61: νοσῶν ἀπὸ τοῦ τραύματος, ὃ ἐτέτρωτο κατὰ τὴν ὁδὸν ὑπὸ λῃστῶν. — ὑπὸ τοῦ Βέβρ. κτέ. Als Verwandte des Iason nahmen die Dioskuren an dem Argonautenzuge Theil. Auf der Fahrt nach Kolchis landeten die Argonauten, um sich mit frischem Wasser zu versehen, an der Küste Bithyniens, welche die Bebryker bewohnten, deren König, der Riese Amykos, den Polydeukes zum Faustkampf herausforderte, aber von demselben besiegt ward. — ὤνησας διδάξας, du hast mir damit einen Gefallen gethan, dass du u. s. w. Kr. Gr. §. 56, 8, 1. — τοῦ ᾠοῦ τὸ ἡμίτομον. Dieses bezieht sich auf die Halbeiform ihrer Hüte. — ἀστήρ. Ein beständiges Attribut der Dioskuren ist auch der Stern über ihren Hüten. — ἵππος ἑκατέρῳ λευκός. Beide wurden gedacht auf strahlend weissen Rossen (λευκόπωλοι, ἵπποις μαρμαίροντε). Ovid. Metam. 8, 373. — ἐξ ἡμισείας, zur Hälfte, d. i. hier abwechselnd; s. zu Todtengespr. 16, 1.

2. ἕνα, Kastor. Nach späterer Sage nämlich ist Polydeukes ein Sohn des Zeus und somit unsterblich, Kastor dagegen der Sohn des Tyndareos und in Folge dessen sterblich. — τὴν νομήν, näml. ἐνείμαντο, oder allgemeiner ἐποιήσαντο. — οἵ γε, s. zu II, 25. — πῶς γὰρ . . ὤν, näml. ὄψονται. — μαντεύομαι, ein Seher bin. — οὗτοι δέ, im Zusammenhange mit πλὴν

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι καὶ καθιππεύειν δεῖ τὸ πέλαγος καὶ ἐάν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον σώζειν τοὺς ἐμπλέοντας.

ΑΠ. Ἀγαθήν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

ἀλλά. Der Hauptsatz ist durch mehrere Zwischensätze mit verschiedenen Subjekten unterbrochen und wird durch *οὗτοι* wieder aufgenommen, diesem aber *δέ* beigefügt, um den Nebensubjekten das Hauptsubjekt stärker entgegenzusetzen. — *ἐπικαθίσαντας κτἑ.* Schon im hymn. Homer. 33 wird berichtet, dass die Dioskuren, wen sie im Sturme von den Schiffern angerufen und ihnen weisse Lämmer gelobt wurden, plötzlich auf gelblichen Schwingen zu Hilfe eilen und die tobende Meeresfluth beruhigen. Es bezieht sich das auf das S. Elms- oder S. Helenasfeuer, welches sich bei Stürmen an die Spitze des Mastes und der Segelstangen heftet. Vgl. Horat. od. 1, 12, 27 ff.

ΑΦΡ. Θάρρει τούτου γε ἕνεκα. παῖδε γάρ μοι ἐστὸν δύο καλώ, Ἵμερος καὶ Ἔρως, τούτω σοι παραδώσω ἡγεμόνε τῆς ὁδοῦ γενησομένω· καὶ ὁ μὲν Ἔρως ὅλος παρελθὼν ἐς αὐτὴν ἀναγκάσει τὴν γυναῖκα ἐρᾶν, ὁ δὲ Ἵμερος αὐτῷ σοι περιχυθείς, τοῦθ' ὅπερ ἐστίν, ἱμερτόν σε θήσει καὶ ἐράσμιον, καὶ αὐτὴ δὲ συμπαροῦσα δεήσομαι καὶ τῶν Χαρίτων ἀκολουθεῖν, ἅπαντες αὐτὴν ἵνα πείσωμεν.

ΠΑΡ. Ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Ἀφροδίτη· πλὴν ἐρῶ γε ἤδη τῆς Ἑλένης, καὶ οὐκ οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἴομαι καὶ πλέω εὐθὺ τῆς Ἑλλάδος καὶ τῇ Σπάρτῃ ἐπιδημῶ καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα καὶ ἄχθομαι, ὅτι μὴ ταῦτα ἤδη πάντα ποιῶ.

ΑΦΡ. Μὴ πρότερον ἐρασθῇς, ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν καὶ νυμφαγωγὸν ἀμείψασθαι τῇ κρίσει· πρέποι γὰρ ἂν κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τὰ ἐπινίκια· πάντα γάρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον τουτουὶ τοῦ μήλου πρίασθαι. 16

ΠΑΡ. Δέδοικα, μή μου ἀμελήσῃς μετὰ τὴν κρίσιν.

ΑΦΡ. Βούλει οὖν ἐπομόσωμαι;

ΠΑΡ. Μηδαμῶς, ἀλλὰ ὑπόσχου πάλιν.

ΑΦΡ. Ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα καὶ ἀκολουθήσειν γε αὐτὴν καὶ ἀφίξεσθαι παρ' ὑμᾶς ἐς τὴν Ἴλιον, καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω τὰ πάντα.

ΠΑΡ. Καὶ τὸν Ἔρωτα καὶ τὸν Ἵμερον καὶ τὰς Χάριτας ἄξεις;

ΑΦΡ. Θάρρει, καὶ τὸν Πόθον καὶ τὸν Ὑμέναιον ἔτι πρὸς τούτοις παραλήψομαι.

ΠΑΡ. Οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε.

παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν. Jedoch bleibt auch der Artikel weg, s. Kr. Gr. §. 57, 10, 7. — Ἵμερος καὶ Ἔρως, Begleiter der Aphrodite, Hesiod. theog. 201. Beide mit dem Pothos standen, ein Werk des Skopas, in dem Tempel der Aphrodite in Megara. — χωρήσει. Selten ist vom Simplex bei Att. das Futur. in activer Form, öfter in Compositen.

16. ἔνεστί σοι, es steht bei dir. — βούλει ἐπομόσωμαι, s. zu II, 37. — ἄξεις, wirst du mitbringen. Piscat. 16: ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις; u. ö. — ἐπὶ τούτοις wiederholt Paris mit ganz besonderem Nachdruck.

wie man ja auch an seinem Nachbar Simon sehen könne. Der Hahn lacht über die Einfalt des Mikylos und sagt, dass es in der Wirklichkeit damit ganz anders stehe, da ja die Reichen, wenn man die Sache genau betrachte, weit unglücklicher und bedauernswerther als die Armen seien. Er selbst, der oftmals reich und arm gewesen, müsse das am Besten beurtheilen können. Hierbei veranlasst Mikylos den Hahn, ihm die Geschichte seiner Wandlungen mitzutheilen. Als nun dieser die Erzählung beginnt, unterbricht ihn jener mit der Frage, ob auch er selbst wol derartige Wandlungen durchgemacht habe. Nachdem der Hahn dieses bestätigt, fährt er fort, alle seine Erlebnisse in den verschiedenen Wandlungen bis auf die in einen Hahn aufzuzählen, um damit darzuthun, dass das Loos der Reichen und Mächtigen den Armen gegenüber keineswegs beneidenswerth sei. Allein dessen ungeachtet kann sich Mikylos seiner Begierde nach Reichthum immer noch nicht entschlagen, und der Hahn, um der besseren Einsicht bei ihm Eingang zu verschaffen, führt ihn in die Häuser der Reichen selbst. Er lässt sich eine Feder aus dem Schwanze ziehn, welche die Eigenschaft hat, unsichtbar zu machen und jede Thüre zu öffnen, und geht nun mit ihm zu Simon, den sie abgezehrt, schlaflos und von Furcht vor Dieben beängstigt antreffen; dann zum Wucherer Gniphon, den sie in ähnlichem Zustande finden; und endlich zu Eukrates, wo sie sehen, wie sowohl er als seine Gattin das schändlichste Leben führen.

Nachdem der Schuster dieses Alles gesehen, ist er mit seinem Geschick ganz und gar zufrieden und von seiner früheren Begierde nach Reichthum geheilt.

ἐπεβούλευον συνδῆσαι λαβόντες αὐτόν, ὡς παντοῖος ἦν δεδιώς, καὶ ταῦτα τρεῖς ὄντας, καὶ εἴ γε μὴ ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο [ἂν] αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ ἐπῄει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ.

ΕΡΜ. Σιώπα, φημί· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

---

16 (24).

ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

ΕΡΜ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; 1

ΜΑΙ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν.

ΕΡΜ. Μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ, καὶ διαστρώσαντα τὴν κλισίαν εὐθετίσαντά τε ἕκαστα παρεστάναι τῷ Διὶ καὶ διαφέρειν τὰς ἀγγελίας [τὰς] παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα, καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι καὶ παρεστάναι τῷ δικαστηρίῳ· οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας

— *ἐπεβούλευον*, mit dem Infinitiv. *per insidias moliri*, einen Plan schmieden, worauf ausgehen. Von derselben Sache Iup. trag. 40: *ἐπεβούλευον ξυνδῆσαι αὐτὸν ἡ θυγάτηρ καὶ ὁ ἀδελφὸς καὶ ἡ γυνή*. Herodot. 1: *ἐπεβούλευε δὲ ἀθρόους που λαβεῖν τοὺς Ἕλληνας ἅπαντας*. — *ὡς παντοῖος ἦν δεδιώς*, wie er alles Mögliche versuchte vor Furcht; s. zu Todtengespr. 21, 1. — *καὶ ταῦτα τρεῖς ὄντας*, wir: und zwar obschon sie nur drei waren; s. zu IV, 4. — *αὐτῷ κεραυνῷ καὶ βροντῇ*, s. zu II, 22.

1. *γάρ*, s. zu II, 18. Vgl. oben zu 2 z. A. — — *μὴ λέγε — μηδέν*, s. oben zu 12, 2. — *μὴ λέγω*, ich soll es nicht sagen? Ueber den Coniunctiv. s. zu Todtengespr. 13, 3. — *πρὸς τοσ. ὑπηρ. διασπ.*, s. zu Gall. 22. — *διαφέρειν*, hier und dorthin bringen, austragen. — *τὸν νεώνητον*. Für den geraubten Sohn (Ganymedes) gab Zeus dem Tros ein Gespaun göttlicher Rosse; Hom. Il. 5, 266. Ueber die Stellung des *τοῦτον* s. zu II, 6. — *τὸ δὲ πάντων δεινότατον*, s. zu Todtengespr. 5, 1. — *ὅτι μηδέ*, s. zu Todtengespr. 15, 2. De saltat. 4: *τὸ γοῦν δεινότατον τοῦτό ἐστιν, ὅτι μηδὲ ἰάσεώς τινα ἡμῖν ὑποφαίνεις ἐλπίδα*. — *μόνος τῶν ἄλλων*, s. zu II, 55. — *τῷ δικαστηρίῳ*, das über die Todten in der Unterwelt gehalten wurde, die Hermes

ἥλιον ἀνίσχειν μίαν κρηπῖδα ἐργάσῃ, πρὸ ὁδοῦ ἔσῃ τοῦτ' ἐς τὰ ἄλφιτα πεπονηκώς. εἰ δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι καὶ πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων, σὺ δὲ ὅρα ὅπως μὴ ὄναρ πλουτῶν λιμώττῃς ἀνεγρόμενος.

2 ΜΙΚ. Ὦ Ζεῦ τεράστιε καὶ Ἡράκλεις ἀλεξίκακε, τί τὸ κακὸν τοῦτ' ἐστίν; ἀνθρωπικῶς ἐλάλησεν ἀλεκτρυών.

ΑΛΕΚ. Εἶτά σοι τέρας εἶναι δοκεῖ τὸ τοιοῦτον, εἰ ὁμόφωνος ὑμῖν εἰμι;

ΜΙΚ. Πῶς γὰρ οὐ τέρας; ἀλλ' ἀποτρέποιτε, ὦ θεοί, τὸ δεινὸν ἀφ' ἡμῶν.

ΑΛΕΚ. Σύ μοι δοκεῖς, ὦ Μίκυλε, κομιδῇ ἀπαίδευτος εἶναι μηδὲ ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα, ἐν οἷς καὶ ὁ τοῦ Ἀχιλλέως ἵππος ὁ Ξάνθος, μακρὰ χαίρειν φράσας τῷ χρεμετίζειν, ἕστηκεν ἐν μέσῳ τῷ πολέμῳ διαλεγόμενος, ἔπη ὅλα ῥαψῳδῶν, οὐχ ὥσπερ ἐγὼ νῦν ἄνευ τῶν μέτρων· ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος καὶ τὰ μέλλοντα προεθέσπιζε, καὶ οὐδέν τι παράδοξον ἐδόκει ποιεῖν, οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο ὥσπερ σὺ τὸν ἀλεξίκακον, ἀποτρόπαιον ἡγούμενος τὸ ἄκουσμα. καίτοι τί ἂν ἐποίησας, εἴ σοι ἡ τῆς Ἀργοῦς τρόπις ἐλάλησεν ἢ Δωδώνη αὐτόφωνος ἐμαντεύσατο, ἢ εἰ βύρσας εἶδες ἑρπού-

ten Theil deines Tagewerks. — πρὸ ὁδοῦ, förderlich. Hermotim. 1: ὃ πρὸ ὁδοῦ σοι γένοιτ' ἂν ἐς τὰ ἄλφιτα. Unattische aber schon bei Aristoteles vorkommende Formel für προὔργου.

2. τεράστιε, s. zu II, 41. — εἶτα, s. zu Todtengespr. 16, 1. — ὁ τοῦ Ἀχιλλ. ἵππος. Vgl. Il. 19, 407: αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη. — μακρὰ χαίρειν φράσας, ein lautes Lebewohl sagend, eine bei Luc. oft vorkommende Formel, Pro merc. cond. 5. Bis accus. 21. Fugit. 20. Navig. 2. De morte Peregr. 32. u. s.; μακρὰ χαίρειν λέγειν, Asin. 46.; auch πολλὰ χ. φρ., Rhet. praec. 9. Ebenso μακρὰ οἰμώζειν λέγειν unten c. 23. — ἀλλὰ καί, ja auch. — ἡ τῆς Ἀργοῦς τρόπις. Die Argo, auf welcher Iason und seine Gefährten jene berühmte Fahrt nach Kolchis unternahmen, war aus Fichten vom Berge Pelion erbaut. In derselben hatte Athene ein Stück von der dodonäischen Eiche angebracht, welches die Gabe zu sprechen und zu weissagen besass. De saltat. 52: Θετταλία παρέχει τὸν τῶν πεντήκοντα νέων στόλον, τὴν Ἀργώ, τὴν λάλον αὐτῆς τρόπιν. — Δωδώνη αὐτόφωνος, zu verstehen von jener heiligen Eiche zu Dodona. Ebenso, d. i. mit derselben Kürze, heisst es bei Symmach. ep. 4, 33: *non vides oracula olim locuta desiisse nec ullas in antro Cumano literas legi nec Dodonam loqui frontibus nec de spiraculis Delphicis ullum carmen audiri?* Zu Dodona nämlich, jenem uralten Orakelsitze des Zeus in Epeiros, in der Gegend des Sees von Jannina, stand eine heilige Eiche, aus deren Rauschen man den Willen des Zeus erkannte, oder die selbst mit der Gabe weissagender Rede versehen war. Vgl. Hom. Odyss. 14, 327. — εἰ βύρσας κτέ. Dieses erzählt Hom. Od. 12, 395 f. von den Sonnenrindern, welche von des Odysseus Gefährten getödtet worden waren:

17 (25).

ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ.

ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε. ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθείς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε, πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε· καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ὑπέμεινεν ἄν· τοιοῦτον ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον καὶ διφρηλάτην ἐκπέπομφας. 1

ΗΛ. Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

ΖΕΥΣ. Οὐκ ᾔδεις, ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα, καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμόν, καὶ ὡς δεῖ ξυνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθύς, ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιά, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιά, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

ΗΛ. Πάντα μὲν ἠπιστάμην ταῦτα, καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολὺ καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα ὑπεθέμην, ὅπως μὲν χρὴ βεβηκέναι αὐτόν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι, 2

1. *μειρακίῳ ἀνοήτῳ*, dem Phaëthon. Ovid. Metam. 1, 750 ff. 2, 1—400. Dieselbe Sage erzählt in einem dem Hesiodos zugeschriebenen Gedicht astronomischen Inhalts und dargestellt von Aeschylos in den Heliaden und von Euripides im Phaëthon. — *τὰ μὲν .. τὰ δέ*, die eine Hälfte, die andere Hälfte der Erde. — *πρόσγειος*, Kr. Gr. §. 57, 5, 4. — *πόθεν γὰρ ἂν καὶ ἤλπισα*, denn woher hätte ich auch nur erwarten können. Was ist hierbei zu ergänzen? Ueber die Bedeutung von *ἐλπίζειν* s. zu IV, 8. — *ᾔδεις*, s. oben zu Todtengespr. 22, 2. — *τῶν ἵππων τὸν θυμόν*, s. zu Todtengespr. 22, 3. — *εἰ γὰρ ἐνδοίη τις*, denn im Fall od. so oft dass man locker gelassen hat. Toxar. 7: *εἰ δέ τι καὶ μικρόν τι ἀντιπνεύσειεν, οἴχονται μόνους τοῖς κινδύνοις ἀπολιπόντες.* — *ὥσπερ ἀμέλει*, wie ja, wie in der That; Piscat. 25. u. ö. — *ἄρτι μέν* mit entsprechendem *μετ' ὀλίγον δέ*, wie Bis accus. 1. De saltat. 10. oder *μετὰ μικρὸν δέ* Abdicat. 9. — *ἐς τὸ ἐναντίον τοῦ δρόμου*, d. i. nach der entgegengesetzten Richtung.

2. *ἐπὶ πολύ*, (auf) lange Zeit; ebenso *ἐπ' ὀλίγον*. — *κατελιπάρησε*. Nur hier und Catapl. 4. 14. vorkommendes Wort. — *βεβηκέναι*, fest stehen. — *ἀφέντα*, näml.

Ἄρη ἀγανακτῆσαι κατὰ τοῦ Ἀλεκτρυόνος καὶ μεταβαλεῖν αὐτὸν ἐς τουτὶ τὸ ὄρνεον αὐτοῖς ὅπλοις, ὡς ἔτι τῆς κόρυθος τὸν λόφον ἔχειν ἐπὶ τῇ κεφαλῇ, καὶ διὰ τοῦτο ὑμᾶς ἀπολογουμένους τῷ Ἄρει, ὅτ' οὐδὲν ὄφελος, ἐπειδὰν αἴσθησθε ἀνελευσόμενον τὸν Ἥλιον, πρὸ πολλοῦ βοᾶν ἐπισημαινομένους τὴν ἀνατολὴν αὐτοῦ.

4 ΑΛΕΚ. Φασὶ μὲν καὶ ταῦτα, ὦ Μικύλε, τὸ δ' ἐμὸν ἑτεροῖόν τι γέγονε, καὶ πάνυ ἔναγχος ἐς ἀλεκτρυόνα σοι μεταβέβηκα.

ΜΙΚ. Πῶς; ἐθέλω γὰρ τοῦτο μάλιστα εἰδέναι.

ΑΛΕΚ. Ἀκούεις τινὰ Πυθαγόραν Μνησαρχίδην Σάμιον;

ΜΙΚ. Τὸν σοφιστὴν λέγεις, τὸν ἀλαζόνα, ὃς ἐνομοθέτει μήτε κρεῶν γεύεσθαι μήτε κυάμους ἐσθίειν, ἥδιστον ἐμοὶ γοῦν ὄψον ἐκτράπεζον ἀποφαίνων, ἔτι δὲ πείθων τοὺς ἀνθρώπους, ὡς πρὸ τοῦ Πυθαγόρου Εὔφορβος γένοιτο· γόητά φασι καὶ τερατουργόν, ὦ ἀλεκτρυών.

ΑΛΕΚ. Ἐκεῖνος αὐτὸς ἐγώ σοί εἰμι ὁ Πυθαγόρας, ὥστε παῦ', ὦγαθέ, λοιδορούμενός μοι, καὶ ταῦτα οὐκ εἰδὼς οἷός τις ἦν τὸν τρόπον.

ΜΙΚ. Τοῦτ' αὖ μακρῷ ἐκείνου τερατωδέστερον, ἀλεκ-

einandersetzung über eine Allen bekannte Sache, hier über die Freilassung des Ares, vermieden. Vgl. Demosth. 3,8: *οὐδὲ τὸν φόβον μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν*. 23, 182: *τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει*. — *αὐτοῖς ὅπλοις*, s. zu II, 22. Todtengespr. 10, 3. 20, 4. Göttergespr. 21, 2. — *ἀπολογουμένους τῷ Ἄρει*, euch rechtfertigend vor dem Ares. Phalar. 1, 1: *εἰ ὑμῖν ἀπολογησαίμην*. De conscr. hist. 24: *γελοῖον, εἴ σοι νῦν ἀπολογοίμην*. — *ὅτ' οὐδὲν ὄφελος*, hängt mit *βοᾶν* zusammen. Ebenso De merc. cond. 3. — *ἀνελευσόμενον*. Ueber diese bei Luc. nicht ungewöhnliche Futurform s. zu III, 18.

4. *τὸ δ' ἐμόν*, s. oben zu Göttergespr. 14, 7. — *μεταβέβηκα*. Vitar. auct. 5: *πάλαι ἐν ἄλλῳ σώματι καὶ ἐν ἄλλῳ οὐνόματι ἐφαντάζεο· χρόνῳ δὲ αὖτις ἐς ἄλλον μεταβήσεαι*. — *ἀκούεις*, hast du gehört; s. zu IV, 4. — *Πυθαγόραν*. Pythagoras, dessen Geschichte schon früh von der Sage entstellt worden ist, war geboren auf Samos in den Jahren 580 bis 568. Sein Vater heisst fast allgemein Mnesarchos. Im 40. Lebensjahre soll er nach Grossgriechenland übergesiedelt sein und in Kroton eine Gesellschaft oder Schule gegründet haben, welche sich noch bei seinen Lebzeiten über die bedeutendsten grossgriechischen Städte verbreitete, und sowohl in philosophischer, als besonders in politischer Beziehung von grossem Einfluss war. — *μήτε κρεῶν γεύεσθαι μήτε κυάμους ἐσθίειν*. Vgl. Vitar. auct. 6, wo Pythagoras sagt: *ψυχήιον μὲν οὐδὲ ἓν σιτέομαι, τὰ δ' ἄλλα πλὴν κυάμων*. Ausführlich trägt diese Lehre Pythagoras vor bei Ovid. Metam. 15, 76 ff. — *ἐκτράπεζον ἀποφαίνων*, vom Tische verbannend, ein nur hier vorkommendes Wort. — *Εὔφορβος*, s. oben zu Todtengespr. 20, 3. — *παῦ' .. λοιδορούμενος*. So stets oder *παῦσαι*,

τρυῶν φιλόσοφος. εἰπὲ δὲ ὅμως, ὦ Μνησάρχου παῖ, ὅπως ἡμῖν ἀντὶ μὲν ἀνθρώπου ὄρνις, ἀντὶ δὲ Σαμίου Ταναγρικὸς ἀναπέφηνας· οὐ πιθανὰ γὰρ ταῦτα οὐδὲ πάνυ πιστεῦσαι ῥάδια, ἐπεὶ καὶ δύ' ἤδη μοι τετηρηκέναι δοκῶ πάνυ ἐν σοὶ ἀλλότρια τοῦ Πυθαγόρου.

ΑΛΕΚ. Τὰ ποῖα;

ΜΙΚ. Ἓν μὲν ὅτι λάλος εἶ καὶ κρακτικός, ὁ δὲ σιωπᾶν ἐς πέντε ὅλα ἔτη, οἶμαι, παρῄνει, ἕτερον δὲ καὶ παντελῶς παράνομον· οὐ γὰρ ἔχων ὅ τι σοι παραβάλοιμι, κυάμους χθὲς ἧκον, ὡς οἶσθα, ἔχων, καὶ σὺ οὐδὲν μελλήσας ἀνέλεξας αὐτούς· ὥστε ἢ ἐψεῦσθαί σοι ἀνάγκη καὶ ἄλλῳ εἶναι, ἢ Πυθαγόρᾳ ὄντι παρανενομηκέναι καὶ τὸ ἴσον ἠσεβηκέναι κυάμους φαγόντα, ὡς ἂν εἰ τὴν κεφαλὴν τοῦ πατρὸς βεβρώκεις.

ΑΛΕΚ. Οὐ γὰρ οἶσθα, ὦ Μικύλε, ἥτις αἰτία τούτων, 5 οὐδὲ τὰ πρόσφορα ἑκάστῳ βίῳ. ἐγὼ δὲ τότε μὲν οὐκ ἤσθιον τῶν κυάμων, ἐφιλοσόφουν γάρ· νῦν δὲ φάγοιμ' ἄν, ὀρνιθικὴ γὰρ καὶ οὐκ ἀπόρρητος ἡμῖν ἡ τροφή. πλὴν ἀλλά, εἴ σοι φίλον, ἄκουε ὅπως ἐκ Πυθαγόρου τοῦτο νῦν εἰμι καὶ ἐν οἵοις βίοις πρότερον ἐβιότευσα καὶ ἅτινα τῆς μεταβολῆς ἑκάστης ἀπολέλαυκα.

ΜΙΚ. Λέγοις ἄν· ὡς ἔμοιγε ὑπερήδιστον ἂν τὸ ἄκουσμα γένοιτο, ὥστε εἴ τις αἵρεσιν προθείη, πότερα μᾶλλον ἐθέλω σοῦ ἀκούειν τὰ τοιαῦτα διεξιόντος ἢ τὸν πανευδαίμονα ὄνειρον ἐκεῖνον αὖθις ὁρᾶν τὸν μικρὸν ἔμπροσθεν, οὐκ οἶδα ὁπότερον ἂν ἑλοίμην· οὕτως ἀδελφὰ ἡγοῦμαι τὰ σὰ τοῖς [ἡδίστοις] φανεῖσι, καὶ ἐν ἴσῃ ὑμᾶς τιμῇ ἄγω, σέ τε καὶ τὸ πολυτίμητον ἐνύπνιον.

ΑΛΕΚ. Ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν ὄνειρον, τίς ποτε ὁ

nie *παύον*. Unten c. 6: *παῦε, ὦ Μίδα βέλτιστε, χρυσολογῶν*. Toxar. 53: *παῦε ἄλλον με ποιῶν σεαυτοῦ*. Iup. trag. 33. Dial. meretr, 12, 2. Nigr. 8. Vgl. Kr. Gr. §. 52, 2, 5. — *Ταναγρικός*. Die Hähne von Tanagra in Böotien waren besonders berühmt als *μάχιμοι*. — *πάνυ* gehört zu *ἀλλότρια*. Navig. 26: *οἶσθα οὖν, ὡς πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὑτοσὶ πλοῦτος ἀπήρτηται*. u. s. — *τὰ ποῖα*, s. zu II, 28. — *φαγόντα* für *φαγόντι*, s. Kr. Gr. §. 55, 2, 7. Ebenso unten c. 26: *ἐντεμόντα*. — *ὡς ἂν εἰ*, elliptische Formel. Was ist bei *ὡς ἄν* zu ergänzen? Sonst sagt Lucian. in der Regel *ὥσπερ ἂν εἰ*, wie die Attiker, auch *καθάπερ ἂν εἰ*. — *βεβρώκεις*. Dieselbe Form (*βέβρωκεν*) Parasit. 22.; sogar *βρωθείς* Nigr. 33. Uebrigens vgl. Vitar. auct. 6. und jenen bekannten Vers: *ἶσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων*.

5. *τῶν κυάμων*, Kr. Gr. II. §. 47, 15, 5. — *λέγοις ἄν*, imperativisch, wie c. 21.; Kr. Gr. §. 54, 3, 8. Hermotim. 16: *οὐκοῦν καὶ ἡμᾶς διδάσκοις ἂν τοῦτο*. — *μικρὸν ἔμπροσθεν*, s. zu IV, 11. — *ἔτι γάρ*.

φανείς σοι ἦν, καί τινα ἰνδάλματα μάταια διαφυλάττεις, κενὴν καὶ ὡς ὁ ποιητικὸς λόγος ἀμενηνήν τινα εὐδαιμονίαν τῇ μνήμῃ μεταδιώκων;

6 *ΜΙΚ. Ἀλλ' οὐδὲ ἐπιλήσομαί ποτε, ὦ ἀλεκτρυών, εὖ ἴσθι, τῆς ὄψεως ἐκείνης· οὕτω μοι πολὺ τὸ μέλι ἐν τοῖς ὀφθαλμοῖς ὁ ὄνειρος καταλιπὼν ᾤχετο, ὡς μόγις ἀνοίγειν τὰ βλέφαρα ὑπ' αὐτοῦ ἐς ὕπνον αὖθις κατασπώμενα. οἷον γοῦν ἐν τοῖς ὠσὶ τὰ πτερὰ ἐργάζεται στρεφόμενα, τοιοῦτον γάργαλον παρεῖχέ μοι τὰ ὁρώμενα.*

ΑΛΕΚ. Ἡράκλεις, δεινόν τινα τὸν ἔρωτα φῂς τοῦ ἐνυπνίου, εἴ γε πτηνὸς ὤν, ὥς φασι, καὶ ὅρον ἔχων τῆς πτήσεως τὸν ὕπνον, ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς, μελιχρὸς οὕτω καὶ ἐναργὴς φαινόμενος· ἐθέλω οὖν ἀκοῦσαι, οἷός τίς ἐστιν, οὕτω σοι τριπόθητος ὤν.

ΜΙΚ. Ἕτοιμος λέγειν· ἡδὺ γοῦν μοι τὸ μεμνῆσθαι καὶ διεξιέναι τι περὶ αὐτοῦ. σὺ δὲ πηνίκα, ὦ Πυθαγόρα, διηγήσῃ τὰ περὶ τῶν μεταβολῶν;

ΑΛΕΚ. Ἐπειδὰν σύ, ὦ Μικύλε, παύσῃ ὀνειρώττων καὶ ἀποψήσῃ ἀπὸ τῶν βλεφάρων τὸ μέλι. τὸ νῦν δὲ πρότερος εἰπέ, ὡς μάθω, εἴτε διὰ τῶν ἐλεφαντίνων πυλῶν εἴτε διὰ τῶν κερατίνων σοι ὁ ὄνειρος ἧκε πεμπόμενος.

ΜΙΚ. Οὐδὲ δι' ἑτέρας τούτων, ὦ Πυθαγόρα.

Ueber *γάρ* in der Frage s. zu II, 18. Ebenso c. 32: *ἔτι γὰρ σὺ ὀνειρώττεις τὸν πλοῦτον;* Dial. deor. 4, 2. Catapl. 9. — *ὡς ὁ ποιητικὸς λόγος*, näml. *φησίν*. Vgl. Halc. 7. Dial. deor. 20, 5. u. s. Homer. Odyss. 19, 562: *δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων.*

6. *παρεῖχε*, s. zu Todtengespr. 27, 7. — *δεινόν τινα τὸν ἔρωτα φῂς*, d. i. ὁ *ἔρως, ὃν φῂς, δεινός τίς ἐστι*, s. zu I, 1. — *πτηνὸς ὤν*. Das Masculin. steht, obschon *τοῦ ἐνυπνίου* vorhergeht, weil vorzugsweise an *ὁ ὄνειρος* zu denken ist und man sich diesen ja personificirt vorzustellen hat. *πτηνός* ist ein nicht seltenes Beiwort von *ὄνειρος*. — *ὑπὲρ τὰ ἐσκαμμένα*, sprichwörtlicher Ausdruck für: über die Grenze, hergenommen vom Sprung als Theil des Pentathlon. „Die Stelle, von wo aus man sprang, hiess *βατήρ*, das Mass des Sprunges *κανών*, die Grenze, wo der Niedersprung Statt fand, *τὸ σκάμμα, τὰ ἐσκαμμένα*, weil nämlich hier ein kleiner Graben oder Aufwurf gebildet wurde." Krause: die Gymn. u. Agon. I p. 393. — *ἀνεῳγόσι*, s. oben zu Todtengespr. 4, 1. — *ἕτοιμος*, näml. *εἰμί*. Catapl. 10: *καὶ μὴν ἐγγυητὰς ὑμῖν ἕτοιμος παρασχέσθαι.* c. 19: *τἄλλα δὲ ἢν ἀντλεῖν ἐθέλῃς, ἕτοιμος καὶ πρόσκωπος εἶναι.* Toxar. 40. 52. De saltat. 6 u. ö. Kr. Gr. §. 62, 1, 5. — *αὐτοῦ*, näml. *τοῦ ὀνείρου*. — *πηνίκα*, wann, s. v. a. *πότε*. Ebenso Tim. 4., und schon Demosth. 18, 313. Bei den Attikern in der Regel von einer bestimmten Tageszeit. — *τὸ νῦν*, für jetzt, ebenso wie *τὸ μετὰ τοῦτο, τὸ παραυτίκα* u. ä., s. Kr. Gr. §. 50, 5, 13. — *οὐδὲ δι' ἑτέρας*, Kr. Gr. §. 24, 2, 2. Amor. 4: *ἐπεὶ*

VII.

DER HAHN.

In dieser höchst launigen Schrift, deren Anfang die grösste Aehnlichkeit mit dem 10. Briefe des Alkiphron im 3. Buche hat, greift Lucian wieder in das gewöhnliche Leben der Menschen hinein und wählt sich aus diesem den Gegenstand für seine Satire. Er führt nämlich das Bild der Reichen, die bei der grossen Masse für glücklich gelten, vor Augen.

Ein in Dürftigkeit lebender Schuster, Namens Mikylos, wird durch das Krähen seines Haushahns aus seinem wonnevollen Traume, in dem er rings von Reichthum und Pracht umgeben ist, geweckt, und schimpft nun aus Aerger darüber, dass er ihn in seinem Glücke gestört, gehörig auf jenen los. Der Hahn entschuldigt sich damit, dass er es in der allerbesten Absicht gethan, um ihn nämlich noch vor Tagesanbruch zu seiner Arbeit zu wecken. Mikylos höchst erstaunt, dass sein Hahn sprechen könne, wird von diesem belehrt, dass schon in früheren Zeiten diese Erscheinung mehrfach vorgekommen sei. Was ihn selbst betreffe, so sei er früher ebenfalls Mensch gewesen, und zwar Pythagoras, ohne die anderen Leben weitläufig zu erwähnen, die er in Folge der Seelenwanderung durchgemacht. Indessen kann Mikylos seinen Traum immer noch nicht ganz vergessen, und wird in Folge dessen vom Hahn aufgefordert, denselben zum Besten zu geben. Dieser Aufforderung kommt er nach, erwähnt aber zuerst, dass er am gestrigen Tage an einem Gastmahle beim reichen Eukrates Theil genommen habe, und wie es ihm, dem Armen, dabei ergangen sei. Dann geht er zum Traume über; ihm habe nämlich geträumt, er sei der Erbe des Eukrates und aller seiner Schätze und Herrlichkeiten geworden, dann sei er aber mitten in einem von ihm veranstalteten Schmause durch das unzeitige Krähen aufgeschreckt und so wieder in die Wirklichkeit zurückversetzt worden. Auf den Tadel des Hahns, dass er so gierig nach Gold und Reichthum sei, entgegnet Mikylos, dass auch Andere, und unter diesen sogar Zeus, das Gold nicht verachtet hätten, und dass man durch dasselbe Alles vermöge,

ἐντυχὼν ἐν ἀγορᾷ λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.

8 *ΑΛΕΚ. Οἶδα τοῦτο, πάνυ πεινήσας παρ' ὅλην τὴν ἡμέραν, ἄχρι μοι βαθείας ἤδη ἑσπέρας ἧκες ὑποβεβρεγμένος, τοὺς πέντε κυάμους ἐκείνους κομίζων, οὐ πάνυ δαψιλὲς τὸ δεῖπνον ἀλεκτρυόνι ἀθλητῇ ποτε γενομένῳ καὶ Ὀλύμπια οὐκ ἀφανῶς ἀγωνισαμένῳ.*

ΜΙΚ. Ἐπεὶ δὲ δειπνήσας ἐπανῆλθον, ἐκάθευδον εὐθὺς τοὺς κυάμους σοι παραβαλών, εἶτά μοι κατὰ τὸν Ὅμηρον ἀμβροσίην διὰ νύκτα θεῖός τις ὡς ἀληθῶς ὄνειρος ἐπιστὰς...

ΑΛΕΚ. Τὰ παρὰ τῷ Εὐκράτει πρότερον, ὦ Μικύλε, διήγησαι, καὶ τὸ δεῖπνον οἷον ἐγένετο, καὶ τὰ ἐν τῷ συμποσίῳ ἅπαντα· κωλύει γὰρ οὐδὲν αὖθίς σε δειπνεῖν, ὥσπερ ὄνειρόν τινα τοῦ δείπνου ἐκείνου ἀναπλάττοντα καὶ ἀναμαρυκώμενον τῇ μνήμῃ τὰ βεβρωμένα.

9 *ΜΙΚ. Ὤιμην ἐνοχλήσειν καὶ ταῦτα διηγούμενος· ἐπεὶ δὲ σὺ προθυμῇ, καὶ δὴ λέγω. οὐ πρότερον, ὦ Πυθαγόρα, παρὰ πλουσίῳ τινὶ δειπνήσας ἐν ἅπαντι τῷ βίῳ τύχῃ τινὶ ἀγαθῇ ἐντυγχάνω χθὲς τῷ Εὐκράτει, καὶ ἐγὼ μὲν προσειπὼν αὐτόν, ὥσπερ εἰώθειν, δεσπότην ἀπηλλαττόμην, ὡς μὴ καταισχύνοιμι αὐτὸν σὺν τριβακῷ τῷ τρίβωνι συμπαρομαρτῶν, ὁ δέ, Μικύλε, φησί, θυγατρὸς τήμερον ἑστιῶ γενέθλια, καὶ παρεκάλεσα τῶν φίλων μάλα πολλούς· ἐπεὶ δέ τινά φασιν αὐτῶν μαλακῶς ἔχοντα οὐχ οἷόν τε εἶναι ξυνδειπνεῖν μεθ'*

ἔξοχα διαπρέπει πλούτου. — *λουσάμενον.* Sich vor Tische zu baden gehörte zu einem Bestandtheile des hellenischen Lebens; daher die so gewöhnliche Redensart *λουσάμενον* oder *λελουμένον ἐπὶ δεῖπνον ἐλθεῖν.* — *ἐκέλευε*, nicht *ἐκέλευσε.* Kr. Gr. §. 53, 2, 1. Häufig bei Lucian., vgl. Alexand. 25. 45. Conviv. 2. 13. 29. Toxar. 17. u. s. — *τὴν ὥραν*, zur rechten Zeit. Navig. 22: *λουσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.*

8. *παρ' ὅλην τὴν νύκτα*, s. zu II, 50. — *ὑποβεβρεγμένος*, angetrunken, oft bei Lucian. u. a. Späteren. — *Ὀλύμπια .. ἀγωνισαμένῳ*, Kr. Gr. §. 46, 6. Pythagoras siegte nach der Angabe des Eratosthenes und Phavorinos Ol. 48. im olympischen Faustkampf. — *κατὰ τὸν Ὅμηρον*. Il. 2, 56 f. *θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος ἀμβροσίην διὰ νύκτα.* — *ὡς ἀληθῶς*, s. zu I, 10.

9. *καὶ δή*, auch eben, so eben, *protenus*, *statim*, fast = *ἤδη*; *δή* ist hier temporal. Ebenso c. 29. Bis accus. 4: *ἐπεὶ δὲ σὺ περὶ τούτων τοὺς λόγους ἐνέβαλες, καὶ δὴ λέγω.* Piscat. 22. Halc. 3 u. s. — *ἀπηλλαττόμην*, Kr. Gr. §. 53, 2, 2. — *σύν*, nicht *ἐν*, wie auch wir oft „mit" in solchen Verbindungen gebrauchen. Xenoph. anab. 4, 5, 33: *κατελάμβανον διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς.* — *ἑστιῶ γενέθλια*, feiere den Geburtstag mit einem Gastmahl. Kr. Gr. §. 46, 6. Hermotim. 11: *γενέθλια θυγατρὸς ἑστιῶν.* — *μαλακῶς ἔχοντα* = d. folg. *μαλακίζεσθαι*, unpäss-

VII.

ΟΝΕΙΡΟΣ Η *ΑΛΕΚΤΡΥΩΝ.*

ΜΙΚΥΛΟΣ. *Ἀλλὰ σέ, κάκιστε ἀλεκτρυών, ὁ Ζεὺς αὐτὸς ἐπιτρίψειε φθονερὸν οὕτω καὶ ὀξύφωνον ὄντα, ὅς με πλουτοῦντα καὶ ἡδίστῳ ὀνείρατι ξυνόντα καὶ θαυμαστὴν εὐδαιμονίαν εὐδαιμονοῦντα διάτορόν τι καὶ γεγωνὸς ἀναβοήσας ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν πολὺ σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι. καίτοι εἴ γε χρὴ τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ πολλῇ ἔτι οὔσῃ καὶ τῷ κρύει μηδέπω με τὸ ὄρθριον ὥσπερ εἴωθεν ἀποπηγνύντι — γνώμων γὰρ οὗτος ἀψευδέστατός μοι προσελαυνούσης ἡμέρας —, οὐδέπω μέσαι νύκτες εἰσίν. ὁ δὲ ἄυπνος οὗτος, ὥσπερ τὸ χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων, ἀφ' ἑσπέρας εὐθὺς ἤδη κέκραγεν. ἀλλ' οὔτι χαίρων γε· ἀμυνοῦμαι γὰρ ἀμέλει σε, ἢν μόνον ἡμέρα γένηται, συντρίβων τῇ βακτηρίᾳ· νῦν γάρ μοι πράγματα παρέξεις μεταπηδῶν ἐν τῷ σκότῳ.* 1

ΑΛΕΚΤΡΥΩΝ. *Μικύλε δέσποτα, ᾤμην τι χαριεῖσθαί σοι προλαμβάνων τῆς νυκτὸς ὁπόσον ἂν δυναίμην, ὡς ἔχοις ἐπορθρευόμενος ἀνύειν τὰ πολλὰ τῶν ἔργων· ἢν γοῦν πρὶν*

1. *Ἀλλά.* Siehe zu Todtengespr. 3, 1. — *θαυμαστὴν εὐδαιμονίαν εὐδ.*, s. zu II, 48. — *διάτορόν τι καὶ γεγωνὸς ἀναβοήσας*, ein ziemlich durchdringendes und gellendes Geschrei erhebend. Ebenso Aelian. de nat. animal. 3, 37: *εἰ δὲ αὐτοὺς (βατράχους) κομίσαις ἀλλαχόθι, διάτορόν τι καὶ τραχύτατον ἠχοῦσιν.* 8, 10: *βοῶντες διάτορόν τι καὶ ὀξύ.* Unten c. 10: *ὑπέβηττε μύχιόν τι.* Vgl. Vit. auct. 7: *ἀπειλητικόν τι καὶ χολῶδες ὑποβλέπει*, das. die Anm. Uebrigens ist die Ausdrucksweise mehr dichterisch; s. Kr. Gr. II. §. 46, 6, 3. 4. — *τὸ ὄρθριον*, Accusativ. als Adverb., des Morgens, am Morgen. — *μέσαι νύκτες.* Der Plural. hier gebräuchlich, weil die Nacht aus mehreren Theilen besteht; Kr. Gr. §. 44, 3, 6. — *τὸ χρυσοῦν ἐκ. κώδιον*, das goldene Vliess, welches, wie bekannt, beständig von einem Drachen bewacht wurde. — *ἀφ' ἑσπέρας εὐθύς*, d. i. gleich mit Anbruch des Abends. — *οὔτι χαίρων γε*, keineswegs ungestraft, s. zu II, 34. — *ἀμέλει*, eigentl. sei ausser Sorge, d. i. zuverlässig, sicherlich, häufig bei Luc. — *προλαμβάνων τῆς νυκτ. ὁπ.* Amor. 15: *ἐκ τῆς ἑωθινῆς κοίτης πολὺ προλαμβάνων τὸν ὄρθρον ἐπεφοίτα.* — *τὰ πολλὰ τῶν ἔργων*, den gröss-

λον ἀποθανεῖν ἐθέλῃς ἥπερ ἐν τῷ συμποσίῳ συναναχρεμψάμενος τὴν ψυχὴν μετὰ τοῦ φλέγματος." ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος· ἐφίσταται δὲ μετὰ μικρὸν Εὐκράτης λελουμένος, καὶ ἰδὼν τὸν Θεσμόπολιν — τοῦτο γὰρ ὁ φιλόσοφος ἐκαλεῖτο — "Διδάσκαλε", φησίν, "εὖ μὲν ἐποίησας αὐτὸς ἥκων παρ' ἡμᾶς, οὐ μεῖον δ' ἄν τί σοι ἐγένετο· καὶ ἀπόντι γὰρ ἅπαντα ἑξῆς ἀπέσταλτο ἄν". καὶ ἅμα λέγων ἐσῄει χειραγωγῶν τὸν Θεσμό-
11 *πολιν ἐπερειδόμενον καὶ τοῖς οἰκέταις. ἐγὼ μὲν οὖν ἀπιέναι παρεσκευαζόμην· ὁ δὲ ἐπιστραφεὶς καὶ ἐπὶ πολὺ ἐνδοιάσας, ἐπεί με πάνυ σκυθρωπὸν εἶδε, "Πάριθι", ἔφη, "καὶ σύ, ὦ Μικύλε, καὶ συνδείπνει μεθ' ἡμῶν· τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιᾶσθαι, ὡς σὺ χώραν ἔχοις". ἐσῄειν οὖν μάτην λύκος χανὼν παρὰ μικρόν, αἰσχυνόμενος ὅτι ἐδόκουν ἐξεληλακέναι τοῦ συμποσίου τὸ παιδίον τοῦ Εὐκράτους. κἀπειδὴ κατακλίνεσθαι καιρὸς ἦν, πρῶτον μὲν ἀράμενοι ἀνέθεσαν τὸν Θεσμόπολιν οὐκ ἀπραγμόνως μὰ Δία πέντε, οἶμαι, νεανίσκοι εὐμεγέθεις ὑπαυχένια περιβύσαντες αὐτῷ πάντοθεν, ὡς διαμένοι ἐν τῷ σχήματι καὶ ἐπὶ πολὺ καρτερεῖν δύναιτο· εἶτα μηδενὸς ἀνεχομένου πλησίον κατακεῖσθαι αὐτοῦ ἐμὲ ὑποκατακλίνουσι φέροντες, ὡς ὁμοτράπεζοι εἴημεν. τοὐντεῦθεν ἐδειπνοῦμεν, ὦ*

αὐτῷ. Unten c. 33: *οἴκαδε παρ' ἡμᾶς*. Iup. trag. 17: *ἀπιόντων οἴκαδε παρ' αὐτούς*. Prometh. in verb. 6: *οἴκοι καθ' ἑαυτόν*. Plutarch. Pelopid. 8: *οἴκαδε πρὸς αὐτὸν τραπόμενος*. T. Gracch. 4: *εἰσιὼν ὁ Ἄππιος οἴκαδε πρὸς αὐτόν*. — *οὐ προσεποιεῖτο ἀκηκοέναι*, stellte sich als ob er nicht gehört hätte; vgl. Kr. Gr. §. 67, 1, 5. — *τοῦτο ὁ φιλόσ. ἐκαλεῖτο*, so hiess der Philosoph. Unten c. 20: *ἢ ὅ τι μάλιστα χαίρεις καλούμενος*. Bacch. 2: *τοῦτο καλεῖσθαι αὐτῶν τὸν δεσπότην*. Conviv. 19: *τοῦτο γὰρ ὁ γελωτοποιὸς ἐκαλεῖτο*. Ver. hist. 1, 36. De morte Peregr. 5 u. s. Kr. Gr. §. 46, 13. — *εὖ ἐποίησας ἥκων*, s. zu II, 30. — *ἅμα λέγων*, *ἅμα* mit dem Partic. wie *μεταξύ*, s. zu Todtengespr. 14, 3.

11. *γυναικωνίτιδι μετὰ τῆς μητρός*. Frauen, mit Ausnahme von Hetären, nahmen nie an einem Männermahle Theil. — *ὡς .. ἔχοις*, s. zu I, 4. — *μάτην λύκος χανών*. Eine bei den Komikern vorkommende sprichwörtliche Redensart von einem in seiner Hoffnung Getäuschten. — *ἀνέθεσαν*, nämlich auf die *κλίνη*. — *ἐν τῷ σχήματι*. „Die Stellung, in der man sich lagerte, das *σχῆμα τῆς κατακλίσεως*, war der Art, dass man mit dem linken Arm sich auf das im Rücken liegende Kissen (*προσκεφάλαιον*) stützte, und den rechten frei behielt." Becker's Charikl. II. p. 247. — *εἶτα*, sowie *ἔπειτα*, ohne *δέ*, entspricht oft einem vorhergehenden *πρῶτον μέν*. Abdicat. 30: *τὸ μὲν πρῶτον διετάραξεν, εἶτα κατ' ὀλίγον ἐς μανίαν περιέτρεψε*. Hermot. 38. Iup. trag. 48 u. ö. — *ὑποκατακλίνουσι*. Auf jeder *κλίνη* nämlich nahmen nach hellenischer Sitte in der Regel nur zwei Personen Platz, und diese hatten allemal einen besonderen Tisch für sich. — *φέροντες*, eiligst, s. zu

σας καὶ βοῶν κρέα μυκώμονα ἡμίεφθα, περιπεπαρμένα τοῖς ὀβελοῖς; ἐγὼ δὲ Ἑρμοῦ πάρεδρος ὢν, λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων, καὶ τἆλλα ὁμοδίαιτος ὑμῖν καὶ σύντροφος, οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρώπων φωνήν. εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς ὁμοφωνίας, καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν.

ΜΙΚ. Ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν, ἀλεκτρυὼν οὕτω πρός με διαλεγόμενος; εἰπὲ δ' οὖν πρὸς τοῦ Ἑρμοῦ, ὦ βέλτιστε, ὅ τι καὶ ἄλλο σοι τῆς φωνῆς αἴτιον. ὡς δὲ σιωπήσομαι καὶ πρὸς οὐδένα ἐρῶ, τί σε χρὴ δεδιέναι; τίς γὰρ ἂν 'πιστεύσειέ μοι, εἴ τι διηγοίμην ὡς ἀλεκτρυόνος αὐτὸ εἰπόντος ἀκηκοώς; 3

ΑΛΕΚ. Ἄκουε τοίνυν. παραδοξότατόν σοι λόγον εὖ οἶδ' ὅτι λέγω, ὦ Μικύλε· οὑτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν.

ΜΙΚ. Ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ ὑμῶν, ὡς Ἀλεκτρυών τις νεανίσκος φίλος γένοιτο τῷ Ἄρει, καὶ ξυμπίνοι τῷ θεῷ καὶ ξυγκωμάζοι καὶ κοινωνοίη τῶν ἐρωτικῶν· ὁπότε γοῦν ἀπίοι παρὰ τὴν Ἀφροδίτην μοιχεύσων ὁ Ἄρης, ἐπάγεσθαι καὶ τὸν Ἀλεκτρυόνα, καὶ ἐπειδήπερ τὸν Ἥλιον μάλιστα ὑφεωρᾶτο, μὴ κατιδὼν ἐξείποι πρὸς τὸν Ἥφαιστον, ἔξω πρὸς ταῖς θύραις ἀπολείπειν ἀεὶ τὸν νεανίσκον, μηνύσοντα ὁπότε ἀνίσχοι ὁ Ἥλιος. εἶτά ποτε κατακοιμηθῆναι μὲν τὸν Ἀλεκτρυόνα καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα, τὸν δὲ Ἥλιον λαθόντα ἐπιστῆναι τῇ Ἀφροδίτῃ καὶ τῷ Ἄρει ἀφρόντιδι ἀναπαυομένῳ διὰ τὸ πιστεύειν τὸν Ἀλεκτρυόνα μηνῦσαι ἄν, εἴ τις ἐπίοι· καὶ οὕτω τὸν Ἥφαιστον παρ' Ἡλίου μαθόντα συλλαβεῖν αὐτούς, περιβαλόντα καὶ σαγηνεύσαντα τοῖς δεσμοῖς, ἃ πάλαι πεποίητο ἐπ' αὐτούς· ἀφεθέντα δέ, ὡς ἀφείθη, τὸν

εἶρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,
ὀπταλέα τε καὶ ὠμά, βοῶν δ' ὣς γίγνετο φωνή.
— ἡμίεφθα. Wegen des homerischen ὀπταλέα könnte man ἡμίοπτα erwarten. Durfte aber deswegen Lucian. nicht ἡμίεφθα sagen, und konnte er es nicht mit Absicht gesagt haben? — Ἑρμοῦ πάρεδρος. Der Hahn war dem Hermes geheiligt; vgl. c. 28. — ἔμελλον ἐκμαθήσεσθαι, ich musste wol erlernen; Kr. Gr. §. 53, 8, 3.

3. μή, s. zu I, 17. — πρός με, s. zu II, 13. — καί πάλαι, s. zu II, 36. — ἀμέλει, allerdings. — ὁπότε, so oft. — ἐπάγεσθαι. Dieser und die folgenden Infinitive von einem in Gedanken vorschwebenden λέγεται oder λέγουσι abhängig, wie oft. — ἀφεθέντα δέ, ὡς ἀφείθη, τὸν Ἄρη. Durch den Zwischensatz ὡς ἀφείθη wird alle weitere Aus-

τοῖς ὁρῶσι καὶ ἐπίφθονος. καὶ προέθεον πολλοὶ καὶ προΐππευον, καὶ εἵποντο πλείους. ἐγὼ δὲ τὴν ἐσθῆτα τὴν ἐκείνου ἔχων, καὶ δακτυλίους βαρεῖς ὅσον ἑκκαίδεκα ἐξημμένος τῶν δακτύλων, ἐκέλευον ἑστίασίν τινα λαμπρὰν εὐτρεπισθῆναι ἐς ὑποδοχὴν τῶν φίλων· οἱ δέ, ὡς ἐν ὀνείρῳ εἰκός, ἤδη παρῆσαν, καὶ τὸ δεῖπνον ἄρτι ἐσεκομίζετο καὶ ὁ πότος συνεκροτεῖτο. ἐν τούτῳ ὄντα με καὶ φιλοτησίας προπίνοντα ἐν χρυσαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων, ἤδη τοῦ πλακοῦντος ἐσκομιζομένου, ἀναβοήσας ἀκαίρως συνετάραξας μὲν ἡμῖν τὸ συμπόσιον, ἀνέτρεψας δὲ τὰς τραπέζας, τὸν δὲ πλοῦτον ἐκεῖνον ὑπηνέμιον φέρεσθαι παρεσκεύασας [διασκεδάσας]. ἆρά σοι ἀλόγως ἀγανακτῆσαι κατὰ σοῦ δοκῶ; τριέσπερον ἂν ἡδέως ἔτι εἶδον τὸν ὄνειρόν μοι γενόμενον.

13 ΑΛΕΚ. Οὕτω φιλόχρυσος εἶ καὶ φιλόπλουτος, ὦ Μικύλε, καὶ μόνον τοῦτο ἐξ ἅπαντος θαυμάζεις καὶ ἡγῇ εὔδαιμον εἶναι πολὺ κεκτῆσθαι χρυσίον;

ΜΙΚ. Οὐκ ἐγὼ μόνος, ὦ Πυθαγόρα, τοῦτο, ἀλλὰ καὶ σὺ αὐτός, ὁπότε Εὔφορβος ἦσθα, χρυσὸν καὶ ἄργυρον τῶν

λευκοῦ ζεύγους, s. zu II, 20. — προέθεον πολλοὶ καὶ προΐππευον, nach späterer römischer Sitte. Zur Zeit der ersten Kaiser wurde dieses luxuriöse Gepränge mit Läufern und Vorreitern schon üblich. Vgl. das latein. *cursor*. — δακτυλίους. Schon zur Zeit des peloponnesischen Krieges war es Sitte mehrere Ringe zum Schmucke zu tragen. Von dem Luxus der späteren Griechen und Römer in dieser Beziehung spricht Luc. auch anderwärts, z. B. Nigrin. 13. Icaromenipp. 18. — ὅσον, ungefähr, etwa. — ἐξημμένος τῶν δακτύλων. Ebenso c. 13: χρυσὸν καὶ ἄργυρον τῶν βοστρύχων ἐξημμένος. — συνεκροτεῖτο, wurde vorbereitet. Bei Späteren oft vorkommende Ausdrucksweise. Dial. meretr. 5, 2: πότον τινὰ συγκροτοῦσαι αὐτή τε καὶ Δημώνασσα. Long. pastor. 4, 25: συμπόσιον συνεκρότουν u. s. — ὄντα με καὶ προπίνοντα. Anakoluthie, veranlasst durch die dazwischen gesetzten Worte. — φιλοτησίας. Hier trinkt, was früher nicht Sitte war, ein Einzelner jedem besonders zu. Ebenso bei Heliodor. 3, 11: προέπινεν ὁ Θεαγένης καὶ ἄκων ἑκάστῳ φιλοτησίαν. — ἐν χρυσαῖς φιάλαις. Spätere Ausdrucksweise. De merc. cond. 26: ἐν ἀργύρῳ ἢ χρυσῷ πίνειν. Dial. deor. 6, 2. Vgl. dagegen unten c. 27: πίνειν ἀπὸ χρυσῆς φιάλης φιλοτησίαν. — τοῦ πλακοῦντος. Der Kuchen machte einen Hauptbestandtheil des Nachtisches aus. — τριέσπερον, vgl. I, 17.

13. ἐξ ἅπαντος, vor Allem, vorzugsweise. Calumn. non tem. cred. 12: τοῦτο μόνον ἐξ ἅπαντος σκοπεῖ. De merc. cond. 9. Phalar. 1, 7. 11. Piscat. 41. — πολὺ κεκτῆσθαι χρυσίον, Epexegese zum vorhergehenden τοῦτο, in welcher der Infinitiv häufig ohne Artikel steht. Vgl. Tim. 6: ἐνταῦθα τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι κτέ. De merc. cond. 17: τοῦτο ἡμῖν πρὸς τοῖς ἄλλοις δεινοῖς ἐλείπετο, καὶ τῶν ἄρτι ἐσεληλυθότων ἐς τὴν οἰκίαν δευτέρους εἶναι. u. s. Vgl. Kr. Gr. §. 57, 10, 7. — τοῦτο. Was ist hierbei zu ergän-

βοστρύχων ἐξημμένος οὕτως ἤεις πολεμήσων τοῖς Ἀχαιοῖς, καὶ ἐν πολέμῳ, ἔνθα σιδηροφορεῖν μᾶλλον ἢ χρυσοφορεῖν ἄμεινον ἦν, σὺ δὲ καὶ τότε ἠξίους χρυσῷ ἀναδεδεμένος τοὺς πλοκάμους διαγωνίζεσθαι. καί μοι δοκεῖ ὁ Ὅμηρος διὰ τοῦτο Χαρίτεσσιν ὁμοίας εἰπεῖν σου τὰς κόμας, ὅτι "χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο·" μακρῷ γὰρ ἀμείνους δηλαδὴ καὶ ἐρασμιώτεραι ἐφαίνοντο συναναπεπλεγμέναι τῷ χρυσίῳ καὶ συναπολάμπουσαι μετ' αὐτοῦ. καίτοι τὰ μὲν σά, ὦ χρυσοκόμη, μέτρια, εἰ Πάνθου υἱὸς ὢν ἐτίμας τὸ χρυσίον· ὁ δὲ πατὴρ ἁπάντων ἀνδρῶν καὶ θεῶν, ὁ Κρόνου καὶ Ῥέας, ὁπότε ἠράσθη τῆς Ἀργολικῆς ἐκείνης μείρακος, οὐκ ἔχων ἐς ὅ τι ἐρασμιώτερον αὐτὸν μεταβάλοι, οὐδὲ ὅπως ἂν διαφθείρειε τοῦ Ἀκρισίου τὴν φρουράν — ἀκούεις δήπου ὡς χρυσίον ἐγένετο καὶ ῥυεὶς διὰ τοῦ τέγους συνῆν τῇ ἀγαπωμένῃ. ὥστε τί ἄν σοι τὸ ἐπὶ τούτῳ ἔτι λέγοιμι, ὅσας μὲν χρείας παρέχεται ὁ χρυσός, ὡς δὲ οἷς ἂν παρῇ, καλούς τε αὐτοὺς καὶ σοφοὺς καὶ ἰσχυροὺς ἀπεργάζεται, τιμὴν καὶ δόξαν προσάπτων, καὶ ἐξ ἀφανῶν καὶ ἀδόξων ἐνίοτε περιβλέπτους καὶ ἀοιδίμους ἐν βραχεῖ τίθησι; τὸν γείτονα γοῦν μοι τὸν ὁμότεχνον οἶσθα, 14 τὸν Σίμωνα, οὐ πρὸ πολλοῦ δειπνήσαντα παρ' ἐμοί, ὅτε τὸ ἔτνος ἥψησα τοῖς Κρονίοις, δύο τεμάχη τοῦ ἀλλᾶντος ἐμβαλών.

ΑΛΕΚ. Οἶδα τὸν σιμὸν τὸν βραχύν, ὃς τὸ κεραμεοῦν

zen? — οὕτως. Ueber dieses nach einem Particip. s. Kr.Gr. §.56, 10, 3. Uebrigens vgl. Il. 17, 51 f.:

αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
πλοχμοί τ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

— μᾶλλον .. ἄμεινον. De Parasit. 43: οἱ περὶ ἀνδρείας ὁσημέραι διαλεγόμενοι πολλῷ μᾶλλον τῶν ῥητόρων φανοῦνται δειλότεροι καὶ μαλακώτεροι. Pseudolog. 23: ἀσπίδα μᾶλλον ἢ ἔχιδναν φιλῆσαι ἄμεινον. u. s. Kr. Gr. §. 49, 7, 5. In Bezug auf das Latein. Zumpt §. 747. — σὺ δέ, *tu vero*, zu verbinden mit καὶ ἐν πολέμῳ. Kr. Gr. §. 69, 16, 4. — Πάνθου, des Panthoos, eines Menschen. — ὁ δὲ πατὴρ ἁπ. ἀ. κ. θεῶν. Vgl. das homerische πατὴρ ἀνδρῶν τε θεῶν τε. — τῆς Ἀργολ. ἐκ. μείρακος, Danae. Vgl. Tim. 13 u. das die Anm. — ὅπως ἄν, s. oben zu Todtengespr. 11, 4. — ἀκούεις, s. zu IV, 4. — δήπου, s. zu III, 16. — τῇ ἀγαπωμένῃ, der Geliebten. Erst bei späteren Schriftstellern findet sich ἀγαπᾶν wie ἐρᾶν gebraucht. Wie hier Dial. mar. 3, 2. Hermot. 73. Iup. trag. 2. — τὸ ἐπὶ τούτῳ, s. zu IV, 7.

14. γοῦν, ebenso wir: wenigstens, = zum Beispiel. Vgl. c. 25. Nigr. 13. Necyom. 5. Phalar. I, 3. Bis Acc. 2. De conscr. hist. 24. u. ö. — τὸ ἔτνος. Warum der Artikel? — τοῖς Κρονίοις. Das Kronosfest wurde in Athen am 12. des Hekatombäon gefeiert. „Bei späteren Schriftstellern, wie Plutarch und Lucian, ist es schwer die Verwechselung mit den römi-

τρύβλιον ὑφελόμενος ᾤχετο ὑπὸ μάλης ἔχων μετὰ τὸ δεῖπνον, ὃ μόνον ἡμῖν ὑπῆρχεν· εἶδον γὰρ αὐτός, ὦ Μικύλε.

ΜΙΚ. Οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας εἶτα ἐπωμόσατο θεοὺς τοσούτους; ἀλλὰ τί οὐκ ἐβόας καὶ ἐμήνυες τότε, ὦ ἀλεκτρυών, ληιζομένους ἡμᾶς ὁρῶν;

ΑΛΕΚ. Ἐκόκκυζον, μόνον ὃ τότε δυνατὸν ἦν. τί δ' οὖν ὁ Σίμων; ἐῴκεις γάρ τι περὶ αὐτοῦ ἐρεῖν.

ΜΙΚ. Ἀνεψιὸς ἦν αὐτῷ πλούσιος ἐς ὑπερβολήν, Δημύλος τοὔνομα. οὗτος ζῶν μὲν οὐδὲ ὀβολὸν ἔδωκε τῷ Σίμωνι. πῶς γάρ, ὃς οὐδὲ αὐτὸς ἥπτετο τῶν χρημάτων; ἐπεὶ δὲ ἀπέθανε πρῴην, ἅπαντα ἐκεῖνα κατὰ τοὺς νόμους Σίμωνός ἐστι, καὶ νῦν ἐκεῖνος ὁ τὰ ῥάκια τὰ πιναρά, ὁ τὸ τρύβλιον περιλείχων ἄσμενος, ἐξελαύνει ἁλουργῇ καὶ ὑσγινοβαφῇ ἀμπεχόμενος, οἰκέτας καὶ ζεύγη καὶ χρυσᾶ ἐκπώματα καὶ ἐλεφαντόποδας τραπέζας ἔχων, ὑφ' ἁπάντων προσκυνούμενος, οὐδὲ προσβλέπων ἔτι ἡμᾶς· ἔναγχος γοῦν ἐγὼ μὲν ἰδὼν προσιόντα, "Χαῖρε", ἔφην, "ὦ Σίμων", ὁ δὲ ἀγανακτήσας, "Εἴπατε", ἔφη, "τῷ πτωχῷ τούτῳ μὴ κατασμικρύνειν μου τοὔνομα· οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης ὀνομάζομαι". τὸ δὲ μέγιστον, ἤδη καὶ ἐρῶσιν αὐτοῦ αἱ γυναῖκες, ὁ δὲ θρύπτεται πρὸς αὐτὰς καὶ ὑπερορᾷ, καὶ τὰς μὲν προσίεται καὶ ἵλεώς ἐστιν, αἱ δὲ ἀπειλοῦσιν ἀναρτήσειν ἑαυτὰς ἀμελούμεναι. ὁρᾷς ὅσων ἀγαθῶν ὁ χρυσὸς αἴτιος, εἴ γε καὶ μεταποιεῖ τοὺς ἀμόρφους καὶ ἐρασμίους ἀπεργάζεται ὥσπερ ὁ ποιητικὸς ἐκεῖνος κεστός. ἀκούεις δὲ καὶ τῶν ποιητῶν λεγόντων·

schen Saturnalien zu vermeiden; doch muss es auch in Athens früherer Zeit ein Fest der Lust gewesen sein." Hermann's gottesdienstl. Alterth. §. 54, 8. Ueber den Dativ. Kr. Gr. §. 48, 2, 1. Ebenso Κρονίοις Cronos. 13. τοῖς Παναθηναίοις Anachars. 9.: dagegen ἐν τοῖς Διονυσίοις Piscat. 14.—ὑπὸ μάλης, s. oben zu Todtengespr. 10, 9. — εἶτα, s. oben zu c. 7. — ἐπωμόσατο θεοὺς τοσούτους, sich bei so vielen G. verschwor. Bei Luc. findet sich dieses Medium häufig.— ληιζομένους, in passiver Bedeutung. — μόνον ὅ, des Nachdrucks wegen ist μόνον vorangestellt. — πῶς γάρ, denn wie hätte er das thun können. — ὁ τὰ ῥάκια τὰ πιναρά, s. zu II, 7. IV, 9. Ueber das dummstolze Benehmen der νεόπλουτοι vgl. De conscr. hist. 20. — οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης. Vgl. c. 29: παρὰ τὸν Σίμωνα, ὃς ἀντὶ δισυλλάβου τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ. Aehnliche Beispiele aus späterer Zeit finden sich mehrere. Schon Aeschin. bei Demosth. 18, 130: καὶ δύο συλλαβὰς προσθεὶς τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον. — τὸ δὲ μέγιστον, s. oben zu Göttergespr. 4, 3. — ὥσπερ ὁ ποιητ. ἐκ. κεστός. Zu verstehen von dem Gürtel der Aphrodite; Il. 14, 214 ff. —

ΛΛΕΚ. Καὶ μὴν Ὅμηρος δύο μόνας ταύτας λέγει.
ΜΙΚ. Ἔα χαίρειν τὸν λῆρον ἐκεῖνον ποιητήν, οὐδὲν
α ὀνείρων πέρι. οἱ πένητες ἴσως ὄνειροι διὰ τῶν τοιού-
ξίασιν, οἵους ἐκεῖνος ἑώρα, οὐδὲ πάνυ σαφῶς τυφλὸς
; ὤν· ἐμοὶ δὲ διὰ χρυσῶν τινων πυλῶν ὁ ἥδιστος ἀφί-
χρυσοῦς καὶ αὐτός, χρυσᾶ πάντα περιβεβλημένος καὶ
ἐπαγόμενος χρυσίον.
ΛΛΕΚ. Παῦε, ὦ Μίδα βέλτιστε, χρυσολογῶν· ἀτεχνῶς
ἐκ τῆς ἐκείνου σοι εὐχῆς τὸ ἐνύπνιον, καὶ μέταλλα ὅλα
ια κεκοιμῆσθαί μοι δοκεῖς.
ΜΙΚ. Πολύ, ὦ Πυθαγόρα, χρυσίον εἶδον, πολύ, πῶς 7
ιαλόν, οἵαν τὴν αὐγὴν ἀπαστράπτον; τί ποτε ὁ Πίνδα-
ησι περὶ αὐτοῦ ἐπαινῶν; ἀνάμνησον γάρ με, εἰ οἶσθα,
; ὕδωρ ἄριστον εἰπὼν εἶτα τὸ χρυσίον θαυμάζει, εὖ
ν, ἐν ἀρχῇ εὐθὺς τοῦ βιβλίου, κάλλιστόν τι ᾀσμάτων
των.
ΛΛΕΚ. Μῶν ἐκεῖνο ζητεῖς,
ιστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου;
ΜΙΚ. Νὴ Δία τοῦτ' αὐτό· ὥσπερ γὰρ τοὐμὸν ἐνύπνιον
ὁ Πίνδαρος οὕτως ἐπαινεῖ τὸ χρυσίον. ὡς δὲ ἤδη μά-
οἷόν τι ἦν, ἄκουσον, ὦ σοφώτατε ἀλεκτρυών. ὅτι μὲν
ικόσιτος ἦν χθές, οἶσθα· Εὐκράτης γάρ με ὁ πλούσιος

εἰς ἕτερόν σε τοῦ πάθους ῥέ-
ὁρῶ. — Ὅμηρος, Odyss. 19,
.:
γάρ τε πύλαι ἀμενηνῶν εἰσιν
ρων·
γὰρ κεράεσσι τετεύχαται, αἱ
λέφαντι·
ι μέν κ' ἔλθωσι διὰ πριστοῦ
ραντος,
λεφαίρονται, ἔπε' ἀκράαντα
οντες,
διὰ ξεστῶν κεράων ἔλθωσι
αζε,
τυμα κραίνουσι, βροτῶν ὅτε
τις ἴδηται.
Virgil. Aen. 6, 894. Uebri-
eachte den in den Worten καὶ
is λέγει enthaltenen Senar.
λῆρον, *nugatorem*, so oft bei
n., vgl. unten c. 11., Rhet.
. 17. Dial. meretr. 10, 3.
os. 10. — τυφλός, s. zu Todten-
gespr. 25, 1. — ὦ Μίδα. Dieser, wie bekannt, erbat sich vom Dionysos, dass sich Alles, was er berühre, in Gold verwandeln möge. — ἐκείνου, näml. τοῦ Μίδου. — κεκοιμῆσθαι, erschlafen zu haben, komisch. Icaromenipp. 1: κατακοιμηθεὶς παρασάγγας ὅλους.

7. εἰπὼν εἶτα, s. zu II, 16. Unten c. 14: οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας εἶτα ἐπωμόσατο θεοὺς τοσούτους. — εὖ ποιῶν, recht daran thuend, bei Luc. sehr häufige Formel; Toxar. 38. Saturn. 7. 27. Dips. 6. De conscr. hist. 4. 15. u. s. — ἐν ἀρχῇ. Olymp. 1. Uebrigens darf in der lebhaften Rede des Mik. die aphoristische Ausdrucksweise nicht auffallen. — ὁ δὲ χρυσὸς κτέ. Die Construction ist: ἅτε (gleichwie) πῦρ αἰθόμενον νυκτί, χρυσὸς

ΜΙΚ. Εἶτα ὤκνουν ὁ κακοδαίμων κἂν ὀλίγα τῶν ψηγμάτων ἥκειν ἐς τόνδε τὸν βίον ἐξ ἐκείνου ἐπισιτισάμενος; ἀλλὰ καὶ τί μετὰ τοῦτο ἔσομαι, εἰπέ· εἰκὸς δὲ εἰδέναι σε. εἰ γάρ τι ἀγαθὸν εἴη, ἀπάγξομαι ἤδη ἀναστὰς ἀπὸ τοῦ παττάλου, ἐφ' οὗ σὺ ἕστηκας.

17 ΑΛΕΚ. Οὐκ ἂν μάθοις τοῦτο οὐδεμιᾷ μηχανῇ. πλὴν ἀλλὰ ἐπείπερ Εὔφορβος ἐγενόμην — ἐπάνειμι γὰρ ἐπ' ἐκεῖνα — ἐμαχόμην ἐπ' Ἰλίῳ, καὶ ἀποθανὼν ὑπὸ Μενέλεω χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἧκον. τέως δὲ περιέμενον ἄοικος καὶ ἀνέστιος, ἄχρι δὴ ὁ Μνήσαρχος ἐξειργάσατό μοι τὸν οἶκον.

ΜΙΚ. Ἄσιτος, ὦ τάν, καὶ ἄποτος;

ΑΛΕΚ. Καὶ μάλα· οὐδὲ γὰρ ἔδει τούτων ἢ μόνῳ τῷ σώματι.

ΜΙΚ. Οὐκοῦν τὰ ἐν Ἰλίῳ μοι πρῶτον εἰπέ. τοιαῦτα ἦν οἷά φησιν Ὅμηρος γενέσθαι αὐτά;

ΑΛΕΚ. Πόθεν ἐκεῖνος ἠπίστατο, ὦ Μικύλε, ὃς γινομένων κάμηλος ἐν Βάκτροις ἦν; ἐγὼ δὲ τοσοῦτόν σοί φημι, ὑπερφυὲς μηδὲν γενέσθαι τότε, μήτε τὸν Αἴαντα οὕτω μέγαν μήτε τὴν Ἑλένην αὐτὴν οὕτω καλὴν ὡς οἴονται. εἶδον γὰρ λευκὴν μέν τινα καὶ ἐπιμήκη τὸν τράχηλον, ὡς εἰκάζειν κύκνου θυγατέρα εἶναι, τὰ δὲ ἄλλα πάνυ πρεσβῦτιν, ἡλικιῶτιν σχεδὸν τῆς Ἑκάβης, ἥν γε Θησεὺς πρῶτον ἁρπάσας ἐν Ἀφίδναις εἶχε, κατὰ τὸν Ἡρακλέα γενόμενος· ὁ δ' Ἡρακλῆς πρό-

Sat. 24. Hier ist nur ein scherzhafter Gebrauch von ihnen gemacht, um den Mik. wegen seiner grossen Leidenschaft für das Gold zum Besten zu haben. — εἶτα, s. oben zu Todtengespr. 16, 1. — κἂν ὀλίγα, s. zu Todtengespr. 23, 1. — ἐπισιτισάμενος, metaphorisch, mich verproviantiren, versehen. — μετὰ τοῦτο, d. i. im nächsten Leben.

17. ἐπ' Ἰλίῳ, bei od. vor Il. Häufiger in dieser Verbindung ist ἐν. Conviv. 35: ἀφ' οὗ τοσοῦτον πόλεμον ἐπ' Ἰλίῳ γεγενῆσθαι. Plutarch. Themist. 8: ἡ ἐπ' Ἀρτεμισίῳ μάχη. — ἀποθανὼν ὑπὸ Μεν., Il. 17, 47 ff. Ueber ὑπό s. zu II, 32. — χρόνῳ ὕστερον, aliquanto post, eine geraume Zeit nachher. Dagegen ὕστερον χρόνῳ, wenn ὕστερον hervorgehoben werden soll. — τὸν οἶκον, zu verstehen von Pythagoras, dem Sohne des Mnesarchos. — τούτων. Worauf zu beziehen? — γινομένων, näml. αὐτῶν. Häufig ist diese Auslassung des Subjects beim Genetiv. absol., Kr. Gr. §. 47, 4, 3. — κάμηλος ἐν Βάκτροις, d. i. camelus Bactrianus, mit zwei Höckern, im Gegensatz zum einbuckeligen Kameel oder Dromedar, camelus Dromedarius. — Αἴαντα, Sohn des Telamon, der sich vor Allen durch seine Körpergrösse auszeichnete. — κύκνου θυγατέρα, Tochter der Leda und eines Schwans (Zeus), s. oben zu Göttergespr. 14, 14. — Θησεὺς πρῶτον, s. zu Göttergespr. a. a. O. — Ἀφίδναις, einer der zwölf kekropischen Städte von Attika. — κατὰ τὸν Ἡρακλέα γενόμενος, der ein Zeitgenosse des H. war; ebenso κατὰ τοὺς πατέρας ἡμῶν. — ὁ δ' Ἡρακλῆς. Als diesem Laome-

ἡμῶν, σὺ ἀντ' ἐκείνου ἧκε λουσάμενος, ἢν μὴ ὅ γε κληθεὶς αὖθις εἴπῃ ἀφίξεσθαι· ὡς νῦν γε ἀμφίβολός ἐστι. τοῦτο ἀκούσας ἐγὼ προσκυνήσας ἀπῄειν εὐχόμενος ἅπασι θεοῖς ἠπίαλόν τινα ἢ πλευρῖτιν ἢ ποδάγραν ἐπιπέμψαι τῷ μαλακιζομένῳ ἐκείνῳ, οὗ ἔφεδρος ἐγὼ καὶ ἀντίδειπνος καὶ διάδοχος ἐκεκλήμην· καὶ τὸ ἄχρι τοῦ λουτροῦ αἰῶνα μέγιστον ἐτιθέμην, συνεχὲς ἐπισκοπῶν ὁποσάπουν τὸ στοιχεῖον εἴη καὶ πηνίκα ἤδη λοῦσθαι δέοι. κἀπειδή ποτε ὁ καιρὸς ἀφίκετο, πρὸς τάχος ἐμαυτὸν ἀπορρύψας ἄπειμι κοσμίως μάλα ἐσχηματισμένος, ἀναστρέψας τὸ τριβώνιον, ὡς ἐπὶ τοῦ καθαρωτέρου γένοιτο ἡ ἀναβολή. καταλαμβάνω τε πρὸς ταῖς θύραις ἄλλους τε πολλοὺς καὶ δὴ κἀκεῖνον, φοράδην ὑπὸ τεττάρων κεκομισμένον, ᾧ με ὑποδειπνεῖν ἔδει, τὸν νοσεῖν λεγόμενον. καὶ ἐδήλου δὲ πονήρως ἔχων· ὑπέστενε γοῦν καὶ ὑπέβηττε μύχιόν τι καὶ ἐχρέμπτετο δυσπρόσοδον, ὠχρὸς ὅλος ὢν καὶ διῳδηκώς, ἀμφὶ τὰ ἑξήκοντα ἔτη σχεδόν. ἐλέγετο δὲ φιλόσοφός τις εἶναι τῶν πρὸς τὰ μειράκια φλυαρούντων· ὁ γοῦν πώγων μάλα τραγικὸς ἦν ἐς ὑπερβολὴν κουριῶν. καὶ αἰτιωμένου γε Ἀρχιβίου τοῦ ἰατροῦ, διότι οὕτως ἔχων ἀφίκετο, "Τὰ καθήκοντα," ἔφη, "οὐ χρὴ προδιδόναι, καὶ ταῦτα φιλόσοφον ἄνδρα, κἂν μυρίαι νόσοι ἐμποδὼν ἱστῶνται· ἡγήσεται γὰρ Εὐκράτης ὑπερεωρᾶσθαι πρὸς ἡμῶν." "Οὐ μὲν οὖν," εἶπον ἐγώ, "ἀλλ' ἐπαινέσεταί σε, ἢν οἴκοι παρὰ σαυτῷ μαλ- 10

lich sein. — *προσκυνήσας.* „In späterer Zeit kam im Verhältnisse des Geringeren zu dem Vornehmeren die erniedrigende Sitte auf, diesem Hand, Brust und Knie zu küssen. Nigrin. 21." Becker's Charikl. I p. 252. — *ἔφεδρος*, Stellvertreter, eigentlich von demjenigen Athleten, der bei Verloosung der Paare, wenn die Zahl ungerade war, keinen Gegner erhalten hatte und dann mit frischen Kräften gegen den Sieger kämpfte. — *τὸ ἄχρι τοῦ λουτροῦ*, die Zeit bis zum Bade. — *ὁποσάπουν τὸ στοιχεῖον*, d. i. wie viel Fuss der Schatten des Stiftes oder Stabes der Sonnenuhr, des Sonnenzeigers warf. Cronos. 17: *λοῦσθαι .. ὁπόταν τὸ στοιχεῖον ἑξάπουν ᾖ.* — *πρὸς τάχος*, wie sonst bei Lucian. *κατὰ τάχος*, in Eile, eilig. — *ἄπειμι*, in Praesensbedeutung, wie oben c. 6 *ἐξίασιν* u. c. 23 *πρόσεισιν*. Kr. Gr. §. 38, 3, 3.

10. *καὶ δὴ κἀκεῖνον*, *et vero etiam*. Xen. Cyr. 1, 6, 21: *γνοίης δ' ἄν, ὅτι τοῦθ' οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν.* Adv. indoct. 8: *ἧκεν οὖν ἐς τοὺς Δελφοὺς τοῖς τε ἄλλοις λαμπρὸς καὶ δὴ καὶ ἐσθῆτα χρυσόπαστον ποιησάμενος.* — *ὑπὸ τεττάρων.* Die Zahl der Träger war, wie es scheint, gewöhnlich vier; Epist. sat. 28: *ἐς γῆρας ἀφικόμενον τοῖς αὐτοῦ ποσίν, ἀλλὰ μὴ φοράδην ἐπὶ τεττάρων ὀχούμενον.* — *μύχιόν τι*, d. i. ziemlich tief aus der Brust, s. oben z. c. l. — *δυσπρόσοδον*, d. i. so, dass man sich ihm zu nähern scheute, unausstehlich. — *οὕτως ἔχων*, in solchem Zustande. — *οἴκοι παρὰ σαυτῷ.* Nicht selten vorkommende pleonastische Ausdrucksweise. Philopseud. 17: *οἴκοι παρ'*

ΑΛΕΚ. Ὅτι αἰσχύνομαι λέγειν πρὸς σὲ τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν.

ΜΙΚ. Καὶ μὴν οὐδὲν ἐχρῆν ὀκνεῖν λέγειν πρὸς ἄνδρα σύνοικον καὶ φίλον· δεσπότην γὰρ οὐκ ἂν ἔτ' εἴποιμι.

ΑΛΕΚ. Οὐδὲν ὑγιὲς οὐδὲ σοφὸν ἦν, ἀλλὰ ἑώρων, ὅτι εἰ μὲν τὰ συνήθη καὶ ταὐτὸν τοῖς πολλοῖς νομίζοιμι, ἥκιστα ἐπισπάσομαι τοὺς ἀνθρώπους ἐς τὸ θαῦμα, ὅσῳ δ' ἂν ξενίζοιμι, τοσούτῳ σεμνότερος ᾤμην αὐτοῖς ἔσεσθαι. διὰ τοῦτο καινοποιεῖν εἱλόμην, ἀπόρρητον ποιησάμενος τὴν αἰτίαν, ὡς εἰκάζοντες ἄλλος ἄλλως ἅπαντες ἐκπλήττωνται καθάπερ ἐπὶ τοῖς ἀσαφέσι τῶν χρησμῶν. ὁρᾷς; καταγελᾷς μου καὶ σὺ ἐν τῷ μέρει.

ΜΙΚ. Οὐ τοσοῦτον, ὅσον Κροτωνιατῶν καὶ Μεταποντίνων καὶ Ταραντίνων καὶ τῶν ἄλλων ἀφώνων σοι ἑπομένων
19 καὶ προσκυνούντων τὰ ἴχνη ἃ σὺ πατῶν ἀπολιμπάνοις. ἀποδυσάμενος δὲ τὸν Πυθαγόραν τίνας μετημφιάσω μετ' αὐτόν;

ΑΛΕΚ. Ἀσπασίαν τὴν ἐκ Μιλήτου ἑταίραν.

ΜΙΚ. Φεῦ τοῦ λόγου· καὶ γυνὴ γὰρ ἐν τοῖς ἄλλοις ὁ Πυθαγόρας ἐγένετο, καὶ ἦν ποτε χρόνος ὅτε καὶ σὺ ᾠοτόκεις, ὦ γενναιότατε ἀλεκτρυόνων, καὶ συνῆσθα Περικλεῖ Ἀσπασία οὖσα, καὶ ἐκύεις ἀπ' αὐτοῦ καὶ ἔρι' ἔξαινες καὶ κρόκην κατῆγες καὶ ἐγυναικίζου ἐς τὸ ἑταιρικόν;

αἰσχύνομαι λέγειν, s. zu IV, 23. — πρὸς σέ, nicht πρός σε, Kr. Gr. §. 25, 1, 2. Vgl. unten c. 28 z. A. — ὑπὲρ αὐτῶν. Bei späteren Schriftstellern findet sich nicht selten ὑπέρ, wo man περί erwartet. Alexand. 33: πυνθανομένῳ αὐτῷ ὑπὲρ τοῦ παιδός. Pseudol. 27. u. s. — ταὐτὸν τοῖς πολλοῖς, Kr. Gr. §. 48, 13, 9. Ver. hist. 1, 3: πολλοὶ δὲ καὶ ἄλλοι τὰ αὐτὰ τούτοις προελόμενοι συνέγραψαν. u. ö. — ἐπισπάσομαι, hin-, fortreissen. — ὅσῳ δ' ἂν ξενίζοιμι, je fremdartiger od. ungewöhnlicher ich aber aufträte. Xenoph. Hier. 10, 2: ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι. Polyb. 1, 45, 9: ὅσῳ συνέβαινε τοὺς ἄνδρας ἐκτὸς τάξεως ποιεῖσθαι τὴν μάχην, τοσούτῳ λαμπρότερος ἦν ὁ κίνδυνος. Ebenso im Lateinischen, Tacit. annal. 1, 57: *quanto quis audacia promptus, tanto magis fidus* u. s. An ein ausgelassenes oder zu ergänzendes μᾶλλον ist indessen noch nicht zu denken. Die hier Statt findende Bedeutung von ξενίζειν ist erst bei Späteren, und namentlich bei Luc., üblich. — ἄλλος, nicht ἄλλοι. Zeux. 11: καὶ προσιόντες ἄλλος ἀλλοθεν ἀνέδουν τὸν βασιλέα καλλίνικον ἀναβοῶντες. u. ö. — καὶ σύ, auch du, wie ich dich. — ἐν τῷ μέρει, deinerseits, s. zu II, 8. — Κροτωνιατῶν. In Kroton, einer Stadt in Bruttium, hatte Pythagoras seine Schule errichtet.

19. τίνας, d. i. welche Leiber. — μετημφιάσω, spätere, auch bei Andern sich vorfindende Form für μετημφιέσω. — Ἀσπασίαν. Diese, gebürtig aus Miletos, der Pflanzschule der Hetärenkünste, war die vertraute Freundin des Perikles, der zu Liebe er sich von seiner Gattin trennte. — ἐκύεις ἀπ' αὐτοῦ. Ebenso Fugit. 31. Dial. meretr. 14, 1. — ἐς τὸ ἑταιρικόν,

αγόρα, πολύοψόν τι καὶ ποικίλον δεῖπνον ἐπὶ χρυσοῦ
οῦ καὶ ἀργύρου· καὶ ἐκπώματα ἦν χρυσᾶ καὶ διάκονοι
'οι καὶ μουσουργοὶ καὶ γελωτοποιοὶ μεταξύ, καὶ ὅλως
τη τις ἦν ἡ διατριβή. πλὴν ἀλλ' ἐμὲ ἐλύπει οὐ μετρίως
σμόπολις ἐνοχλῶν καὶ ἀρετήν τινα πρός με διεξιὼν καὶ
σκων, ὡς αἱ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσι,
ὸς εἰ ἡμέρα ἐστί, νὺξ οὐκ ἔστιν· ἐνίοτε δὲ καὶ κέρατα
κεν εἶναί μοι. τοιαῦτα πολλὰ οὐδὲν δεομένῳ προσφιλο-
ὶν συνείρει καὶ ὑπετέμνετο τὴν εὐφροσύνην οὐκ ἐῶν
ειν τῶν κιθαριζόντων ἢ ᾀδόντων. τοιοῦτο μέν σοι, ὦ
τρυών, τὸ δεῖπνον.

ΑΛΕΚ. Οὐχ ἥδιστον, ὦ Μικύλε, καὶ μάλιστα ἐπεὶ συνε-
ώθης τῷ λήρῳ ἐκείνῳ γέροντι.

ΜΙΚ. Ἄκουε δὲ ἤδη καὶ τὸ ἐνύπνιον· ᾤμην γὰρ τὸν 12
ράτην αὐτὸν ἄπαιδα ὄντα οὐκ οἶδ' ὅπως ἀποθνήσκειν,
προσκαλέσαντά με καὶ διαθήκας θέμενον, ἐν αἷς ὁ κλη-
μος ἦν ἁπάντων ἐγώ, μικρὸν ἐπισχόντα ἀποθανεῖν, ἐμαυ-
δὲ παρελθόντα ἐς τὴν οὐσίαν τὸ μὲν χρυσίον καὶ τὸ
ριον ἐξαντλεῖν σκάφαις τισὶ μεγάλαις ἀέναόν τε καὶ
ἐπιρρέον, τὰ δ' ἄλλα, τὴν ἐσθῆτα καὶ τραπέζας καὶ
ὶματα καὶ διακόνους, πάντα ἐμὰ ὡς τὸ εἰκὸς εἶναι. εἶτα
χυνον ἐπὶ λευκοῦ ζεύγους, ἐξυπτιάζων, περίβλεπτος ἅπασι

.— ἐπὶ χρυσοῦ, wie wir „auf
'. — μεταξύ, absolute, dachen. Als Erklärung diene
iv. 18: διαλιπόντων δὲ ὀλίγον,
ι εἰώθασι, τῶν παρακομιζόν-
ὰ ὄψα μηχανώμενος Ἀρισταί-
μηδ' ἐκεῖνον ἀτερπῆ τὸν και-
ἶναι μηδὲ κενὸν ἐκέλευσε τὸν
οποιὸν εἰσελθόντα εἰπεῖν τι
ξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ
ιται διαχυθεῖεν. καὶ παρῆλ-
μορφός τις ἐξυρημένος τὴν
λήν, ὀλίγας ἐπὶ τῇ κορυφῇ
ς ὀρθὰς ἔχων· οὗτος ὠρχή-
τε κατακλῶν ἑαυτὸν καὶ δια-
ων, ὡς γελοιότερος φανείη,
νάπαιστα συγκροτῶν διεξῆλ-
ἰγυπτιάζων τῇ φωνῇ, καὶ τέ-
τέσκωπτεν ἐς τοὺς παρόντας.
ὶ ὅλως, kurz, *denique*. —
ν τινα, s. zu II, 9. — κέρατα,
n zu Todtengespr. 1, 2. —
ρει καὶ ὑπετέμνετο. Das Prä-
drückt die Hauptsache aus,
Präteritum das daraus Folgende, knüpft eins an das Andere und schnitt in Folge dessen ab. Toxar. 14: παραλαμβάνουσι καὶ ὑπεκωμῴδουν. 15: κύειν ἐξ αὐτοῦ σκήπτεται καὶ οὐκέτι ἐφοίτα. Asin. 55: περιβάλλει με καὶ πολλὰ ἐφίλει καί με καὶ οἴκαδε ἦγεν ὡς ἑαυτόν. u. so sehr oft. Vgl. Kr. Gr. §. 59, 2, 7.

12. γάρ, nämlich. — ἀποθνήσκειν, auf dem Sterbebett liegen. — μικρὸν ἐπισχόντα, nachdem er ein wenig gewartet, d. i. bald darauf. Ebenso Amor. 30. — ἐμαυτὸν δέ, ohne vorhergehendes μέν, wie oft. Calumn. non tem. cred. 8: εἰ τῷ κατηγόρῳ μετ' ἀδείας ἃ θέλει λέγειν ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγορουμένῳ τὰ ὦτα καταψηφιζοίμεθα. — παρελθόντα ἐς τὴν οὐσίαν, nachdem ich die Erbschaft angetreten. — ὡς τὸ εἰκός, s. oben zu Göttergespr. 14, 5. — ἐπὶ

παρὰ πολλοῖς ἄλλοις δουλεύσας, βασιλεῦσι καὶ πένησι καὶ πλουσίοις, τὰ τελευταῖα καὶ σοὶ νῦν σύνειμι, καταγελῶν ὁσημέραι [σοῦ] ποτνιωμένου καὶ οἰμώζοντος ἐπὶ τῇ πενίᾳ καὶ τοὺς πλουσίους θαυμάζοντος ὑπ' ἀγνοίας τῶν ἐκείνοις προσόντων κακῶν. εἰ γοῦν ᾔδεις τὰς φροντίδας [αὐτῶν] ἃς ἔχουσιν, ἐγέλας ἂν ἐπὶ σαυτῷ πρῶτον οἰηθέντι ὑπερευδαίμονα εἶναι τὸν πλοῦτον.

ΜΙΚ. Οὐκοῦν, ὦ Πυθαγόρα, ἢ ὅ τι μάλιστα χαίρεις καλούμενος, ὡς μὴ ἐπιταράττοιμι τὸν λόγον ἄλλοτε ἄλλον καλῶν ....

ΑΛΕΚ. Διοίσει μὲν οὐδέν, ἤντ' Εὔφορβον ἤντε Πυθαγόραν ἢ 'Ασπασίαν καλῇς ἢ Κράτητα· πάντα γὰρ ταῦτα ἐγώ εἰμι· πλὴν τὸ νῦν ὁρώμενον τοῦτο ἀλεκτρυόνα ὀνομάζων ἄμεινον ἂν ποιοῖς, ὡς μὴ ἀτιμάζοις εὐτελὲς εἶναι δοκοῦν τὸ ὄρνεον, καὶ ταῦτα τοσαύτας ἐν αὑτῷ ψυχὰς ἔχον.

21 ΜΙΚ. Οὐκοῦν, ὦ ἀλεκτρυών, ἐπειδὴ πάντων σχεδὸν τῶν βίων ἐπειράθης καὶ πάντα ἦσθα, λέγοις ἂν ἤδη σαφῶς ἰδίᾳ μὲν τὰ τῶν πλουσίων, ὅπως βιοῦσιν, ἰδίᾳ δὲ τὰ πτωχικά, ὡς μάθω εἰ ἀληθῆ ταῦτα φῄς, εὐδαιμονέστερον ἀποφαίνων με τῶν πλουσίων.

ΑΛΕΚ. 'Ιδοὺ δή, οὕτως ἐπίσκεψαι, ὦ Μικύλε· σοὶ μὲν οὔτε πολέμου πολὺς λόγος, ἢν λέγηται ὡς οἱ πολέμιοι προσελαύνουσιν, οὐδὲ φροντίζεις μὴ τὸν ἀγρὸν τέμωσιν ἐμβαλόντες ἢ τὸν παράδεισον ξυμπατήσωσιν ἢ τὰς ἀμπέλους δῃώσωσιν, ἀλλὰ τῆς σάλπιγγος ἀκούων μόνον, εἴπερ ἄρα, περιβλέπεις τὸ κατὰ σεαυτόν, οἷ τραπόμενον χρὴ σωθῆναι καὶ τὸν κίνδυνον διαφυγεῖν· οἱ δ' εὐλαβοῦνται μὲν καὶ ἀμφ' ἑαυτοῖς, ἀνιῶνται δὲ ὁρῶντες ἀπὸ τῶν τειχέων ἀγόμενα καὶ

Piscat. 45. — *Κράτης*, s. oben zu Todtengespr. 11, 1. — *ποτνιωμένου*. Erst bei späteren vorkommendes Wort. — *ᾔδεις*, s. oben zu Todtengespr. 22, 2. — *ἢ ὅ τι μάλιστα χαίρεις καλούμενος*, oder wie du dich am liebsten nennen hörst. S. oben zu c. 10. — *ἐπιταράττοιμι*, s. zu I, 4. — *διοίσει οὐδέν*, *nihil intererit*. — *πλήν*, s. zu II, 9.

21. *πάντα ἦσθα*, in Bezug auf die vorhergehenden Worte: *πάντα γὰρ ταῦτα ἐγώ εἰμι*. — *λέγοις ἄν*, s. oben zu c. 5. — *οὔτε πολέμου*. Diesem entspricht c. 22: *ἐν εἰρήνῃ τε*. — *ἐμβαλόντες*, Kr. Gr. §. 52, 2, 7. — *εἴπερ ἄρα*, elliptisch, wie auch wir, näml. *περιβλέπεις*; Kr. Gr. §. 65, 5, 11. Ebenso De conscr. hist. 17. Bacch. 3. — *καὶ ἀμφ' ἑαυτοῖς*, auch um sich, ebenso wie die Armen. Uebrigens findet sich *εὐλαβεῖσθαι ἀμφί τινι* nur hier; überhaupt ist *ἀμφί* mit dem Dativ. der attischen Prosa fremd. — *τειχέων*, Kr. Gr. §. 18, 3, 5. Diese Form scheint die allein wahre in der att. Prosa zu sein. — *ἀγόμενα καὶ φερόμενα*, s. zu

φερόμενα ὅσα εἶχον ἐν τοῖς ἀγροῖς. καὶ ἤν περ ἐσφέρειν δέῃ,
μόνοι καλοῦνται, ἤν τε ἐπεξιέναι, προκινδυνεύουσι στρατη-
γοῦντες ἢ ἱππαρχοῦντες· σὺ δὲ οἰσυΐνην ἀσπίδα ἔχων, εὔ-
σταλὴς καὶ κοῦφος ἐς σωτηρίαν, ἕτοιμος ἑστιᾶσθαι τὰ ἐπινί-
κια, ἐπειδὰν θύῃ ὁ στρατηγὸς νενικηκώς. ἐν εἰρήνῃ τε αὖ 22
σὺ μὲν τοῦ δήμου ὤν, ἀναβὰς ἐς ἐκκλησίαν, τυραννήσεις τῶν
πλουσίων, οἱ δὲ φρίττουσι καὶ ὑποπτήσσουσι καὶ διανομαῖς
ἱλάσκονταί σε. λουτρὰ μὲν γὰρ ὡς ἔχοις καὶ ἀγῶνας καὶ θεά-
ματα καὶ τἆλλα διαρκῆ ἅπαντα, ἐκεῖνοι πονοῦσι, σὺ δὲ ἐξετα-
στὴς καὶ δοκιμαστὴς πικρὸς ὥσπερ δεσπότης, οὐδὲ λόγου
μεταδιδοὺς ἐνίοτε. κἂν σοι δοκῇ, κατεχαλάζησας αὐτῶν ἀφθό-
νους τοὺς λίθους ἢ τὰς οὐσίας [αὐτῶν] ἐδήμευσας· οὔτε δὲ
συκοφάντην δέδιας αὐτὸς οὔτε λῃστήν, μὴ ὑφέληται τὸ χρυ-
σίον ὑπερβὰς τὸ θριγκίον ἢ διορύξας τὸν τοῖχον, οὔτε πράγ-
ματα ἔχεις λογιζόμενος ἢ ἀπαιτῶν ἢ τοῖς καταράτοις οἰκονό-
μοις διαπυκτεύων καὶ πρὸς τοσαύτας φροντίδας διαμεριζό-
μενος, ἀλλὰ κρηπῖδα συντελέσας, ἑπτὰ ὀβολοὺς ἔχων τὸν
μισθόν, ἀπαναστὰς περὶ δείλην ὀψίαν, λουσάμενος, ἢν δοκῇ,
σαπέρδην τινὰ ἢ μαινίδας ἢ κρομμύων κεφαλίδας ὀλίγας
πριάμενος εὐφραίνεις σεαυτόν, ᾄδων τὰ πολλὰ καὶ τῇ βελ-
τίστῃ πενίᾳ προσφιλοσοφῶν. ὥστε διὰ ταῦτα ὑγιαίνεις τε 23
καὶ ἔρρωσαι τὸ σῶμα καὶ διακαρτερεῖς πρὸς τὸ κρύος· οἱ πό-
νοι γάρ σε παραθήγοντες οὐκ εὐκαταφρόνητον ἀνταγωνιστὴν
ἀποφαίνουσι πρὸς τὰ δοκοῦντα τοῖς ἄλλοις ἄμαχα εἶναι. ἀμέ-
λει οὐδέν σοι τῶν χαλεπῶν τούτων νοσημάτων πρόσεισιν,

IV, 15. — *ἐσφέρειν*, von der Vermögenssteuer (*εἰσφορά*), die ausserordentlich und lediglich für die Kriegsbedürfnisse bestimmt war. — *ἐπεξιέναι*, gegen die Feinde ausrücken. — *οἰσυΐνην*, von Weidengeflecht. — *ἕτοιμος*, näml. *εἰ*, s. oben zu c. 6.

22. *τοῦ δήμου ὤν*, Kr. Gr. §. 47, 9, 2. Rhet. praec. 11: *μάθοις ἂν ὡς οὐχὶ τῶν καθ' ἡμᾶς ἐστιν* u. s. — *τυραννήσεις*, du wirst tyrannisiren, wenn du willst und wie sich erwarten lässt. — *οὐδὲ λόγου μεταδιδούς*, sie nicht einmal zu Worte kommen lassend, nicht einmal die Erlaubniss sich zu vertheidigen gebend. Ebenso Hermot. 30. Phalar. 1, 6. — *κατεχαλάζησας . . ἐδήμευσας*. Ueber diese Aoriste s. zu III, 10. Vgl. c. 23: *ἀνεπήδησας . . ἐποίησαν . . διέπτησαν*. — *αὐτός*, selbst, für deine Person. — *πράγματα ἔχεις*, s. zu III, 16. — *ἀπαιτῶν*, Schulden eintreibend. — *πρὸς τοσ. φρ. διαμερ.* Bis accus. 2: *ὅσα δὲ πράγματα ἔχω πρὸς τοσαύτας φροντίδας διῃρημένος*. Dial. deor. 24 (16), 1: *πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος*. Amor. 1: *ὦτα πρὸς τὰς συνεχεῖς σπουδὰς κεκμηκότα*. — *περὶ δείλην ὀψίαν*, gegen Sonnenuntergang.

23. *πρόσεισιν*, s. oben zu c. 9.

ἀλλ' ἤν ποτε κοῦφος πυρετὸς ἐπιλάβηται, πρὸς ὀλίγον ὑπηρετήσας αὐτῷ ἀνεπήδησας εὐθύς, ἀποσεισάμενος τὴν ἄσην, ὁ δὲ φεύγει αὐτίκα φοβηθείς, ψυχροῦ τε ὁρῶν ἐμφορούμενον καὶ μακρὰ οἰμώζειν λέγοντα ταῖς ἰατρικαῖς περιόδοις. οἱ δὲ ὑπ' ἀκρασίας ἄθλιοι τί τῶν κακῶν οὐκ ἔχουσι, ποδάγρας καὶ φθόας καὶ περιπνευμονίας καὶ ὑδέρους; ταῦτα γὰρ τῶν πολυτελῶν ἐκείνων δείπνων ἀπόγονα. τοιγαροῦν οἱ μὲν αὐτῶν ὥσπερ ὁ Ἴκαρος ἐπὶ πολὺ ἄραντες αὑτοὺς καὶ πλησιάσαντες τῷ ἡλίῳ, οὐκ εἰδότες ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν ἐνίοτε τὸν πάταγον ἐποίησαν ἐπὶ κεφαλὴν ἐς πέλαγος ἐμπεσόντες· ὅσοι δὲ κατὰ τὸν Δαίδαλον μὴ πάνυ μετέωρα μηδὲ ὑψηλὰ ἐφρόνησαν, ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε τῇ ἅλμῃ τὸν κηρόν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτησαν.

ΜΙΚ. Ἐπιεικεῖς τινας καὶ συνετοὺς λέγεις.

ΑΛΕΚ. Τῶν μέντοι γε ἄλλων, ὦ Μικύλε, τὰ ναυάγια πάνυ αἰσχρὰ ἴδοις ἄν, ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ Πέρσαις ἀναβαίνων ἐπὶ τὸ πῦρ ἢ Διο-

— ἐπιλάβηται, befällt. Das Medium so erst bei Späteren; die Att. gebrauchen das Activ. Ebenso Alciphr. I, 1, 5: εἰ χειμὼν ἐπιλάβοιτο. — πρὸς ὀλίγον, s. zu IV, 4. — αὐτῷ, näml. τῷ πυρετῷ. — ψυχροῦ, kaltes Wasser. Ueber ἐμφορεῖσθαι s. zu III, 16. — ταῖς ἰατρικαῖς περιόδοις, die ärztlichen Besuche. Nigr. 22: οἱ πλείονες αὐτῶν κατακλιθέντες ἰατροῖς παρέχουσιν ἀφορμὰς περιόδων. Der Arzt erwartete die Kranken in dem ἰατρεῖον, oder er ging umher, um seine Kranken zu besuchen. — ἀκρασίας, Unmässigkeit, = ἀκράτεια, ein von den Atticisten verworfenes Wort, das sich freilich auch bei Isokrates und andern mustergültigen Schriftstellern findet, wenn die Stellen richtig sind. — τί τῶν κακῶν, Kr. Gr. §. 47, 28, 11. De conscr. hist. 24: τίνι τῶν καλῶν ἔοικεν; Nigrin. 25: τίνι τῶν καλῶν εἰκάσομεν; — ἐκείνων, s. zu II, 6. — ὁ Ἴκαρος κτἑ. Dädalos, ein berühmter Künstler der Mythenzeit, Sohn des Metion oder Palamaon, hatte seinen Schwestersohn getödtet und musste deswegen aus Athen flüchten. Er begab sich nach Kreta, wo er dem Minos das Labyrinth erbaute, in welches er bald selbst begangener Treulosigkeiten wegen nebst seinem Sohne Ikaros eingeschlossen wurde. Daraus entkamen sie dadurch, dass Däd. für sich und seinen Sohn Flügel aus Wachs verfertigte. Ikar. flog zu hoch und kam der Sonne zu nahe, in Folge dessen das Wachs schmolz und er herab in's Meer stürzte; Däd. dagegen hielt sich im Fluge niedrig und rettete sich nach Sicilien. — ἐπὶ πολύ, weithin; ebenso c. 26. — ἐπὶ κεφαλήν, s. zu II, 38. — ὡς τὸ πολύ, ziemlich meistentheils; ebenso Hermotim. 28. Fugit. 12 u. s., bei den Attikern ὡς ἐπὶ τὸ πολύ, u. so auch Luc. ö. — μέντοι γε, s. zu Göttergespr. 14, 10. — τὰ ναυάγια, Schiffbrüche. Nicht selten steht ναυάγιον bei Luc. u. anderen Späteren für ναυαγία. Parasit. 8: παρασίτου δὲ ναυάγιον οὐδεὶς ἔχει τοιοῦτον εἰπεῖν. — περιτετιλμένος. De merc. cond. 33: γῦπά τινα περιτετιλμένον τοῦ πώγωνος τὰ πτερά. — Διονύσιος, der jüngere, welcher 367 v. Chr.

ὦ χρυσέ, δεξίωμα κάλλιστον

χὶ

χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη.

λλὰ τί μεταξὺ ἐγέλασας, ὦ ἀλεκτρυών;

ΑΛΕΚ. Ὅτι ὑπ' ἀγνοίας, ὦ Μικύλε, καὶ σὺ τὰ ὅμοια 15
οῖς πολλοῖς ἐξηπάτησαι περὶ τῶν πλουσίων. οἱ δέ, εὖ ἴσθι,
ολὺ ὑμῶν ἀθλιώτερον τὸν βίον βιοῦσι. λέγω δέ σοι καὶ
ένης καὶ πλούσιος πολλάκις γενόμενος καὶ παντὸς βίου
επειραμένος· μετὰ μικρὸν δὲ καὶ αὐτὸς εἴσῃ ἕκαστα.

ΜΙΚ. Νὴ Δία, καιρὸς γοῦν ἤδη καὶ σὲ εἰπεῖν, ὅπως
λλάγης καὶ ἃ σύνοισθα τῷ βίῳ ἑκάστῳ.

ΑΛΕΚ. Ἄκουε, τοσοῦτόν γε προειδώς, μηδένα με σοῦ
ὐδαιμονέστερον βιοῦντα ἑωρακέναι.

ΜΙΚ. Ἐμοῦ, ὦ ἀλεκτρυών; οὕτω σοὶ γένοιτο· προάγῃ
άρ με λοιδορεῖσθαί σοι. ἀλλὰ εἰπὲ ἀπὸ τοῦ Εὐφόρβου ἀρξά-
ενος, ὅπως ἐς Πυθαγόραν μετεβλήθης, εἶτα ἑξῆς ἄχρι τοῦ
λεκτρυόνος· εἰκὸς γάρ σε ποικίλα καὶ ἰδεῖν καὶ παθεῖν ἐν
ολυειδέσι τοῖς βίοις.

ΑΛΕΚ. Ὡς μὲν ἐξ Ἀπόλλωνος τὸ πρῶτον ἡ ψυχή μοι 16
αταπταμένη ἐς τὴν γῆν ἐνέδυ εἰς ἀνθρώπου σῶμα ἥντινα
ὴν καταδίκην ἐκτελοῦσα, μακρὸν ἂν εἴη λέγειν, ἄλλως τε
ὐδὲ ὅσιον οὔτ' ἐμοὶ εἰπεῖν οὔτε σοὶ ἀκούειν τὰ τοιαῦτα.
πειτ' Εὔφορβος ἐγενόμην . . . .

ΜΙΚ. Τοῦτό μοι πρότερον εἰπέ, εἰ κἀγώ ποτε ἠλλάγην
ὥσπερ σύ.

ΑΛΕΚ. Καὶ μάλα.

ΜΙΚ. Τίς οὖν ἦν; εἴ τι ἔχεις εἰπεῖν. ἐθέλω γὰρ τοῦτο
ἰδέναι.

ΑΛΕΚ. Σύ; μύρμηξ Ἰνδικὸς τῶν τὸ χρυσίον ἀνορυτ-
όντων.

ὦ χρυσέ, δεξ. κάλλιστον. Vgl. Tim. 1 u. das. die Anm. — χρυσὸς γάρ ἐστιν .. κράτη. Wahrscheinlich auch ein Vers des Euripides; bei Nauck fr. ad. 238.
15. τὰ ὅμοια, Kr. Gr. §. 46, 5, 4. Tyrannic. 4: τῶν πώποτε τὰ ὅμοια δυστυχησάντων. — ἀθλιώτερον τὸν βίον, Kr. Gr. §. 50, 11, 1. Tim. 7: οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν. — οὕτω σοὶ γένοιτο, d. i. mag es dir so ergehen, ich wünsche dir gleiches Loos. — προάγῃ, Kr. Gr. §. 52, 8, 4.
16. ἐξ Ἀπόλλωνος, s. oben zu Todtengespr. 20, 3. — ἥντινα, = ἡντινοῦν. Aristid. I p. 309: τὰ ἐν οἷστισι τοῖς καιροῖς. Kr. Gr. §. 51, 15, 1. [Lobeck z. Soph. Ai. p. 146.] — μύρμηξ Ἰνδικός. Dasselbe erzählt Herodot. 3, 102 und andere Schriftsteller. Siehe Krüger's Bemerkung zu Herod. Vgl. Epistol.

στρίδα, το διάδημα, τοὺς προπομπεύοντας, τοὺς ἑπομένους. ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνία καὶ ἔστρεφεν, ἐκείνοις μὲν τῆς ἀγνοίας συνεγίνωσκον, ἐμαυτὸν δὲ ἠλέουν ὅμοιον ὄντα τοῖς μεγάλοις τούτοις κολοσσοῖς, οἵους ἢ Φειδίας ἢ Μύρων ἢ Πραξιτέλης ἐποίησαν· κἀκείνων γὰρ ἕκαστος ἔκτοσθεν μὲν Ποσειδῶν τις ἢ Ζεύς ἐστι πάγκαλος, ἐκ χρυσίου καὶ ἐλέφαντος συνειργασμένος, κεραυνὸν ἢ ἀστραπὴν ἢ τρίαιναν ἔχων ἐν τῇ δεξιᾷ· ἢν δὲ ὑποκύψας ἴδῃς τά γ' ἔνδον, ὄψει μοχλούς τινας καὶ γόμφους καὶ ἥλους διαμπὰξ διαπεπερονημένους καὶ κορμοὺς καὶ σφῆνας καὶ πίτταν καὶ πηλὸν καὶ πολλήν τινα τοιαύτην ἀμορφίαν ὑποικουροῦσαν. ἐῶ λέγειν μυῶν πλῆθος ἢ μυγαλῶν ἐμπολιτευόμενον αὐτοῖς ἐνίοτε. τοιοῦτόν τι καὶ βασιλεία ἐστίν.

25 *ΜΙΚ. Οὐδέπω ἔφησθα τὸν πηλὸν καὶ τοὺς μοχλοὺς καὶ γόμφους οἵτινες τῆς ἀρχῆς, οὐδὲ τὴν ἀμορφίαν ἐκείνην τὴν πολλὴν ἥτις ἐστίν· ὡς τό γε ἐξελαύνειν ἀποβλεπόμενον καὶ τοσούτων ἄρχοντα καὶ προσκυνούμενον δαιμονίως ἔοικεν ὄντως τῷ κολοσσιαίῳ παραδείγματι· θεσπέσιον γάρ τι καὶ τοῦτο. σὺ δὲ τὰ ἔνδον ἤδη τοῦ κολοσσοῦ λέγε.*

ΑΛΕΚ. Τί πρῶτον εἴπω σοι, ὦ Μικύλε; τοὺς φόβους καὶ τὰ δείματα καὶ ὑποψίας καὶ μῖσος τὸ παρὰ τῶν συνόντων καὶ ἐπιβουλάς, καὶ διὰ ταῦτα ὕπνον τε ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ ταραχῆς μεστὰ ὀνείρατα καὶ ἐννοίας πολυπλόκους καὶ ἐλπίδας ἀεὶ πονηράς, ἢ τὴν ἀσχολίαν καὶ χρηματισμοὺς καὶ δίκας καὶ ἐκστρατείας καὶ προστάγματα καὶ συνθήματα καὶ λογισμούς; ὑφ' ὧν οὐδὲ ὄναρ ἀπολαῦσαί τινος ἡδέος ἐγγίνεται, ἀλλ' ἀνάγκη ὑπὲρ ἁπάντων μόνον διασκοπεῖσθαι καὶ μυρία ἔχειν πράγματα· οὐδὲ γὰρ Ἀτρείδην Ἀγαμέμνονα

ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα,

καὶ ταῦτα ῥεγκόντων Ἀχαιῶν ἁπάντων. λυπεῖ δὲ τὸν μὲν Λυδὸν ὁ υἱὸς κωφὸς ὤν, τὸν Πέρσην δὲ Κλέαρχος Κύρῳ

14. — *τοὺς προπομπεύοντας*, zu verstehen von den anteambulones. — *Φειδίας κτέ.*, s. zu I, 8. — *Ποσειδῶν τις*, s. zu II, 54. — *ἐκ χρυσίου*, s. zu Todtengespr. 24, 1. — *ἔχων ἐν τῇ δεξιᾷ.* Ebenso Tim. 49: *ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ.* — *μυῶν κτέ.* Aehnlich Iup. trag. 8: *μυῶν ἀγέλας ὅλας ἐμπολιτευομένας σκέποντες.*

25. *τοὺς φόβους*, s. zu IV, 18. — *ὕπνος . . ὁρμαίνοντα*, Il. 10, 4. — *τὸν Λυδόν*, den Krösos, von dessen beiden Söhnen der eine stumm war; Herodot. 1, 34. — *τὸν Πέρσην*, den Artaxerxes II. Mnemon. — *Κλέαρ-*

τερον εἷλε Τροίαν κατὰ τοὺς πατέρας ἡμῶν τοὺς τότε μάλιστα. διηγεῖτο γάρ μοι ὁ Πάνθους ταῦτα, κομιδῇ μειράκιον ὢν ἑωρακέναι λέγων τὸν Ἡρακλέα.

ΜΙΚ. Τί δαί; ὁ Ἀχιλλεὺς τοιοῦτος ἦν, ἄριστος τὰ πάντα, ἢ μῦθος ἄλλως καὶ ταῦτα;

ΑΛΕΚ. Ἐκείνῳ μὲν οὐδὲν συνηνέχθην, ὦ Μικύλε, οὐδ' ἂν ἔχοιμί σοι ἀκριβῶς οὕτω τὰ παρὰ τοῖς Ἀχαιοῖς λέγειν. πόθεν γάρ, πολέμιος ὤν; τὸν μέντοι ἑταῖρον αὐτοῦ τὸν Πάτροκλον οὐ χαλεπῶς ἀπέκτεινα, διελάσας τῷ δορατίῳ.

ΜΙΚ. Εἶτα σὲ ὁ Μενέλεως μακρῷ εὐχερέστερον. ἀλλὰ ταῦτα μὲν ἱκανῶς, τὰ Πυθαγόρου δὲ ἤδη λέγε.

ΑΛΕΚ. Τὸ μὲν ὅλον, ὦ Μικύλε, σοφιστὴς ἄνθρωπος ἦν· χρὴ γάρ, οἶμαι, τἀληθὲς λέγειν· ἄλλως δὲ οὐκ ἀπαίδευτος οὐδὲ ἀμελέτητος τῶν καλλίστων μαθημάτων. ἀπεδήμησα δὲ καὶ ἐς Αἴγυπτον, ὡς συγγενοίμην τοῖς προφήταις ἐπὶ σοφίᾳ, καὶ ἐς τὰ ἄδυτα κατελθὼν ἐξέμαθον τὰς βίβλους τὰς Ὥρου καὶ Ἴσιδος, καὶ αὖθις ἐς Ἰταλίαν ἐκπλεύσας οὕτω διέθηκα τοὺς κατ' ἐκεῖνα Ἕλληνας, ὥστε θεὸν ἡγόν με. 18

ΜΙΚ. Ἤκουσα ταῦτα, καὶ ὡς δόξειας ἀναβεβιωκέναι ἀποθανὼν καὶ ὡς χρυσοῦν τὸν μηρὸν ἐπιδείξαιό ποτε αὐτοῖς. ἐκεῖνο δέ μοι εἰπέ, τί σοι ἐπῆλθε νόμον ποιήσασθαι μήτε κρεῶν μήτε κυάμων ἐσθίειν;

ΑΛΕΚ. Μὴ ἀνάκρινε τὰ τοιαῦτα, ὦ Μικύλε.

ΜΙΚ. Διὰ τί, ὦ ἀλεκτρυών;

don für die Befreiung seiner Tochter Hesione den ausbedungenen Lohn nicht geben wollte; Il. 5, 642. — *μάλιστα, prope, fere, circiter.* — *μῦθος ἄλλως*, nichts als, nur, s. zu III, 6. — *ἀκριβῶς οὕτω*, s. zu I, 11. — *πόθεν γάρ.* Was ist zu ergänzen? S. zu II, 8. — *Πάτροκλον.* Euphorbos verwundete ihn nur; Il. 16, 812 f.

18. *τοῖς προφήταις*, zu verstehen von den Priestern. Eigentlich ist der *προφήτης* (Orakelabfasser, Spruchabfasser) der Vorsteher des Heiligthums, welcher die zehn sogenannten priesterlichen Bücher auswendig kennen musste, und diese, deren Inhalt die Gesetze, die Götter (Jurisprudenz und Theologie) und den ganzen Unterricht der Priester betrifft, sind von den zwei und vierzig heiligen Büchern des Taat- (Thot) Hermes die wichtigsten. — *ἐπὶ σοφίᾳ*, Kr. Gr. §. 68, 41, 7. Hermotim. 80: *ᾧ πάμπολλοι τῶν νέων ἐπὶ σοφίᾳ πλησιάζουσιν.* u. s. — *Ὥρου καὶ Ἴσιδος.* Die eigentliche Nationalgottheit der Aegypter war der Sonnengott Osiris mit seiner Gemahlin und Schwester Isis und ihrem Sohne Oros. — *κατ' ἐκεῖνα*, jener Gegend. — *θεὸν ἡγόν με. ἄγειν* in diesem Sinne selten bei Attikern. — *χρυσοῦν τὸν μηρόν*, s. zu Todtengespr. 20, 3. —

ἢ Τηλέφους, διαδήματα ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα καὶ ἐπίσειστον κόμην καὶ χλαμύδα χρυσόπαστον, ἢν δέ, οἷα πολλὰ γίγνεται, κενεμβατήσας τις αὐτῶν ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς, τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ἡμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ καὶ τῶν σκελῶν ἐπὶ πολὺ γυμνουμένων, ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια δύστηνα ὄντα καὶ τῶν κοθόρνων τὴν ὑπόδεσιν ἀμορφοτάτην καὶ οὐ κατὰ λόγον τοῦ ποδός. ὁρᾷς, ὅπως με καὶ εἰκάζειν ἐδιδάξω ἤδη, ὦ βέλτιστε ἀλεκτρυών; ἀλλὰ τυραννὶς μὲν τοιοῦτόν τι ὤφθη οὖσα. ἵππος δὲ ἢ κύων ἢ ἰχθὺς ἢ βάτραχος ὁπότε γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν;

27 ΑΛΕΚ. Μακρὸν τοῦτον ἀνακινεῖς τὸν λόγον καὶ οὐ τοῦ παρόντος καιροῦ· πλὴν τό γε κεφάλαιον, οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ ἀνθρωπείου, μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις καὶ χρείαις ξυμμεμετρημένος· τελώνην δὲ ἵππον ἢ συκοφάντην βάτραχον ἢ σοφιστὴν κολοιὸν ἢ ὀψοποιὸν κώνωπα ἢ κίναιδον ἀλεκτρυόνα ἢ ὅσα ὑμεῖς ἐννοεῖτε, οὐκ ἂν ἴδοις ἐν ἐκείνοις.

28 ΜΙΚ. Ἀληθῆ ἴσως ταῦτα, ὦ ἀλεκτρυών. ἐγὼ δὲ ὃ πέπονθα, οὐκ αἰσχύνομαι πρὸς σὲ εἰπεῖν. οὐδέπω δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν, ἣν ἐκ παίδων εἶχον πλούσιος γενέσθαι, ἀλλά μοι καὶ τὸ ἐνύπνιον ἔτι πρὸ τῶν ὀφθαλμῶν ἕστηκεν ἐπιδεικνύμενον τὸ χρυσίον, καὶ μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι τρυφῶντι ἐν ἀγαθοῖς τοσούτοις.

ΑΛΕΚ. Ἐγώ σε ἰάσομαι, ὦ Μικύλε, καὶ ἐπείπερ ἔτι νὺξ

sen war, das delphische Orakel nach seiner Mutter. Dieses befahl ihm nach Mysien zum König Teuthras zu reisen. Dort fand er seine Mutter, heirathete des Teuthras Tochter Argiope und ward dessen Nachfolger. — *ἐπίσειστον κόμην*, das an der Maske mähnenartig zu beiden Seiten herabwallende Haar. — *κενεμβατήσας*, einen Fehltritt thuen, späteres Wort. — *αὐτῷ διαδήματι*, s. zu II, 22. — *οὐ κατὰ λόγον*, nicht im Verhältniss, = *ὑπὲρ τὸν πόδα* Pro imag. 10. — *ἐδιδάξω*, s. zu I, 10.

27. *τὸ κεφάλαιον*, *quod rei caput est*, Kr. Gr. §. 57, 10, 12. Vitar. auct. 23: *καὶ τὸ κεφάλαιον, οὐ θέμις γενέσθαι σοφόν, ἣν μὴ κτέ.* u. ö. — *ξυμμεμετρημένος*, „quia quaevis alia (vita) ad naturales se appetitus et necessitates accommodat hisque se circumscribit.“ Lehm. — *ἐννοεῖτε*, im Sinne habt.

28. *αἰσχύνομαι .. εἰπεῖν*, s. zu IV, 23. — *ἐκ παίδων*, von Jugend auf. — *ἐπὶ τῷ κατ. Σίμ. ἀποπνίγομαι*, ich ersticke vor Aerger über. Ebenso Demosth.

ἐστιν, ἐξαναστὰς ἕπου μοι· ἀπάξω γάρ σε παρ' αὐτὸν ἐκεῖνον τὸν Σίμωνα καὶ ἐς τὰς τῶν ἄλλων πλουσίων οἰκίας, ὡς ἴδῃς οἷα τὰ παρ' αὐτοῖς ἐστι.

ΜΙΚ. Πῶς τοῦτο κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ τοιχωρυχεῖν γε σύ με ἀναγκάσεις.

ΑΛΕΚ. Οὐδαμῶς, ἀλλ' ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, τοῦτο ἐξαίρετον ἔδωκέ μοι, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον, ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστί μοι .....

ΜΙΚ. Δύο δ' ἔστι σοι τοιαῦτα.

ΑΛΕΚ. Τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω καὶ ἔχῃ, ἐς ὅσον ἂν βούλωμαι ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται καὶ ὁρᾶν ἅπαντα οὐχ ὁρώμενος αὐτός.

ΜΙΚ. Ἐλελήθεις με, ὦ ἀλεκτρυών, καὶ σὺ γόης ὤν. ἐμοὶ δ' οὖν ἢν τοῦτο ἅπαξ παράσχῃς, ὄψει τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα· μετοίσω γὰρ αὐτὰ παρεσελθών· ὁ δὲ αὖθις περιτρώξεται ἀποτείνων τὰ καττύματα.

ΑΛΕΚ. Οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς, ἤν τινα τοιοῦτον ἐργάζηται ὁ ἔχων τὸ πτερόν, ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν.

ΜΙΚ. Ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν ὄντα τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. ἀπίωμεν δ' ὅμως· ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι.

ΑΛΕΚ. Ἀπότιλον, ὦ Μικύλε, πρότερον τὸ πτίλον .... τί τοῦτο; ἄμφω ἀπέτιλας.

ΜΙΚ. Ἀσφαλέστερον οὕτως, ὦ ἀλεκτρυών, καὶ σοὶ ἧττον ἂν ἄμορφον τὸ πρᾶγμα εἴη, ὡς μὴ χωλεύοις διὰ θάτερον τῆς οὐρᾶς μέρος.

19, 199: ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. — τῶν ἄλλων, der andern, die wir kennen; daher der Artikel. — τὸ οὐρ. πτερὸν τὸ μήκ. „Wie absurd diese Wundergabe der längsten Schwanzfeder unsers Hahns auch sein mag, so war sie es doch nicht mehr als tausend Wunderdinge, womit sich damals die Secten-Philosophen schon zu tragen pflegten. Luc. mokirt sich in mehrern seiner Stücke dadurch über diese Teratologen, dass er es ihnen in ihrer eigenen Manier zuvorthut.“ Wiel. — ἐστί μοι. Mikylos unterbricht hier die Worte des Hahns, um sie zu berichtigen, wie das oft im lebhaften Gespräch der Fall ist. — καὶ ἔχῃ, d. i. καὶ ὅστις ἂν ἔχῃ, s. oben zu Todtengespr. 2, 1. — ἐς ὅσον, auf wie lange, so lange als. — καὶ σύ, auch du, wie so mancher Andere. — τοῦτο, näml. τὸ πτερόν. — ἀποτείνων τὰ καττ. Martial. 9, 74 von einem Schuster: *dentibus antiquas solitus producere pelles.* (Gesn.) — ἤν τινα τοιοῦτον ἐργ., s. zu Todtengespr. 7, 2. — κλέπτην τὸν Ἑρμῆν, s. oben Göttergespr. 6. Prometh. 5.

29 *ΑΛΕΚ.* Εἶεν. ἐπὶ τὸν Σίμωνα πρῶτον ἄπιμεν ἢ παρ' ἄλλον τινὰ τῶν πλουσίων;

ΜΙΚ. Οὐ μὲν οὖν, ἀλλὰ παρὰ τὸν Σίμωνα, ὃς ἀντὶ δισυλλάβου τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ. καὶ δὴ πάρεσμεν ἐπὶ τὰς θύρας. τί οὖν ποιῶ τὸ μετὰ τοῦτο;

ΑΛΕΚ. Ἐπίθες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον.

ΜΙΚ. Ἰδοὺ ἤδη. ὦ Ἡράκλεις, ἀναπέπταται ὥσπερ κλειδὶ ἡ θύρα.

ΑΛΕΚ. Ἡγοῦ ἐς τὸ πρόσθεν. ὁρᾷς αὐτὸν ἀγρυπνοῦντα καὶ λογιζόμενον;

ΜΙΚ. Ὁρῶ νὴ Δία πρὸς ἀμαυράν τε καὶ διψῶσαν τὴν θρυαλλίδα, καὶ ὠχρὸς δ' ἐστὶν οὐκ οἶδ' ὅθεν, ὦ ἀλεκτρυών, καὶ κατέσκληκεν ὅλος ἐκτετηκώς, ὑπὸ φροντίδων δηλαδή· οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγετο.

ΑΛΕΚ. Ἄκουσον ἃ φησιν· εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει.

ΣΙΜΩΝ. Οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐκεῖνα πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώρυκται καὶ οὐδεὶς ὅλως εἶδε, τὰ δὲ ἑκκαίδεκα εἶδεν, οἶμαι, Σωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτνῃ κατακρύπτοντά με· ὅλος γοῦν περὶ τὸν ἱππῶνά ἐστιν, οὐ πάνυ ἐπιμελὴς ἄλλως οὐδὲ φιλόπονος ὤν. εἰκὸς δὲ διηρπάσθαι πολλῷ πλείω τούτων· ἢ πόθεν γὰρ ὁ Τίβιος ταρίχους οὕτω μεγάλους ὠψωνηκέναι χθὲς ἐλέγετο ἢ τῇ γυναικὶ ἐλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν ὅλων; τἀμὰ οὗτοι σπαθῶσι τοῦ κακοδαίμονος. ἀλλ' οὐδὲ τὰ ἐκπώματα ἐν ἀσφαλεῖ μοι ἀπόκειται, τοσαῦτα ὄντα· δέδια γοῦν, μή τις ὑπορύξας τὸν

29. τετρασύλλαβος, s. cap. 14 u. das. die Anm. — καὶ δή, s. oben zu c. 9. — πάρεσμεν ἐπί, s. oben zu Todtengespr. 16, 3. — τὸ μετὰ τοῦτο, weiter, ferner, wie τὸ ἐπὶ τούτῳ, s. zu IV, 7. — ὅλος ἐκτετηκώς gehören zusammen; vgl. c. 31 z. E. — οὐκοῦν, wir ebenso: also. Es bezieht sich auf das zu ergänzende vorhergehende Selbstgespräch des Sim. Vgl. zu Todtengespr. 3, 1. — ὅλος περὶ τὸν ἱππῶνά ἐστιν, d. i. er hat einzig und allein mit dem Stalle zu thun, wie im Latein. *totus est in aliqua re.* Dial. deor. 12, 2: ὅλη οὖσα ἐν τῷ Ἄττῃ. Hermotim. 2: δοκεῖς ὅλος εἶναι ἐν τῷ πράγματι. Dial. meretr. 10, 4: ὅλος περὶ τὸ μειράκιόν ἐστιν. De dom. 18: ὅλος πρὸς τοῖς ὁρωμένοις ἐστίν. — ἢ πόθεν γάρ, elliptisch; s. zu III, 9. — Τίβιος, bekannter Sklavenname. — ταρίχους. Diese Masculinform findet sich auch: De conscr. hist. 20. Sonst τὸ τάριχος. — ἐλλόβιον. Frauen und Mädchen trugen Ohrringe, wie man oft auf Vasen sieht. — πέντε δραχμῶν ὅλων, für fünf ganze od. baare Drachmen. — τἀμὰ οὗτοι κτἑ. Luc. lässt hier den Sim. offenbar mit den Worten eines Komikers antworten, die als Senar lauteten: οὗτοι σπαθῶσι τἀμὰ τοῦ κακοδαίμονος, die er aber umgestellt hat, weil τἀμά betont werden soll. Ueber den Genetiv.

τοῖχον ὑφέληται αὐτά· πολλοὶ φθονοῦσι καὶ ἐπιβουλεύουσί μοι, καὶ μάλιστα ὁ γείτων Μικύλος.

ΜΙΚ. Νὴ Δία· σοὶ γὰρ ὅμοιος ἐγώ, καὶ τὰ τρύβλια ὑπὸ μάλης ἄπειμι ἔχων.

ΑΛΕΚ. Σιώπα, ὦ Μικύλε, μὴ καταφωράσῃ παρόντας ἡμᾶς.

ΣΙΜ. Ἄριστον οὖν ἄγρυπνον αὐτὸν διαφυλάττειν ἅπαντα· περιελεύσομαι διαναστὰς ἐν κύκλῳ τὴν οἰκίαν. τίς οὗτος; ὁρῶ σε, τοιχωρύχε. μὰ Δί', ἐπεὶ κίων γε ὢν τυγχάνεις. εὖ ἔχει. ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή τί με πρῴην διέλαθεν. ἰδοὺ πάλιν ἐψόφηκέ τις, ἐπ' ἐμὲ δηλαδή. πολιορκοῦμαι καὶ ἐπιβουλεύομαι πρὸς ἁπάντων. ποῦ μοι τὸ ξιφίδιον; ἂν λάβω τινά . . . θάπτωμεν αὖθις τὸ χρυσίον.

ΑΛΕΚ. Τοιαῦτα μέν σοι, ὦ Μικύλε, τὰ Σίμωνος. ἀπίωμεν δὲ καὶ παρ' ἄλλον τινά, ἕως ἔτι ὀλίγον τῆς νυκτὸς λοιπόν ἐστιν. 30

ΜΙΚ. Ὦ κακόδαιμον, οἷον βιοῖ τὸν βίον. ἐχθροῖς οὕτω πλουτεῖν γένοιτο. κατὰ κόρρης δ' οὖν πατάξας αὐτὸν ἀπελθεῖν βούλομαι.

ΣΙΜ. Τίς ἐπάταξέ με; λῃστεύομαι ὁ δυστυχής.

ΜΙΚ. Οἴμωζε καὶ διαγρύπνει καὶ ὅμοιος γίγνου τὸ χρῶμα τῷ χρυσῷ, προστετηκὼς αὐτῷ. ἡμεῖς δὲ παρὰ Γνίφωνα, εἰ δοκεῖ, τὸν δανειστὴν ἴωμεν. οὐ μακρὰν δὲ καὶ οὗτος οἰκεῖ. ἀνέῳγε καὶ αὕτη ἡμῖν ἡ θύρα.

ΑΛΕΚ. Ὁρᾷς ἐπαγρυπνοῦντα καὶ αὐτὸν ὑπὸ φροντίδων, ἀναλογιζόμενον τοὺς τόκους τοῖς δακτύλοις καὶ ἤδη κατεσκληκότα, ὃν δεήσει μετ' ὀλίγον πάντα ταῦτα καταλιπόντα σίλφην ἢ ἐμπίδα ἢ κυνόμυιαν γενέσθαι; 31

ΜΙΚ. Ὁρῶ κακοδαίμονα καὶ ἀνόητον ἄνθρωπον, οὐδὲ νῦν πολὺ τῆς σίλφης ἢ ἐμπίδος ἄμεινον βιοῦντα. ὡς δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. ἐπ' ἄλλον ἀπίωμεν.

τοῦ κακοδαίμονος s. oben zu Göttergespr. 14, 9. — *πολλοὶ φθονοῦσι κτἑ.* Vielleicht ebenfalls ursprünglich ein Senar: *πολλοὶ φθονοῦσι κἀπιβουλεύουσί μοι.* — *περιελεύσομαι*, s. zu III, 18. — *τίς οὗτος; κτἑ.* Vgl. Molière's Geizig. Act. 4 Sc. 7: *qui estce? arrête. rends moi mon argent, coquin.* — *ah c'est moi.* — *μὰ Δί'*, s. zu Todtengespr. 20, 6. — [illegible], ob nicht, vgl. Kr. Gr. [illegible]8, 20. — *ἐπ' ἐμὲ δηλαδή*, offenbar gegen mich. — *ἂν λάβω τινά*, s. oben zu Todtengespr. 22, 3.

30. *οἷον βιοῖ τὸν βίον*, s. zu Todtengespr. 9, 4. — *Γνίφωνα.* Bei Luc. oft vorkommender Name zur Bezeichnung eines Geizhalses oder Knausers. — *καὶ οὗτος*, wie Simon, der sein Nachbar war; c. 14. — *ἀνέῳγε*, s. zu Todtengespr. 4, 1.

31. *καὶ αὐτόν*, wie Simon.

32 ΑΛΕΚ. Παρὰ τὸν σὸν Εὐκράτην, εἰ δοκεῖ. καὶ ἰδοὺ γὰρ ἀνέῳγε καὶ αὕτη ἡ θύρα· ὥστε ἐσίωμεν.

ΜΙΚ. Πάντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμὰ ἦν.

ΑΛΕΚ. Ἔτι γὰρ σὺ ὀνειρώττεις τὸν πλοῦτον; ὁρᾷς δ' οὖν τὸν Εὐκράτην αὐτὸν μὲν ὑπὸ τοῦ οἰκέτου, πρεσβύτην ἄνθρωπον;

ΜΙΚ. Ὁρῶ νὴ Δία καταπυγοσύνην καὶ πάσχητιασμόν τινα καὶ ἀσέλγειαν οὐκ ἀνθρωπίνην· τὴν γυναῖκα δὲ ἑτέρωθι ὑπὸ τοῦ μαγείρου μοιχευομένην καὶ αὐτήν.

33 ΑΛΕΚ. Τί οὖν; ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν, ὦ Μικύλε, καὶ πάντα ἔχειν τὰ Εὐκράτους;

ΜΙΚ. Μηδαμῶς, ὦ ἀλεκτρυών· λιμῷ ἀπολοίμην πρότερον. χαιρέτω τὸ χρυσίον καὶ τὰ δεῖπνα, δύο ὀβολοὶ ἐμοί γε πλοῦτος ἔστω μᾶλλον ἢ τοιχωρυχεῖσθαι πρὸς τῶν οἰκετῶν.

ΑΛΕΚ. Ἀλλὰ νῦν μέν — ἡμέρα γὰρ ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτό — ἀπίωμεν οἴκαδε παρ' ἡμᾶς· τὰ λοιπὰ δὲ ἐσαῦθις ὄψει, ὦ Μικύλε.

32. καὶ ἰδοὺ γάρ κτέ. Dieser Satz enthält den Grund des eigentlichen Hauptsatzes ὥστε (daher) ἐσίωμεν. Ebenso folgt Anachars. 18. auf καὶ ἰδοὺ γὰρ ἤδη ἐκφυγόντες τὸν ἥλιον ἐν τῷ συνηρεφεῖ ἐσμεν der Hauptsatz mit οὖν. — ἔτι γάρ. S. zu II, 18. u. oben zu c. 5. — ὀνειρώττεις. Dieses Verbum kommt in Verbindung mit dem Accus. erst bei Späteren vor, wie Polyb. 5, 108, 5. Plutarch. Mar. 46 u. s. Auch bei Luc. steht sonst ὀνειροπολεῖν.

33. πρότερον, als was erdulden? — ἡμέρα γάρ, s. zu IV, 10. — οἴκαδε παρ' ἡμᾶς, s. oben zu c. 10.

ABWEICHUNGEN

VOM FRÜHEREN TEXTE.

Todtengespr. 2, 1 ὀλέθρους nach Koraes für ὀλεθρίους. — 3, 1 Ἀμφίλοχος μὲν αὐτὸς nach Fritzsche für Ἀμφίλ. μὲν οὗτος. ebend. οὐ γὰρ ἂν ἠπίστεις nach Matthiae für οὐ γὰρ ἠπίστεις. 2 ποῖ nach Cobet u. A. für ποῦ. — 5, 1 βούλονται nach Bekker für βουλεύονται. 2 ἀλλὰ κἀκεῖνος nach demselben u. A. für πολλὰ κἀκεῖνος. ebend. ἐπελπίζει für ἐλπίζει. — 6, 2 ταύτην für ταύτης. ebend. habe ich καί nach ὅστις eingeklammert. Cobet: ὅστις ἀεί. derselbe ebend. ἀντιστρέφεσθαι für ἀναστρέφεσθαι. 4 μεγαλοδωρίᾳ für μεγαλοδωρεᾷ. 5 ζῴης für ζώοις. — 7, 1 ἐπετείνετο nach Hemsterh. für ἐπεγίνετο. 2 τὴν ἀφάρμακτον nach Bekker für τὸ ἀ[illegible]κτον. ebend.

νύσιος καταδύσης τῆς τυραννίδος ἐν Κορίνθῳ γραμματιστὴς βλέπηται, μετὰ τηλικαύτην ἀρχὴν παιδία συλλαβίζειν διδάσκων.

ΜΙΚ. Εἰπέ μοι, ὦ ἀλεκτρυών, σὺ δὲ ὁπότε βασιλεὺς ἦσθα — φῂς γὰρ καὶ βασιλεῦσαί ποτε — ποίου τότ' ἐπειράθης τοῦ βίου ἐκείνου; ἦ που πανευδαίμων ἦσθα, τὸ κεφάλαιον ὅ τι πέρ ἐστι τῶν ἀγαθῶν ἁπάντων ἔχων; 24

ΑΛΕΚ. Μηδὲ ἀναμνήσῃς με, ὦ Μικύλε· οὕτω τρισάθλιος ἦν τότε, τοῖς μὲν ἔξω πᾶσιν, ὅπερ ἔφησθα, πανευδαίμων εἶναι δοκῶν, ἔνδοθεν δὲ μυρίαις ἀνίαις ξυνών.

ΜΙΚ. Τίσι ταύταις; παράδοξα γὰρ καὶ οὐ πάνυ τι πιστὰ φῄς.

ΑΛΕΚ. Ἦρχον μὲν οὐκ ὀλίγης χώρας, ὦ Μικύλε, παμφόρου τινὸς καὶ πλήθει ἀνθρώπων καὶ κάλλει τῶν πόλεων ἐν ταῖς μάλιστα θαυμάζεσθαι ἀξίας, ποταμοῖς τε ναυσιπόροις καταρρεομένης καὶ θαλάττῃ εὐόρμῳ χρωμένης· καὶ στρατιὰ ἦν πολλὴ καὶ ἵππος συγκεκροτημένη καὶ δορυφορικὸν οὐκ ὀλίγον καὶ τριήρεις καὶ χρημάτων πλῆθος ἀνήριθμον καὶ χρυσὸς ὁ κοῖλος πάμπολυς καὶ ἡ ἄλλη τῆς ἀρχῆς τραγῳδία πᾶσα ἐς ὑπερβολὴν ἐξωγκωμένη, ὥστε, ὁπότε προΐοιμι, οἱ μὲν πολλοὶ προσεκύνουν καὶ θεόν τινα ὁρᾶν ᾤοντο καὶ ἄλλοι ἐπ' ἄλλοις ξυνέθεον ὀψόμενοί με, οἱ δὲ καὶ ἐπὶ τὰ τέγη ἀνιόντες ἐν μεγάλῳ ἐτίθεντο ἀκριβῶς ἑωρακέναι τὸ ζεῦγος, τὴν ἐφε-

seinem Vater in der Herrschaft über Syrakus folgte, im J. 343 aber von Timoleon auf Bitten der Syrakusaner vertrieben wurde, worauf er sich nach Korinth begab und hier Unterricht ertheilte. — *καταδύσης τῆς τυραννίδος* ist mit Absicht von Luc. gesagt, nachdem seine Herrschaft Schiffbruch gelitten, um in der Metapher zu bleiben.

24. *εἰπέ, σὺ δέ*, s. zu IV, 12. — *τίσι ταύταις*, s. zu IV, 11. — *οὐ πάνυ τι*, s. zu II, 2. — *ἐν ταῖς μάλ. θαυμ. ἀξίας*, Kr. Gr. §. 49, 10, 6. Pseudol. 14: *τοῦτο ἐν τοῖς μάλιστα τοὔνομα διετέλεσεν οὕτως ἀεὶ καὶ πρὸς ἁπάντων αὐτῶν λεγόμενον.* — *καταρρεομένης*, durchströmt. Eigenthümlicher, sonst sich nicht wieder findender Gebrauch dieses Verb. — *συγκεκροτημένη*, wohlgeübt. — *ἀνήριθμον*, poetisches, und dann erst in später Prosa vorkommendes Wort. — *χρυσὸς ὁ κοῖλος*, hohl gearbeitetes, zu Gefässen verarbeitetes. Ebenso Navig. 20. — *ἐπὶ τὰ τέγη ἀν.* Die Dächer der Häuser bei den Alten waren in der Regel platt, so dass man darauf stehen und umhergehen konnte. — *ἐν μεγάλῳ ἐτίθεντο*, schlugen es hoch an. Pro imag. 17: *τὴν πρὸς τὸ θεῖον τιμὴν ἐν μεγάλῳ τιθεμένη.* u. s. Ebenso *ἐν οὐδενὶ τίθεσθαι.* — *τὴν ἐφεστρίδα*, s. zu IV,

Lesart der besten Handschrr. nicht zu rütteln hat; man vergleiche nur die in der Anmerkung aus Symmachus angeführte Stelle. ebend. für ἡμίεφϑα haben die neueren Herausgeber gegen die besten Handschrr. ἡμίοπτα aufgenommen. Soll denn Luc. deswegen, weil bei Homer. οπταλέα steht, nicht ἡμίεφϑα haben sagen können? Ich glaube, dass er es gerade absichtlich gebraucht hat. Zudem steht das Wort ähnlich in den Todtengespr. 20, 4. — 4 ἔτι δὲ πείϑων τοὺς ἀνϑρώπους, ὡς πρὸ τοῦ Πυϑαγόρου Εὔφορβος γένοιτο· γόητά φασι καὶ τερατουργόν nach der Görl. Handschr. für: ἔτι δὲ πείϑων τοὺς ἀνϑρώπους, ἐς πέντε ἔτη μὴ διαλέγεσϑαι; Αλεκ. Ἴσϑι δῆτα κἀκεῖνο, ὡς πρὸ τοῦ Πυϑ. Εὔφ. γένοιτο. Μικ. Γόητά φασι καὶ τερατουργὸν τὸν ἄνϑρωπον. ebend. οὐδὲν μελλήσας für οὐδὲ μελλήσας. — 5 ἡδίστοις fehlt in der Görl. Handschr. — 6 μελιχρὸς οὕτω für μελιχρὸς οὗτος. ebend, ἐϑέλω οὖν nach Fritzsche, für ἐϑέλω γοῦν. — 8 οἶδα τοῦτο, πάνυ mit demselben für οἶδα πάνυ τοῦτο. — 9 λοῦσϑαι nach Cobet für λελοῦσϑαι. — 10 ὑπέβητε μύχιόν τι καὶ ἐχρέμπτετο δυσπρόσοδον nach Fritzsche für ὑπέβητέ καὶ ἐχρέμπτετο μύχιόν τι καὶ δυσπρόσοδον. ebend. ἄν τί σοι für ἄν τι. — 12 διασκεδάσας, das in einer Handschr. fehlt, ist zu tilgen. — 13 ἐξημμένος οὕτως ᾔεις πολεμήσων τοῖς Ἀχαιοῖς, καί nach Halm für ἐξημμένος ᾔεις πολεμήσων τοῖς Ἀχαιοῖς, οὕτω καί. ebend. tilgt ἄν nach οπως Cobet. — 14 habe ich die gewöhnliche Lesart ὑπὸ μάλης für ὑπὸ μάλην wieder aufgenommen; s. meine Bemerkung zu Piscat. 36 p. 216. ebend. Δημύλος nach Bekker für Δριμύλος. ebend. schlägt J. Gronov für προσιόντα nicht unwahrscheinlich προϊόντα vor. — 17 ἄοικος καὶ ἀνέστιος nach Fritzche für ἀοίκητος oder ἄοικος ἑστώς. ebend. nach dems. ἐξειργάσατο für ἐξειργάζετο. ebend. mit Bekker γινομένων für γινομένων ἐκείνων. — 18 ἀπολιμπάνοις für ἀπολιμπάνεις. — 20 habe ich σοῦ und αὐτῶν auf handschriftliche Auctorität hin eingeklammert. ebend. ἤ ὅ τι μάλ. χαίρεις für καὶ εἴ τι μάλ. χαίροις. — 22 αὐτῶν nach οὐσίας hat Bekker getilgt. — 24 für τοῖς μὲν ἔξω πᾶσιν möchte ich lieber τὰ μὲν ἔξω πᾶσιν schreiben. ebend. οὐ πάνυ τι für οὐ πάντῃ. — 25 habe ich ἔοικεν ὄντως nach Guyet's Aenderung beibehalten; weder Bekker's ἔοικέ σοι noch Fritzsches ἔοικέ σου möchte ich billigen. — 28 nach ἐξαίρετον ἔδωκέ μοι ändert Hr. Fritzche den Text also: ἥν τινι τῶν οὐραίων πτερῶν τὸ μήκιστον, ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστι (δύο δ' ἔστι μοι τοιαῦτα), τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω καὶ ἔχειν. Eine in ihrer Art wahrhaft unübertreffliche Besserung! Derartige Abenteuerlichkeiten finden sich sonst noch viele vor. Jedoch darüber an einem andern Orte. — 29 ἀναπέπταται nach Lehmann für ἀναπεπέτασται. ebend. ἄριστον οὖν nach Fritzsche für ἄριστον γοῦν. ebend. περιελεύσομαι für περίειμι. ebend. ὁρῶ σε, τοιχωρύχε mit Bekker für ὁρῶ σέ γε, ὦ τοιχωρύχε. — 31 ὑπὸ φροντίδων nach Solan. für ἐπὶ φροντίδων. ebend. τοὺς τόκους τοῖς δακτύλοις καὶ ἤδη κατεσκληκότα mit Fritzsche für τοὺς τόκους καὶ τοὺς δακτύλους ἤδη κατεσκληκότα. — 33 πλοῦτος ἔστω nach Solan. für πλοῦτός ἐστι.

AUSGEWÄHLTE

SCHRIFTEN DES LUCIAN.

FÜR DEN SCHULGEBRAUCH

ERKLÄRT

VON

DR. KARL JAKOBITZ.

DRITTES BÄNDCHEN:


DEMONAX, DER FISCHER, ANACHARSIS.



LEIPZIG,

DRUCK UND VERLAG VON B. G. TEUBNER.

1865.



ἐστιν, ἐξαναστὰς ἕπου μοι· ἀπάξω γάρ σε παρ' αὐτὸν ἐκεῖνον τὸν Σίμωνα καὶ ἐς τὰς τῶν ἄλλων πλουσίων οἰκίας, ὡς ἴδῃς οἷα τὰ παρ' αὐτοῖς ἐστι.

ΜΙΚ. Πῶς τοῦτο κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ τοιχωρυχεῖν γε σύ με ἀναγκάσεις.

ΑΛΕΚ. Οὐδαμῶς, ἀλλ' ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, τοῦτο ἐξαίρετον ἔδωκέ μοι, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον, ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστί μοι .....

ΜΙΚ. Δύο δ' ἔστι σοι τοιαῦτα.

ΑΛΕΚ. Τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω καὶ ἔχῃ, ἐς ὅσον ἂν βούλωμαι ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται καὶ ὁρᾶν ἅπαντα οὐχ ὁρώμενος αὐτός.

ΜΙΚ. Ἐλελήθεις με, ὦ ἀλεκτρυών, καὶ σὺ γόης ὤν. ἐμοὶ δ' οὖν ἢν τοῦτο ἅπαξ παράσχῃς, ὄψει τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα· μετοίσω γὰρ αὐτὰ παρεσελθών· ὁ δὲ αὖθις περιτρώξεται ἀποτείνων τὰ καττύματα.

ΑΛΕΚ. Οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς, ἤν τινα τοιοῦτον ἐργάζηται ὁ ἔχων τὸ πτερόν, ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν.

ΜΙΚ. Ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν ὄντα τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. ἀπίωμεν δ' ὅμως· ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι.

ΑΛΕΚ. Ἀπότιλον, ὦ Μικύλε, πρότερον τὸ πτίλον .... τί τοῦτο; ἄμφω ἀπέτιλας.

ΜΙΚ. Ἀσφαλέστερον οὕτως, ὦ ἀλεκτρυών, καὶ σοὶ ἧττον ἂν ἄμορφον τὸ πρᾶγμα εἴη, ὡς μὴ χωλεύοις διὰ θάτερον τῆς οὐρᾶς μέρος.

19, 199: ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. — τῶν ἄλλων, der andern, die wir kennen; daher der Artikel. — τὸ οὐρ. πτερὸν τὸ μήκ. „Wie absurd diese Wundergabe der längsten Schwanzfeder unsers Hahns auch sein mag, so war sie es doch nicht mehr als tausend Wunderdinge, womit sich damals die Secten-Philosophen schon zu tragen pflegten. Luc. mokirt sich in mehrern seiner Stücke dadurch über diese Teratologen, dass er es ihnen in ihrer eigenen Manier zuvorthut.“ Wiel. — ἐστί μοι. Mikylos unterbricht hier die Worte des Hahns, um sie zu berichtigen, wie das oft im lebhaften Gespräch der Fall ist. — καὶ ἔχῃ, d. i. καὶ ὅστις ἂν ἔχῃ, s. oben zu Todtengespr. 2, 1. — ἐς ὅσον, auf wie lange, so lange als. — καὶ σύ, auch du, wie so mancher Andere. — τοῦτο, näml. τὸ πτερόν. — ἀποτείνων τὰ κατт. Martial. 9, 74 von einem Schuster: *dentibus antiquas solitus producere pelles.* (Gesn.) — ἤν τινα τοιοῦτον ἐργ., s. zu Todtengespr. 7, 2. — κλέπτην τὸν Ἑρμῆν, s. oben Göttergespr. 6. Prometh. 5.

Strebens ist. An diese ganz allgemeine Charakteristik schliessen sich dann von Kap. 12 an Belege für diese Schilderung und anekdotenartige Züge aus seinem Leben und Verkehr mit seinen Mitmenschen. Am Schluss endlich gibt Lucian eine kurze Beschreibung der Achtung und Verehrung, die der Philosoph bei den Athenäern genossen, insbesondere gegen das Ende seines Lebens, seiner Seelenruhe, mit der er freiwillig aus dem Leben schied, und der Ehrenbezeigungen, die ihm bei seiner öffentlichen Bestattung, selbst von Seiten der Philosophen, die jetzt seinen wahren Werth erkennen mochten, zu Theil wurden.

Ob die Schrift wirklich den Lucian zum Verfasser habe, ist eine Frage, die hier zu erörtern nicht gerade am Orte ist. Soviel indessen lässt sich wol mit Sicherheit behaupten, dass die Gründe gegen die Autorschaft des Lucian nicht eben von grossem Belang sein werden; denn bis jetzt sind noch keine vorgebracht worden. Jedenfalls ist sie des Lucian nicht unwürdig, wenn sie auch nicht eben zu seinen vorzüglichsten Geistesprodukten gehört. Die Sprache endlich ist ja ganz die des Lucian.

Diejenigen Stellen, welche für junge Leute minder passend erschienen, sind, wie aus den Kapitelzahlen hervorgeht, weggelassen worden.

VIII.

ΔΗΜΩΝΑΚΤΟΣ ΒΙΟΣ.

Ἔμελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος τὸ παντάπασιν ἄμοιρος ἔσεσθαι ἀνδρῶν λόγου καὶ μνήμης ἀξίων, ἀλλὰ καὶ σώματος ἀρετὴν ὑπερφυᾶ καὶ γνώμην ἄκρως φιλόσοφον ἐκφαίνειν· λέγω δὲ εἴς τε τὸν Βοιώτιον Σώστρατον ἀναφέρων, ὃν Ἡρακλέα οἱ Ἕλληνες ἐκάλουν καὶ ᾤοντο εἶναι, καὶ μάλιστα εἰς Δημώνακτα τὸν φιλόσοφον, οὓς καὶ εἶδον αὐτὸς καὶ ἰδὼν ἐθαύμασα, θατέρῳ δέ, τῷ Δημώνακτι, καὶ ἐπὶ μήκιστον συνεγενόμην. περὶ μὲν οὖν Σωστράτου ἐν ἄλλῳ βιβλίῳ γέγραπταί μοι καὶ δεδήλωται μέγεθός τε αὐτοῦ καὶ ἰσχύος ὑπερβολὴ καὶ ἡ ὕπαιθρος ἐν τῷ Παρνασσῷ δίαιτα καὶ ἡ ἐπὶ πόας εὐνὴ καὶ τροφαὶ ὄρειοι καὶ ἔργα οὐκ ἀπῳδὰ τοῦ ὀνόματος καὶ ὅσα ἢ λῃστὰς αἴρων ἔπραξεν ἢ ὁδοποιῶν τὰ ἄβατα ἢ γεφυρῶν τὰ δύσπορα. 1

Περὶ δὲ Δημώνακτος ἤδη δίκαιον λέγειν ἀμφοῖν ἕνεκα, ὡς ἐκεῖνός τε διὰ μνήμης εἴη τοῖς ἀρίστοις τό γε κατ' ἐμὲ 2

1. Ἔμελλεν .. ἔσεσθαι .. ἐκφαίνειν, es sollte u. s. w.; Kr. Gr. §. 53, 8, 3. — ἄρα, ebenso wir: also, somit, in Bezug auf einen aus dem Zusammenhange zu ergänzenden Satz. — ὁ καθ' ἡμᾶς βίος, *nostra aetas*. Unten c. 2 ὁ ἡμέτερος βίος. — τὸ παντάπασιν, wie τὸ παράπαν, τὸ ξύμπαν u. a., aber selten. — Auf wen bezieht sich σώματος ἀρετὴ ὑπερφυής und auf wen γνώμη ἄκρως φιλόσοφος? — ἀναφέρων, *respiciens*. Alexand. 2: ἕξομεν καὶ αὐτοὶ εἰς παράδειγμά τι τοιοῦτον ἀνενεγκεῖν. — ἐπὶ μήκιστον, auf sehr lange Zeit, sehr lange. Erst bei Späteren, wie Alciphron, vorkommende Formel. Anachars. 26. — ἐν ἄλλῳ βιβλίῳ. Diese Schrift ist nicht mehr vorhanden. — ὕπαιθρος, spätere Form für ὑπαίθριος. — ἡ ἐπὶ πόας εὐνή, d. i. *humi dormitiones*. Vgl. Necyom. 7: εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. — τοῦ ὀνόματος, näml. Ἡρακλέους. — αἴρων. Gewöhnlicher wäre καθαίρων [wie Dindorf stillschweigend nach Cobet geschrieben]. — γεφυρῶν τὰ δύσπορα, *pontibus iungens loca traiectu difficilia*.

2. ἀμφοῖν ἕνεκα, aus zwei Gründen. — διὰ μνήμης εἴη, *in memoria versari*. Aehnlich διὰ μνήμης ἔχειν Catapl. 9. Ebenso διὰ στόματος ἦν ἅπασιν De morte Peregr. 18. Pro laps. in sal. 6. Kr. Gr. §. 68, 22, 2. Ueber den Optativ s. zu I, 4. — τό γε κατ' ἐμέ, soviel wenigstens auf

καὶ οἱ γενναιότατοι τῶν νέων καὶ πρὸς φιλοσοφίαν ὁρῶντες ἔχοιεν μὴ πρὸς τὰ ἀρχαῖα μόνα τῶν παραδειγμάτων σφᾶς αὐτοὺς ῥυθμίζειν, ἀλλὰ κἀκ τοῦ ἡμετέρου βίου κανόνα προτίθεσθαι καὶ ζηλοῦν ἐκεῖνον, ἄριστον ὧν οἶδα ἐγὼ φιλοσό-
3 *φων γενόμενον. ἦν δὲ τὸ μὲν γένος Κύπριος, οὐ τῶν ἀφανῶν, ὅσα εἰς ἀξίωμα πολιτικὸν καὶ κτῆσιν. οὐ μὴν ἀλλὰ καὶ πάντων τούτων ὑπεράνω γενόμενος καὶ ἀξιώσας ἑαυτὸν τῶν καλλίστων πρὸς φιλοσοφίαν ὥρμησεν οὐκ Ἀγαθοβούλου μὰ Δί' οὐδὲ Δημητρίου πρὸ αὐτοῦ οὐδὲ Ἐπικτήτου ἐπεγειράντων, ἀλλὰ πᾶσι μὲν συνεγένετο τούτοις καὶ ἔτι Τιμοκράτει τῷ Ἡρακλεώτῃ, σοφῷ ἀνδρί, φωνήν τε καὶ γνώμην μάλιστα κεκοσμημένῳ· ἀλλ' ὁ γὰρ Δημῶναξ οὐχ ὑπὸ τούτων τινός, ὡς ἔφην, παρακληθείς, ἀλλ' οἰκείας πρὸς τὰ καλὰ ὁρμῆς καὶ ἐμφύτου πρὸς φιλοσοφίαν ἔρωτος ἐκ παίδων εὐθὺς κεκινημένος ὑπερεῖδε μὲν τῶν ἀνθρωπείων ἀγαθῶν ἁπάντων, ὅλον δὲ παραδοὺς ἑαυτὸν ἐλευθερίᾳ καὶ παρρησίᾳ διετέλεσεν αὐτός τε ὀρθῷ καὶ ὑγιεῖ καὶ ἀνεπιλήπτῳ βίῳ χρώμενος καὶ τοῖς ὁρῶσι καὶ ἀκούουσι παράδειγμα παρέχων τὴν ἑαυτοῦ*

mich ankommt. Kr. Gr. §. 68, 25, 3. — *πρὸς φιλοσ. ὁρῶντες*, so *spectare ad*, z. B. Cic. Vat. X: *ipse ad imperatorias laudes a puero spectaras.* Seyffert. De merc. cond. 24: *πρὸς ἐλευθερίαν ὁρᾶν.* — *πρὸς τὰ .. σφ. αὐτ. ῥυθμίζειν*, *sese conformare ad.* Ebenso Piscat. 30. Vgl. Anach. 22.

3. *οὐ τῶν ἀφανῶν*, Genetivus partitivus. Adv. Indoct. 8: *Ταραντῖνος Εὐάγγελος τῶν οὐκ ἀφανῶν.* Toxar. 45: *ἠπίστατο πένητα τὸν Ἀρσακόμαν καὶ Σκυθῶν τῶν πολλῶν.* Kr. Gr. §. 47, 9, 2. — *ὅσα εἰς*, was anbelangt. Gewöhnlicher *ὅσον ἐπί τινι.* — *οὐ μὴν ἀλλά*, indessen, *verumtamen, verum enim vero*, wie oft. — *πάντων τούτων*, worauf zu beziehen? — *ὑπεράνω γενόμενος*, behielt die Oberhand, spätere Ausdrucksweise. — *Ἀγαθοβούλου κτέ.* Die hier Erwähnten sind namhafte Philosophen der damaligen Zeit. Unter Demetrius ist offenbar der aus Sunium zu verstehen, welchen Lucian auch anderwärts erwähnt. Dieser war ein Kyniker, der in hoher Achtung stand, und unter Nero, Vespasian, Titus und Domitian lebte. Epictetus ist der bekannte Stoiker, geboren zu Hierapolis in Phrygien, der später in Rom lebte, bis er 94 n. Chr. unter Domitian mit den andern Philosophen vertrieben wurde. — Timocrates aus Heraclea am Pontus war Epikureer. — *ἀλλὰ γάρ*, *at enim, sed enim*, s. zu VI, 14, 6. *ἀλλὰ* steht in verstärkter Form im Gegensatz zum vorhergehenden *μέν*. Uebrigens beachte die Anakoluthie. — *ἀλλ' οἰκείας.* Ergänze hierbei aus dem Vorherg. *ὑπό*. Nach *ἀλλά, ἤ, ὡς, ὥσπερ* u. anderen Partikeln wird die Praeposition bisweilen ausgelassen. Demosth. 1, 5: *νῦν οὐ περὶ δόξης οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως κτέ.* Kr. Gr. §. 68, 9. Indessen ist diese Stelle von der angeführten u. a. insofern verschieden, dass das zweite Satzglied sein besonderes Verbum (*κεκινημένος*) hat. — *ἐκ παίδων*, von Jugend auf. — *διετέλεσεν .. χρώμενος .. παρέχων*, Kr. Gr. §. 56, 5, 3.

γνώμην καὶ τὴν ἐν τῷ φιλοσοφεῖν ἀλήθειαν. οὐ μὴν ἀνί- 4
πτοις γε ποσί, τὸ τοῦ λόγου, πρὸς ταῦτα ἧξεν, ἀλλὰ καὶ ποιη-
ταῖς σύντροφος ἐγένετο καὶ τῶν πλείστων ἐμέμνητο καὶ
λέγειν ἤσκητο καὶ τὰς ἐν φιλοσοφίᾳ προαιρέσεις οὐκ ἐπ' ὀλί-
γον, οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος
ἠπίστατο, καὶ τὸ σῶμα δὲ ἐγεγύμναστο καὶ πρὸς καρτερίαν
διεπεπόνητο, καὶ τὸ ὅλον ἐμεμελήκει αὐτῷ μηδενὸς ἄλλου
προσδεᾶ εἶναι· ὥστε ἐπεὶ καὶ ἔμαθεν οὐκέτι ἑαυτῷ διαρκῶν,
ἑκὼν ἀπῆλθε τοῦ βίου, πολὺν ὑπὲρ αὐτοῦ λόγον τοῖς ἀρίστοις
τῶν Ἑλλήνων καταλιπών. φιλοσοφίας δὲ εἶδος οὐχ ἓν ἀπο- 5
τεμόμενος, ἀλλὰ πολλὰ ἐς ταὐτὸ καταμίξας οὐ πάνυ τι ἐξέ-
φαινε, τίνι αὐτῶν ἔχαιρεν. ἐῴκει δὲ τῷ Σωκράτει μᾶλλον
ᾠκειῶσθαι, εἰ καὶ τῷ σχήματι καὶ τῇ τοῦ βίου ῥᾳστώνῃ τὸν
Σινωπέα ζηλοῦν ἔδοξεν, οὐ παραχαράττων τὰ εἰς τὴν δίαι-
ταν, ὡς θαυμάζοιτο καὶ ἀποβλέποιτο ὑπὸ τῶν ἐντυγχανόν-
των, ἀλλ' ὁμοδίαιτος ἅπασιν ὢν καὶ πεζὸς καὶ οὐδ' ἐπ' ὀλί-
γον τύφῳ κάτοχος συνῆν καὶ ξυνεπολιτεύετο, τὴν μὲν τοῦ Σω- 6
κράτους εἰρωνείαν οὐ προσιέμενος, χάριτος δὲ Ἀττικῆς μεστὰς
ἀποφαίνων τὰς συνουσίας, ὡς τοὺς προσομιλήσαντας ἀπιέναι
μήτε καταφρονήσαντας ὡς ἀγεννοῦς μήτε τὸ σκυθρωπὸν τῶν
ἐπιτιμήσεων ἀποφυγόντας, παντοίους δὲ ὑπ' εὐφροσύνης
γενομένους καὶ κοσμιωτέρους παρὰ πολὺ καὶ φαιδροτέρους

4. *οὐ μὴν .. γε*, doch wenigstens nicht, häufig bei Lucian. — *ἀνίπτοις ποσί*, wir: mit ungewaschenen Händen, d. i. ohne gehörige Vorbereitung. Rhet. praec. 14. Pseudol. 4. — *τὸ τοῦ λόγου*, s. zu III, 9. Unten c. 10: *τὸ κωμικὸν ἐκεῖνο*. — *ἐμέμνητο*, *memoria tenebat*, wusste auswendig. — *τὰς ἐν φιλοσ. προαιρέσεις*, die philosophischen Systeme. — *οὐκ ἐπ' ὀλίγον*, nicht auf ein Weniges hin, *non leviter*. Ebenso Bacch. 2. — *ἄκρῳ τῷ δακτύλῳ*, mit den Fingerspitzen, d. i. oberflächlich. Ueber die prädicative Stellung des Adjectivs s. Kr. Gr. §. 50, 11, 5. — *καὶ τὸ σ. δέ*, s. zu II, 33. — *καὶ τὸ ὅλον*, *denique*, kurz; s. zu IV, 2. — *μηδενὸς ἄλλου*. Welches Genus? — *ἔμαθεν .. διαρκῶν*, s. zu V, 10, 5. 14, 6. Unten 58 (65): *συνῆκεν οὐκέθ' οἷός τε ὤν*.

5. *πολλὰ .. καταμίξας*. Er war also Eklektiker. — *οὐ πάνυ τι*, s. zu II, 2. — *ᾠκειῶσθαι*, sich angeschlossen zu haben. — *τὸν Σινωπέα*, Diogenes, der Kyniker, der aber die Entäusserung alles zum Leben Entbehrlichen zu weit trieb und dadurch der gewöhnlichen Lebensweise gleichsam ein verfälschtes Gepräge gab (*παραχαράττων*, *adulterare*). Seyffert. — *ἀποβλέποιτο*, s. zu I, 11. — *ἅπασιν* gehört sowohl zu *ὁμοδίαιτος*, als auch zu *συνῆν* und *ξυνεπολ.* — *πεζός*, in tropischer Bedeutung, Gegensatz von *τύφῳ κάτοχος*. — *συνῆν καὶ ξυνεπολ.* Ersteres bezieht sich auf das Privatleben, letzteres auf den öffentlichen Verkehr.

6. *τὰς συνουσίας*, die Gespräche, Unterhaltungen, *sermones*. — *ἀγεννοῦς* bezieht sich auf die Kyniker. — *παντοίους ὑπ' εὐφρ. γεν.*, s. zu V, 21, 1. — *παρὰ πολύ*, um vieles, bei weitem.

7 καὶ πρὸς τὸ μέλλον εὐέλπιδας. οὐδεπώποτε γοῦν ὤφθη κεκραγὼς ἢ ὑπερδιατεινόμενος ἢ ἀγανακτῶν, οὐδ' εἰ ἐπιτιμᾶν τῳ δέοι, ἀλλὰ τῶν μὲν ἁμαρτημάτων καθήπτετο, τοῖς δὲ ἁμαρτάνουσι συνεγίγνωσκε, καὶ τὸ παράδειγμα παρὰ τῶν ἰατρῶν ἠξίου λαμβάνειν, τὰ μὲν νοσήματα ἰωμένων, ὀργῇ δὲ πρὸς τοὺς νοσοῦντας οὐ χρωμένων· ἡγεῖτο γὰρ ἀνθρώπου μὲν εἶναι τὸ ἁμαρτάνειν, θεοῦ δὲ ἢ ἀνδρὸς ἰσοθέου τὰ πται-
8 σθέντα ἐπανορθοῦν. τοιούτῳ δὴ βίῳ χρώμενος εἰς ἑαυτὸν μὲν οὐδενὸς ἐδεῖτο, φίλοις δὲ συνέπραττε τὰ εἰκότα, καὶ τοὺς μὲν εὐτυχεῖν δοκοῦντας αὐτῶν ὑπεμίμνησκεν ὡς ἐπ' ὀλιγοχρονίοις τοῖς δοκοῦσιν ἀγαθοῖς ἐπαιρομένους, τοὺς δὲ ἢ πενίαν ὀδυρομένους ἢ φυγὴν δυσχεραίνοντας ἢ γῆρας ἢ νόσον αἰτιωμένους σὺν γέλωτι παρεμυθεῖτο, οὐχ ὁρῶντας ὅτι μετὰ μικρὸν αὐτοῖς παύσεται μὲν τὰ ἀνιῶντα, λήθη δέ τις ἀγαθῶν καὶ κακῶν καὶ ἐλευθερία μακρὰ πάντας ἐν ὀλίγῳ
9 καταλήψεται. ἔμελε δὲ αὐτῷ καὶ ἀδελφοὺς στασιάζοντας διαλλάττειν καὶ γυναιξὶ πρὸς τοὺς γεγαμηκότας εἰρήνην πρυτανεύειν· καί που καὶ δήμοις ταραττομένοις ἐμμελῶς διελέχθη καὶ τοὺς πλείστους αὐτῶν ἔπεισεν ὑπουργεῖν τῇ πατρίδι τὰ μέτρια. τοιοῦτός τις ἦν ὁ τρόπος τῆς φιλοσοφίας
10 αὐτοῦ, πρᾶος καὶ ἥμερος καὶ φαιδρός. μόνον αὐτὸν ἠνία φίλου νόσος ἢ θάνατος, ὡς ἂν καὶ τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν τὴν φιλίαν ἡγούμενον· καὶ διὰ τοῦτο φίλος μὲν ἦν ἅπασι καὶ οὐκ ἔστιν ὅντινα οὐκ οἰκεῖον ἐνόμιζεν, ἄνθρωπόν γε ὄντα. πλέον δὲ ἢ ἔλαττον ἔχαιρε συνὼν ἐνίοις αὐτῶν, μόνοις ἐξιστάμενος, ὁπόσοι ἂν ἐδόκουν αὐτῷ ὑπὲρ

7. ὑπερδιατεινόμενος, seine Stimme übermässig anstrengen. So oft διατείνεσθαι und ὑπερδ. bei Luc. — τὰ πταισθέντα, die Irrungen, Fehler.

8. οὐδενός ist Neutrum, im Gegensatz von συνέπρ. τὰ εἰκότα (das Gebührende). — ὡς .. ἐπαιρομένους = ὡς ὀλιγοχρόνιά ἐστι τὰ δοκοῦντα ἀγαθά, ἐφ' οἷς ἐπαίρονται. Vgl. Kr. Gr. §. 56, 12, 2. — φυγήν, Verbannung.

9. πρυτανεύειν, vermitteln; s. unser Wörterbuch. — καί που καί, ja wohl auch, oft bei Luc. — ὑπουργεῖν τὰ μέτρια, d. i. ihre Pflichten erfüllen. — τοιοῦτός τις, *talis fere;* Kr. Gr. §. 51, 16, 3. Vgl. Anach. 35.

10. ὡς ἂν .. ἡγούμενον, da er hielt; s. zu IV, 1. ὡς ἄν mit folg. Particip. ist bei Luc. sehr häufig. Lapith. 23: ἐγὼ δὲ ὡς ἂν μόνον τὸ καλὸν ἀγαθὸν ἡγούμενος εἶναι, οἴσω ῥᾳδίως τὴν ἀτιμίαν. — τὸ μέγιστον, Kr. Gr. §. 50, 4, 14. — οὐκ ἔστιν ὅντινα οὐκ, *neminem non;* Kr. Gr. §. 61, 5, 2. Vgl. unten 60 (67) u. s. — πλέον κτἑ. d. i. allein mit einigen von ihnen ging er mehr, mit den andern weniger gern um. — ἐξιστάμενος, aus dem Wege gehend. Saturn. 7: ἐξέστην οὖν εὖ ποιῶν τῷ Διί. Vollständig Rhet. praec. 26: ἐκστήσομαι τῆς ὁδοῦ ὑμῖν. — ὁπόσοι ἂν ἐδόκουν. ἄν

AUSGEWÄHLTE

SCHRIFTEN DES LUCIAN.

FÜR DEN SCHULGEBRAUCH

ERKLÄRT

VON

DR. KARL JAKOBITZ.

DRITTES BÄNDCHEN:

DEMONAX, DER FISCHER, ANACHARSIS.



LEIPZIG,

DRUCK UND VERLAG VON B. G. TEUBNER.

1865.

μυστηρίων, ταύτην ἔφη ἔχειν αἰτίαν τοῦ μὴ κοινωνῆσαι σφίσι τῆς τελετῆς, ὅτι, ἄν τε φαῦλα ᾖ τὰ μυστήρια, οὐ σιωπήσεται πρὸς τοὺς μηδέπω μεμυημένους, ἀλλ' ἀποτρέψει αὐτοὺς τῶν ὀργίων, ἄν τε καλά, πᾶσιν αὐτὰ ἐξαγορεύσειν ὑπὸ φιλανθρωπίας· ὥστε τοὺς Ἀθηναίους ἤδη λίθους ἐπ' αὐτὸν ἐν ταῖν χεροῖν ἔχοντας, πράους αὐτῷ καὶ ἵλεως γενέσθαι αὐτίκα καὶ τὸ ἀπ' ἐκείνου ἀρξαμένους τιμᾶν καὶ αἰδεῖσθαι καὶ τὰ τελευταῖα θαυμάζειν· καίτοι εὐθὺς ἐν ἀρχῇ τῶν πρὸς αὐτοὺς λόγων τραχυτέρῳ ἐχρήσατο τῷ προοιμίῳ· Ἄνδρες γάρ ἔφη Ἀθηναῖοι, ἐμὲ μὲν ὁρῶντες ἐστεφανωμένον ὑμεῖς ἤδη κἀμὲ καταθύσατε· τὸ γὰρ πρότερον οὐκ ἐκαλλιερήσατε.

12 *Βούλομαι δὲ ἔνια παραθέσθαι τῶν εὐστόχως τε ἅμα καὶ ἀστείως ὑπ' αὐτοῦ λελεγμένων· ἄρξασθαι δὲ ἀπὸ Φαβωρίνου καλὸν καὶ ὧν πρὸς ἐκεῖνον εἶπεν. ἐπεὶ γὰρ ὁ Φαβωρῖνος ἀκούσας τινός, ὡς ἐν γέλωτι ποιοῖτο τὰς ὁμιλίας αὐτοῦ καὶ μάλιστα τῶν ἐν αὐταῖς μελῶν τὸ ἐπικεκλασμένον σφόδρα ὡς ἀγεννὲς καὶ γυναικεῖον καὶ φιλοσοφίᾳ ἥκιστα πρέπον, προσελθὼν ἠρώτα τὸν Δημώνακτα, τίς ὢν χλευάζοι τὰ αὐτοῦ·*

13 *Ἄνθρωπος, ἔφη, οὐκ εὐαπάτητα ἔχων τὰ ὦτα. ἄλλοτε δέ ποτε ὁ αὐτὸς προσελθὼν ἠρώτα τὸν Δημώνακτα, τίνα αἵρεσιν ἀσπάζεται μᾶλλον ἐν φιλοσοφίᾳ· ὁ δέ, Τίς γάρ σοι εἶπεν ὅτι φιλοσοφῶ; καὶ ἀπιὼν ἤδη παρ' αὐτοῦ μάλα ἡδὺ ἐγέλασε· τοῦ δὲ ἐρωτήσαντος, ἐφ' ὅτῳ γελᾷ, ἐκεῖνος ἔφη, Γελοῖόν μοι εἶναι ἔδοξεν, εἰ σὺ ἀπὸ τοῦ πώγωνος ἀξιοῖς κρίνεσθαι τοὺς*

langt. — *ἄν τε . . ἄν τε*, *sive . . sive*, wie unten 52. — *ἐξαγορεύσειν*, Uebergang zur *orat. obliqua*, der nicht selten ist. Demosth. de cor. 185: *εἰδώς, ὅτι αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν . . καλόν* (näml. *ἐστι*), *ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι . . ἀνάξιον εἶναι*. Diod. Sic. 15, 51: *ἀποκριναμένων δὲ τῶν Θηβαίων ὡς οὔτ' αὐτοὶ πολυπραγμονοῦσι . . οὔτ' ἐκείνους ἅπτεσθαι προσήκειν τῆς Βοιωτίας*. Vgl. Kr. Gr. §. 55, 4, 10. Folgt doch bei Luc. nicht selten gleich nach *ὡς, ὅτι* der Infinitiv. — *ταῖν χεροῖν*, s. zu I, 6. — *τὸ ἀπ' ἐκείνου*, von jener Zeit an; s. zu IV, 7. — *ἐμὲ μέν*. Demonax setzt sich mit *μέν* dem Sokrates entgegen, auf den sich der folgende Satz *τὸ γὰρ πρότερον κτλ.* bezieht. Seyffert. — *οὐκ ἐκαλλ.*, weil Sokrates als Opfer hätte bekränzt sein müssen.

12. *Φαβωρίνου*. Dieser, ein Freund des Plutarch, war ein bedeutender Sophist und Philosoph jener Zeit. — *ἐν γέλωτι ποιοῖτο*, in's Lächerliche ziehen. Ebenso De conscr. hist. 32. Navig. 15. Vgl. *ἐν παιδιᾷ ποιεῖσθαι* Toxar. 22. *ἐν γέλωτι καὶ παιδιᾷ τίθεσθαι* Alexand. 25. — *τῶν ἐν αὐτ. μελῶν*. Phavorinus staffirte seine Vorträge mit Versen aus, die weich und rührend waren (*ἐπικεκλασμένον*).

13. *αὐτὸς πώγ. οὐκ ἔχων*, Zeichen der Weichlichkeit des Phavorinus.

φιλοσοφοῦντας, αὐτὸς πώγωνα οὐκ ἔχων. τοῦ δὲ Σιδωνίου 14 *ποτὲ σοφιστοῦ Ἀθήνησιν εὐδοκιμοῦντος καὶ λέγοντος ὑπὲρ αὑτοῦ ἔπαινόν τινα τοιοῦτον, ὅτι πάσης φιλοσοφίας πεπείραται — οὐ χεῖρον δὲ αὐτὰ εἰπεῖν ἃ ἔλεγεν· Ἐὰν Ἀριστοτέλης με καλῇ, ἐπὶ τὸ Λύκειον ἕψομαι· ἂν Πλάτων, ἐπὶ τὴν Ἀκαδήμειαν ἀφίξομαι· ἂν Ζήνων, ἐν τῇ Ποικίλῃ διατρίψω· ἂν Πυθαγόρας καλῇ, σιωπήσομαι· ἀναστὰς οὖν ἐκ μέσων τῶν ἀκροωμένων, Οὗτος, ἔφη προσειπὼν τὸ ὄνομα, καλεῖ σε Πυθαγόρας. ἐπεὶ δέ τις ἀθλητὴς καταγελασθεὶς ὑπ' αὐτοῦ,* 15 (16) *ὅτι ἐσθῆτα ὤφθη ἀνθινὴν ἀμπεχόμενος Ὀλυμπιονίκης ὤν, ἐπάταξεν αὐτὸν εἰς τὴν κεφαλὴν λίθῳ καὶ αἷμα ἐρρύη, οἱ μὲν παρόντες ἠγανάκτουν ὡς αὐτὸς ἕκαστος τετυπτημένος καὶ ἐβόων ἐπὶ τὸν ἀνθύπατον ἰέναι, ὁ δὲ Δημῶναξ, Μηδαμῶς, ἔφη, ὦ ἄνδρες, πρὸς τὸν ἀνθύπατον, ἀλλ' ἐπὶ τὸν ἰατρόν. τῶν δὲ ἀπὸ τῆς Ῥωμαίων βουλῆς τις Ἀθήνησιν υἱὸν* 16 (18) *αὐτῷ δείξας πάνυ ὡραῖον, θηλυδρίαν δὲ καὶ διακεκλασμένον, Προσαγορεύει σε, ἔφη, ὁ ἐμὸς υἱὸς οὑτοσί, καὶ ὁ Δημῶναξ, Καλός, ἔφη, καὶ σοῦ ἄξιος καὶ τῇ μητρὶ ὅμοιος. τὸν δὲ* 17 (19) *Κυνικὸν ἐν ἄρκτου δέρματι φιλοσοφοῦντα οὐχ Ὁνωρᾶτον,*

14. *οὐ χεῖρον δέ*, doch ist es besser, *non abs re fuerit*, oft bei Luc. vorkommende Formel. Kr. Gr. §. 49, 6, 2. Mit diesen Worten wird die Construction unterbrochen, wie unten c. 44. — *τὸ Λύκειον*, s. zu V, 1, 1. — *Ἀκαδήμειαν*, ein öffentlicher, anfangs dem Heros Akademos geweihter Platz am Kephissos, sechs bis sieben Stadien west-nordwestlich von Athen, mit einem Gymnasium, wo Platon lehrte. — *τῇ Ποικίλῃ*, näml. *στοᾷ*, jene berühmte Halle in Athen mit den Wandgemälden des Polygnotos, in welcher Zenon, der Stifter der stoischen Schule, lehrte. — *σιωπήσομαι*. Den Schülern des Pythagoras war ein Stillschweigen von fünf Jahren auferlegt; vgl. Vit. auct. 3: *ἀφωνίη καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν*. Hermotim. 48. Uebrigens will der Sophist mit diesen und den vorhergehenden Worten zu erkennen geben, dass er alle philosophischen Schulen kenne. — *οὖν*. Mit dieser Partikel wird die durch die Parenthese unterbrochene Rede wieder aufgenommen; s. zu III, 12. — *οὗτος*, *heus tu!* mein Lieber. Pathetischer ist *ὦ οὗτος*, s. Kr. Gr. §. 51, 7, 8.

15. *ἐσθῆτα ἀνθινήν*. Bunte, mit Blumen durchwebte Kleider trugen die Sieger in den öffentlichen Spielen als Zeichen der Siegesfreude; sonst waren sie bei Männern ungeziemend. Seyffert. — *τετυπτημένος*, spätere Form für die att. *πεπληγμένος*. — *ἐπὶ τὸν ἀνθύπατον*. Für *ἐπί* sollte man *πρός* erwarten. Im Folgenden steht richtig *ἐπὶ τὸν ἰατρόν*, d. i. nach dem Arzte, um ihn zu holen. Kr. Gr. §. 68, 42, 2. Indessen findet sich bisweilen auch *ἐπί* für *πρός* gebraucht. — *ἰέναι*, man solle gehen.

16. *τῶν ἀπὸ τῆς Ῥ. βουλῆς τις*, d. i. ein römischer Senator, wie *οἱ ἀπὸ τῆς στοᾶς, τοῦ περιπάτου* u. A. Kr. Gr. §. 68, 16, 5. — *θηλυδρίαν*, weibisch, kommt bei Attikern nicht vor. — *διακεκλασμένον*, verweichlicht, nur an dieser Stelle.

18 ὥσπερ ὠνομάζετο, ἀλλ' Ἀρκεσίλαον καλεῖν ἠξίου. ἐρωτή-
(20) σαντος δέ τινος, τίς αὐτῷ ὅρος εὐδαιμονίας εἶναι δοκεῖ, Μόνον εὐδαίμονα ἔφη τὸν ἐλεύθερον· ἐκείνου δὲ φήσαντος πολλοὺς ἐλευθέρους εἶναι, Ἀλλ' ἐκεῖνον νομίζω τὸν μήτε ἐλπίζοντά τι μήτε δεδιότα· ὁ δέ, Καὶ πῶς ἄν, ἔφη, τοῦτό τις δύναιτο; ἅπαντες γὰρ ὡς τὸ πολὺ τούτοις δεδουλώμεθα. Καὶ μήν, ἔφη, εἰ κατανοήσεις τὰ τῶν ἀνθρώπων πράγματα, εὕροις ἂν αὐτὰ οὔτ' ἐλπίδος οὔτε φόβου ἄξια, πανσομένων
19 πάντως καὶ τῶν ἀνιαρῶν καὶ τῶν ἡδέων. Περεγρίνου δὲ τοῦ
(21) Πρωτέως ἐπιτιμῶντος αὐτῷ, ὅτι ἐγέλα τὰ πολλὰ καὶ τοῖς ἀνθρώποις προσέπαιζε, καὶ λέγοντος, Δημῶναξ, οὐ κυνᾷς,
20 ἀπεκρίνατο, Περεγρῖνε, οὐκ ἀνθρωπίζεις. καὶ μὴν καὶ φυσι-
(22) κόν τινα περὶ τῶν ἀντιπόδων διαλεγόμενον ἀναστήσας καὶ ἐπὶ φρέαρ ἀγαγὼν καὶ δείξας αὐτῷ τὴν ἐν τῷ ὕδατι σκιὰν
21 ἤρετο, Τοιούτους ἄρα τοὺς ἀντίποδας εἶναι λέγεις; ἀλλὰ
(23) καὶ μάγου τινὸς εἶναι λέγοντος καὶ ἐπῳδὰς ἔχειν ἰσχυράς, ὡς ὑπ' αὐτῶν ἅπαντας ἀναπείθειν καὶ παρέχειν αὐτῷ ὁπόσα βούλεται, Μὴ θαύμαζε, ἔφη· καὶ γὰρ αὐτὸς ὁμότεχνός εἰμί σοι, καὶ εἰ βούλει, ἕπου πρὸς τὴν ἀρτόπωλιν, καὶ ὄψει με διὰ μιᾶς ἐπῳδῆς καὶ μικροῦ του φαρμάκου πείθοντα αὐτὴν δοῦναί μοι τῶν ἄρτων, αἰνιττόμενος τὸ νόμισμα ὡς τὰ ἴσα
22 τῇ ἐπῳδῇ δυνάμενον. ἐπεὶ δὲ Ἡρώδης ὁ πάνυ ἐπένθει τὸν
24)

17. Ἀρκεσίλαον. Mit diesem Namen, der einem berühmten Philosophen der Akademie angehört, wird frostiger Weise in seinem ersten Theile auf ἄρκτος angespielt.

18. τὸν μ. ἐλπ. τι μ. δεδ. Alexand. 8: κατενόησαν τὸν τῶν ἀνθρώπων βίον ὑπὸ δυεῖν τοῖν μεγίστοιν τυραννούμενον, ἐλπίδος καὶ φόβου. — καὶ πῶς, wir gewöhnlich: aber wie u. s. w. So steht oft καί zu Anfang einer Frage, die eine Entgegnung enthält, durch καί aber an das Vorhergehende angefügt wird. Anach. 34: καὶ ποῦ κτἑ. Xenoph. Memor. 3, 9, 12: καὶ πῶς ἂν . . ἐξείη μὴ πείθεσθαι; — ὡς τὸ πολύ, s. zu VII, 23. — τούτοις, näml. τῷ τε ἐλπίζειν καὶ δεδιέναι.

19. Περεγρίνου. Peregrinus, mit dem Beinamen Proteus, geboren zu Parium am Hellespont, ein überspannter kynischer Philosoph, der sich bei den olympischen Spielen in den brennenden Scheiterhaufen stürzte. — οὐ κυνᾷς, doppelsinnig: *non agis Cynicum* und *non agis canem.*

21. μάγου Prädicat, τινός Subiect. Ueber den Genetiv. μάγου s. Kr. Gr. §. 55, 2, 5. — ὑπ' αὐτῶν, durch dieselben; s. zu IV, 7. — παρέχειν, näml. αὐτούς. Wechsel des Subiects. — τῶν ἄρτων, von den Broden, Genetiv. partitiv. Unten 56 (63): λαμβάνειν τῶν ἄρτων u. so oft.

22. Ἡρώδης. Herodes, mit dem Beinamen Atticus, geboren zu Marathon im Anfang des zweiten Jahrhunderts n. Chr., war einer der berühmtesten Rhetoren seiner Zeit und unterrichtete in der Rhetorik den M. Aurelius nebst L. Verus. Derselbe trieb die Trauer um seinen verstorbenen Liebling Polydeukes bis in's Lächerliche u.

VIII.

ΔΗΜΩΝΑΚΤΟΣ ΒΙΟΣ.

Ἔμελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος τὸ παντάπασιν ἄμοιρος ἔσεσθαι ἀνδρῶν λόγου καὶ μνήμης ἀξίων, ἀλλὰ καὶ σώματος ἀρετὴν ὑπερφυᾶ καὶ γνώμην ἄκρως φιλόσοφον ἐκφαίνειν· λέγω δὲ εἴς τε τὸν Βοιώτιον Σώστρατον ἀναφέρων, ὃν Ἡρακλέα οἱ Ἕλληνες ἐκάλουν καὶ ᾤοντο εἶναι, καὶ μάλιστα εἰς Δημώνακτα τὸν φιλόσοφον, οὓς καὶ εἶδον αὐτὸς καὶ ἰδὼν ἐθαύμασα, θατέρῳ δέ, τῷ Δημώνακτι, καὶ ἐπὶ μήκιστον συνεγενόμην. περὶ μὲν οὖν Σωστράτου ἐν ἄλλῳ βιβλίῳ γέγραπταί μοι καὶ δεδήλωται μέγεθός τε αὐτοῦ καὶ ἰσχύος ὑπερβολὴ καὶ ἡ ὕπαιθρος ἐν τῷ Παρνασῷ δίαιτα καὶ ἡ ἐπὶ πόας εὐνὴ καὶ τροφαὶ ὄρειοι καὶ ἔργα οὐκ ἀπῳδὰ τοῦ ὀνόματος καὶ ὅσα ἢ λῃστὰς αἴρων ἔπραξεν ἢ ὁδοποιῶν τὰ ἄβατα ἢ γεφυρῶν τὰ δύσπορα. 1

Περὶ δὲ Δημώνακτος ἤδη δίκαιον λέγειν ἀμφοῖν ἕνεκα, ὡς ἐκεῖνός τε διὰ μνήμης εἴη τοῖς ἀρίστοις τό γε κατ' ἐμὲ 2

1. Ἔμελλεν .. ἔσεσθαι .. ἐκφαίνειν, es sollte u. s. w.; Kr. Gr. §. 53, 8, 3. — ἄρα, ebenso wir: also, somit, in Bezug auf einen aus dem Zusammenhange zu ergänzenden Satz. — ὁ καθ' ἡμᾶς βίος, *nostra aetas*. Unten c. 2 ὁ ἡμέτερος βίος. — τὸ παντάπασιν, wie τὸ παράπαν, τὸ ξύμπαν u. a., aber selten. — Auf wen bezieht sich σώματος ἀρετὴ ὑπερφυής und auf wen γνώμη ἄκρως φιλόσοφος? — ἀναφέρων, *respiciens*. Alexand. 2: ἕξομεν καὶ αὐτοὶ εἰς παράδειγμά τι τοιοῦτον ἀνενεγκεῖν. — ἐπὶ μήκιστον, auf sehr lange Zeit, sehr lange. Erst bei Späteren, wie Alciphron, vorkommende Formel. Anachars. 26. — ἐν ἄλλῳ βιβλίῳ. Diese Schrift ist nicht mehr vorhanden. — ὕπαιθρος, spätere Form für ὑπαίθριος. — ἡ ἐπὶ πόας εὐνή, d. i. *humi dormitiones*. Vgl. Necyom. 7: εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. — τοῦ ὀνόματος, näml. Ἡρακλέους. — αἴρων. Gewöhnlicher wäre καθαίρων [wie Dindorf stillschweigend nach Cobet geschrieben]. — γεφυρῶν τὰ δύσπορα, *pontibus iungens loca traiectu difficilia*.

2. ἀμφοῖν ἕνεκα, aus zwei Gründen. — διὰ μνήμης εἴη, *in memoria versari*. Aehnlich διὰ μνήμης ἔχειν Catapl. 9. Ebenso διὰ στόματος ἦν ἅπασιν De morte Peregr. 18. Pro laps. in sal. 6. Kr. Gr. §. 68, 22, 2. Ueber den Optativ s. zu I, 4. — τό γε κατ' ἐμέ, soviel wenigstens auf

27 θέναι; Ἀγαθοκλέους δὲ τοῦ Περιπατητικοῦ μέγα φρονοῦν-
(29) τος, ὅτι μόνος αὐτός ἐστι καὶ πρῶτος τῶν διαλεκτικῶν, ἔφη, Καὶ μήν, ὦ Ἀγαθόκλεις, εἰ μὲν πρῶτος, οὐ μόνος, εἰ δὲ
28 μόνος, οὐ πρῶτος. Κεθήγου δὲ τοῦ ὑπατικοῦ, ὁπότε διὰ τῆς
(30) Ἑλλάδος εἰς τὴν Ἀσίαν ἀπῄει πρεσβεύσων τῷ πατρί, πολλὰ καταγέλαστα καὶ λέγοντος καὶ ποιοῦντος, ἐπειδή τῶν ἑταίρων τις ὁρῶν ταῦτα ἔλεγεν αὐτὸν μέγα κάθαρμα εἶναι, Μὰ τὸν
29 Δί', ἔφη ὁ Δημῶναξ, οὐδὲ μέγα. καὶ Ἀπολλώνιον δέ ποτε
(31) τὸν φιλόσοφον ἰδὼν μετὰ πολλῶν τῶν μαθητῶν ἐξελαύνοντα — ἤδη δὲ ἀπῄει μετάπεμπτος ὡς ἐπὶ παιδείᾳ τῷ βασιλεῖ συνεσόμενος — Προσέρχεται, ἔφη, ὁ Ἀπολλώνιος καὶ οἱ
30 Ἀργοναῦται αὐτοῦ. ἐτόλμησε δέ ποτε καὶ Ἀθηναίους ἐρωτῆ-
(34) σαι δημοσίᾳ, τῆς προρρήσεως ἀκούσας, διὰ τίνα αἰτίαν ἀποκλείουσι τοὺς βαρβάρους, καὶ ταῦτα τοῦ τὴν τελετὴν αὐτοῖς καταστησαμένου Εὐμόλπου βαρβάρου καὶ Θρᾳκὸς ὄντος.
31 ἐπεὶ δέ ποτε πλεῖν μέλλοντι αὐτῷ διὰ χειμῶνος ἔφη τις τῶν
(35) φίλων, Οὐ δέδοικας μὴ ἀνατραπέντος τοῦ σκάφους ὑπὸ

27. *μόνος .. καὶ πρῶτος, μόνος* ist hier in übertragener Bedeutung aufzufassen; Demonax dagegen nimmt das Wort in seiner eigentlichen, und weist so die arrogante und einfältige Behauptung des Agathokles zurück. Uebrigens ist die Formel *πρῶτος καὶ μόνος* oder *μόνος καὶ πρῶτος* nicht ungebräuchlich.

28. *πρεσβεύσων*, um als Legat unter seinem Vater zu dienen. — *πολλὰ καταγέλαστα*, s. zu I, 9. — *τῶν ἑταίρων*, des Demonax. — *οὐδὲ μέγα.* Demonax lehnte also den starken Ausdruck *μέγα κάθαρμα* (*magnum piaculum*) für einen blos lächerlichen Menschen ab, um diesen als unbedeutend zu bezeichnen, der keinen Zorn verdiene. Seyffert.

29. *ἐπὶ παιδείᾳ*, Kr. Gr. §. 68, 41, 7. De merc. cond. 4: *τῶν ἐπὶ παιδείᾳ συνεῖναι ἀξιουμένων.* u. s. — *τῷ βασιλεῖ*, vom römischen Kaiser, wie oft bei den Späteren (vgl. unten 36 (40), 44 (51), hier von Antoninus Pius. — *Ἀργοναῦται.* Der alexandrinische Dichter Apollonios Rhodios hatte ein episches Gedicht, die Argonautika, geschrieben. Zweck der Argonautenfahrt war, das goldene Vliess zu holen. Bei Apollonios und seinen Schülern gilt es, sagt Demonax, dem goldenen Vliesse beim Kaiser, d. i. dem kaiserlichen Solde.

30. *τῆς προρρήσεως.* Unter *πρόρρησις* ist das feierliche Verbot des Herolds zu verstehen, durch welches die Profanen von der Theilnahme an der Mysterienfeier fern gehalten werden. Ein Beispiel einer solchen Interdictsformel findet sich Alexand. 38: *εἴ τις ἄθεος ἢ Χριστιανὸς ἢ Ἐπικούρειος ἥκει κατάσκοπος τῶν ὀργίων, φευγέτω.* Isocr. Paneg. 157: *Εὐμολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων τοῖς βαρβάροις εἴργεσθαι τῶν μυστηρίων ὥσπερ τοῖς ἀνδροφόνοις προαγορεύουσιν.* — *καὶ ταῦτα*, und zwar, zumal. — *Εὐμόλπου.* Einem mythischen König der Thraker, welche Pelasger sind, Namens Eumolpos, wird vorzugsweise die Einführung der eleusinischen Mysterien in Attika zugeschrieben. Die Ueberlieferung von ihm ist eine sehr verworrene.

31. *διὰ χειμῶνος.* Die Alten pflegten im Winter der in jenen Meeren herrschenden Stürme wegen die See nicht zu befahren. —

ἰχθύων καταβρωθῇς; Κἂτ' ἀγνώμων ἂν εἴην, ἔφη, ὀκνῶν
ὑπὸ ἰχθύων καταδασθῆναι τοσούτους αὐτὸς ἰχθῦς καταφα-
γών. ῥήτορι δέ τινι κάκιστα μελετήσαντι συνεβούλευεν 32
ἀσκεῖν καὶ γυμνάζεσθαι· τοῦ δὲ εἰπόντος, Ἀεὶ ἐπ' ἐμαυτοῦ (36)
λέγω, Εἰκότως τοίνυν, ἔφη, τοιαῦτα λέγεις μωρῷ ἀκροατῇ
χρώμενος. καὶ μάντιν δέ ποτε ἰδὼν δημοσίᾳ ἐπὶ μισθῷ μαν- 33
τευόμενον, Οὐχ ὁρῶ, ἔφη, ἐφ' ὅτῳ τὸν μισθὸν ἀπαιτεῖς· εἰ (37)
μὲν γὰρ ὡς ἀλλάξαι τι δυνάμενος τῶν ἐπικεκλωσμένων, ὀλί-
γον αἰτεῖς ὁπόσον ἂν αἰτῇς, εἰ δὲ ὡς δέδοκται τῷ θεῷ πάντα
ἔσται, τί σου δύναται ἡ μαντική; πρεσβύτου δέ τινος Ῥω- 34
μαίου εὐσωματοῦντος καὶ τὴν ἐνόπλιον αὐτῷ μάχην πρὸς (38)
πάτταλον ἐπιδειξαμένου καὶ ἐρομένου, Πῶς σοι, Δημῶναξ,
μεμαχῆσθαι ἔδοξα; Καλῶς, ἔφη, ἂν ξύλινον τὸν ἀνταγωνι-
στὴν ἔχῃς. καὶ μὴν καὶ πρὸς τὰς ἀπόρους τῶν ἐρωτήσεων 35
πάνυ εὐστόχως παρεσκεύαστο· ἐρομένου γάρ τινος ἐπὶ (39)
χλευασμῷ, Εἰ χιλίας μνᾶς ξύλων καύσαιμι, ὦ Δημῶναξ,
πόσαι μναῖ ἂν καπνοῦ γένοιντο; Στῆσον, ἔφη, τὴν σποδόν,
καὶ τὸ λοιπὸν πᾶν καπνός ἐστι. Πολυβίου δέ τινος, κομιδῇ 36
ἀπαιδεύτου ἀνθρώπου καὶ σολοίκου, εἰπόντος, Ὁ βασιλεύς (40)
με τῇ Ῥωμαίων πολιτείᾳ τετίμηκεν· Εἴθε σε, ἔφη, Ἕλληνα
μᾶλλον ἢ Ῥωμαῖον πεποιήκει. ἰδὼν δέ τινα τῶν εὐπαρύφων 37
ἐπὶ τῷ πλάτει τῆς πορφύρας μέγα φρονοῦντα, κύψας αὐτοῦ (41)
πρὸς τὸ οὖς καὶ τῆς ἐσθῆτος λαβόμενος καὶ δείξας, Τοῦτο
μέντοι, ἔφη, πρὸ σοῦ πρόβατον ἐφόρει, καὶ ἦν πρόβατον.
ἐπεὶ μέντοι λουόμενος ὤκνησεν ἐς τὸ ὕδωρ ζέον ἐμβῆναι, 38 (42)

ἀγνώμων, undankbar, unerkenntlich. — καταδασθῆναι = καταβρωθῆναι.

32. μελετήσαντι, Vorträge halten, deklamiren. — ἀσκεῖν καὶ γυμνάζεσθαι sind von Demonax in Bezug auf den Körper gesagt, und es gibt derselbe dem Rhetor den Rath, die geistige Uebung sein zu lassen und die körperliche zu betreiben. Allein der Rhetor versteht das Wortspiel nicht, und bezieht die Worte auf die geistige Uebung. — ἐπ' ἐμαυτοῦ, vor mir selbst, *apud me*. — ἀκροατῇ Praedikat zu μωρῷ.

33. εἰ μὲν γάρ. Was ist aus dem Vorhergehenden zu ergänzen? — ὀλίγον, wir: zu wenig.

35. καὶ μὴν καί, ja auch, wie oben 20 (22) und sonst sehr häufig bei Luc. — ἀπόρους, verfänglich. — ἐπὶ χλευασμῷ, um zu verhöhnen. Ebenso ἐπὶ χλευασίᾳ. — στῆσον, wäge.

36. τῇ Ῥωμαίων πολ., mit dem röm. Bürgerrecht. — Ἕλληνα, d. i. zu einen feineren und gebildeteren Manne, wie die Hellenen es sind.

37. ἦν πρόβατον, näml. wie du ebenfalls eines bist. Die Dummheit des Schafes war sprichwörtlich und wird oft auf einfältige Menschen angewendet. Vgl. Alexand. 15: ἀνθρώπων οὐδὲν ἐοικότων σιτοφάγοις ἀνδράσιν, ἀλλὰ μόνῃ τῇ μορφῇ μὴ οὐχὶ πρόβατα εἶναι διαφερόντων.

38. λουόμενος. Die attische Form

καὶ ᾐτιάσατό τις ὡς ἀποδειλιάσαντα, Εἰπέ μοι, ἔφη, ὑπὲρ 39 πατρίδος αὐτὸ πείσεσθαι ἔμελλον; ἐρομένου δέ τινος, ὁποῖα (43) νομίζει τὰ ἐν Ἅιδου, Περίμεινον, ἔφη, κἀκεῖθέν σοι ἐπιστελῶ. 40 Ἀδμήτῳ δέ τινι, ποιητῇ φαύλῳ, λέγοντι γεγραφέναι μονόστι-(44) χον ἐπίγραμμα, ὅπερ ἐν ταῖς διαθήκαις κεκέλευκεν ἐπιγραφῆναι αὐτοῦ τῇ στήλῃ — οὐ χεῖρον δὲ καὶ αὐτὸ εἰπεῖν,

Γαῖα λάβ' Ἀδμήτου ἔλυτρον, βῆ δ' εἰς θεὸν αὐτός —

γελάσας εἶπεν, Οὕτω καλόν ἐστιν, ὦ Ἄδμητε, τὸ ἐπίγραμμα, 41 ὥστε ἐβουλόμην αὐτὸ ἤδη ἐπιγεγράφθαι. καὶ μέντοι καὶ (46) Λακεδαιμόνιόν τινα ἰδὼν τὸν αὐτοῦ οἰκέτην μαστιγοῦντα, 42 Παῦσαι, ἔφη, ὁμότιμον σαυτοῦ τὸν δοῦλον ἀποφαίνων. μά-(48) λιστα δὲ ἐπολέμει τοῖς οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς ἐπίδειξιν φιλοσοφοῦσιν· ἕνα γοῦν ἰδὼν Κυνικὸν τρίβωνα μὲν καὶ πήραν ἔχοντα, ἀντὶ δὲ τῆς βακτηρίας ὕπερον, καὶ κεκραγότα καὶ λέγοντα ὅτι Ἀντισθένους καὶ Κράτητος καὶ Διογένους ἐστὶ ζηλωτής, Μὴ ψεύδου, ἔφη, σὺ γὰρ Ὑπερίδου μαθητὴς 43 ὢν τυγχάνεις. ἐπεὶ μέντοι πολλοὺς τῶν ἀθλητῶν ἑώρα κακο-(49) μαχοῦντας καὶ παρὰ τὸν νόμον τὸν ἐναγώνιον ἀντὶ τοῦ παγκρατιάζειν δάκνοντας, Οὐκ ἀπεικότως, ἔφη, τοὺς νῦν ἀθλη-44 τὰς οἱ παρομαρτοῦντες λέοντας καλοῦσιν. ἄλλῳ δέ τινι στρα-(51) τοπέδων ἅμα καὶ ἔθνους τοῦ μεγίστου τὴν ἀρχὴν ἐμπιστευθέντι ἐκ βασιλέως ἐρομένῳ, πῶς ἄριστα ἄρξει, Ἀόργητος, 45 ἔφη, καὶ ὀλίγα μὲν λαλῶν, πολλὰ δὲ ἀκούων. ἐρομένῳ δέ (52) τινι, εἰ καὶ αὐτὸς πλακοῦντας ἐσθίοι, Οἴει οὖν, ἔφη, τοῖς 46 μωροῖς τὰς μελίττας τιθέναι τὰ κηρία; πρὸς δὲ τῇ Ποικίλῃ (53) ἀνδριάντα ἰδὼν τὴν χεῖρα ἀποκεκομμένον, ὀψὲ ἔφη Ἀθη-

ist λούμενος, welche sich auch bei Luc. an einigen Stellen vorfindet.

40. οὐ χεῖρον δέ, s. oben zu 14. — ἐβουλόμην, s. zu V, 20, 4.

41. καὶ μέντοι = καὶ μήν. — παῦσαι.. ἀποφαίνων, s. zu VII, 4. — ὁμότιμον σαυτοῦ. Anspielung auf die διαμαστίγωσις der Spartaner, nach welcher die Knaben am Feste der Artemis Orthia gegeisselt wurden, um sie gegen körperliche Schmerzen abzuhärten.

42. πρὸς ἐπίδειξιν, *ostentationis caussa*. — Ὑπερίδου, in Bezug auf ὕπερον.

43. κακομαχοῦντας. Nur noch bei Plutarch vorkommendes Wort. — οἱ παρομαρτοῦντες, ihre Begleiter, welche das Lob der Athleten auszuposaunen und ihnen lobhudelnde Beiwörter zu geben pflegten.

44. στρατοπέδων, Legionen. — ἔθνους, Provinz. — τὴν ἀρχὴν ἐμπιστευθέντι, bei Luc. sehr häufige Construction. Nigr. 34: οἱ τὰς πόλεις ἐπιτετραμμένοι. Toxar. 33: ὁ τὴν Αἴγυπτον ἐπιτετραμμένος. De luct. 4: Αἰακὸς τὴν φρουρὰν ἐπιτετραμμένος. u. s. Kr. Gr. §. 52, 4, 2. Vgl. 46: ἀνδριάντα τὴν χεῖρα ἀποκεκομμένον. — ἐκ = ὑπό, s. zu II, 38.

46. τῇ Ποικίλῃ, s. oben zu 14.

ναίους εἰκόνι χαλκῇ τετιμηκέναι τὸν Κυναίγειρον. καὶ μὴν 47 (54)
καὶ Ῥουφῖνον τὸν Κύπριον — λέγω δὲ τὸν χωλὸν τὸν ἐκ
τοῦ περιπάτου — ἰδὼν ἐπὶ πολὺ τοῖς περιπάτοις ἐνδιατρί-
βοντα, Οὐδέν ἐστιν, ἔφη, ἀναισχυντότερον χωλοῦ Περιπατη-
τικοῦ. ἐπεὶ δέ ποτε ὁ Ἐπίκτητος ἐπιτιμῶν ἅμα συνεβούλευεν 48 (55)
αὐτῷ ἀγαγέσθαι γυναῖκα καὶ παιδοποιήσασθαι, πρέπειν γὰρ
καὶ τοῦτο φιλοσόφῳ ἀνδρί, ἕτερον ἀνθ' αὐτοῦ καταλιπεῖν τῇ
φύσει, ἐλεγκτικώτατα πρὸς αὐτὸν ἀπεκρίνατο, Οὐκοῦν, ὦ
Ἐπίκτητε, δός μοι μίαν τῶν σαυτοῦ θυγατέρων. καὶ μὴν 49 (56)
καὶ τὸ πρὸς Ἑρμῖνον τὸν Ἀριστοτελικὸν ἄξιον ἀπομνημονεῦ-
σαι· εἰδὼς γὰρ αὐτὸν παγκάκιστον μὲν ὄντα καὶ μυρία κακὰ
ἐργαζόμενον, τὸν Ἀριστοτέλην δὲ διὰ στόματος καὶ αὐτοῦ τὰς
δέκα κατηγορίας ἔχοντα, Ἑρμῖνε, ἔφη, ἀληθῶς ἄξιος εἶ δέκα
κατηγοριῶν. Ἀθηναίων δὲ σκεπτομένων κατὰ ζῆλον τὸν πρὸς 50 (57)
Κορινθίους καταστήσασθαι θέαν μονομάχων, προελθὼν εἰς
αὐτούς, Μὴ πρότερον, ἔφη, ταῦτα, ὦ Ἀθηναῖοι, ψηφίσησθε,
ἂν μὴ τοῦ Ἐλέου τὸν βωμὸν καθέλητε. ἐπεὶ δὲ εἰς Ὀλυμπίαν 51 (58)
ποτὲ ἐλθόντι αὐτῷ Ἠλεῖοι εἰκόνα χαλκῆν ἐψηφίσαντο, Μη-
δαμῶς τοῦτο, ἔφη, ὦ ἄνδρες Ἠλεῖοι, μὴ δόξητε ὀνειδίζειν
τοῖς προγόνοις ὑμῶν, ὅτι μήτε Σωκράτους μήτε Διογένους
εἰκόνα ἀνατεθείκασιν. ἤκουσα δὲ αὐτοῦ ποτε καὶ πρὸς τὸν 52 (59)

— *τὸν Κυναίγειρον.* Diesem, dem Sohne des Euphorion und Bruder des Aeschylos, war beim Verfolgen der auf ihre Schiffe fliehenden Perser die Hand, mit der er das Hintertheil eines Schiffes ergriffen, abgehauen worden. Und diese Heldenthat war mit auf dem Gemälde der Schlacht bei Marathon, welches sich in der Poekile befand, verherrlicht worden. Vgl. Herodot. 6, 114. Die richtigere Form ist übrigens wol *Κυνέγειρος*.

47. *τὸν ἐκ τοῦ περιπάτου,* den Peripatetiker; s. oben zu 16. — *ἐπὶ πολύ,* zeitlich; ebenso oft räumlich. — *τοῖς περιπάτοις,* Spaziergänge. — *Περιπατητικοῦ,* doppelsinnig.

48. *τοῦτο,* zu beziehen auf die folgenden Worte: *ἕτερον ἀνθ'* u. s. w. — *τῇ φύσει,* d. h. *procreatione,* im Gegensatz, wie es scheint, zu der *μάθησις,* durch die sich der Philosoph in seinen Schülern fortpflanzt. Seyffert. — *μίαν τῶν σ. θυγατέρων.* Epictetos hatte seine eigene Vorschrift nicht befolgt; denn er war selbst unverheirathet.

49. *διὰ στόματος . . ἔχοντα,* s. unser Wörterb. unter *στόμα* 1) c). — *κατηγορίας,* in philosophischer Bedeutung, die Prädikate, welche nach Aristoteles einem Begriffe zukommen, dann im gerichtlichen Sinne.

50. *σκεπτομένων.* Das Praes. und Imperf. dieses Zeitworts ist bei den Att. sehr selten, die dafür *σκοπεῖν* u. *σκοπεῖσθαι* gebrauchen. — *θέαν μονομάχων,* Gladiatorenspiele. — *τοῦ Ἐλέου τὸν βωμόν,* s. zu II, 42., und über die Wortstellung zu V, 22, 3.

51. *μηδαμῶς τοῦτο,* näml. *ποιήσητε.* Ebenso Piscat. 24: *τοῦτο μὲν μηδαμῶς.* Vgl. Kr. Gr. §. 67, 14, 5.

52. *τὸν τῶν ν. ἔμπειρον,* der Artikel in generischer Bedeutung, s. Kr. Gr. §. 50, 4.

τῶν νόμων ἔμπειρον ταῦτα λέγοντος, ὅτι κινδυνεύουσιν ἄχρηστοι εἶναι οἱ νόμοι, ἄν τε πονηροῖς ἄν τε ἀγαθοῖς γράφωνται· οἱ μὲν γὰρ οὐ δέονται νόμων, οἱ δὲ ὑπὸ νόμων οὐδὲν 53 (60) *βελτίους γίνονται. τῶν δὲ Ὁμήρου στίχων ἕνα ᾖδε μάλιστα,*

κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.

54 *ἐπῄνει δὲ καὶ τὸν Θερσίτην ὡς Κυνικόν τινα δημηγόρον.* (61) 55 *ἐρωτηθεὶς δέ ποτε, τίς αὐτῷ ἀρέσκοι τῶν φιλοσόφων, ἔφη,* (62) *Πάντες μὲν θαυμαστοί, ἐγὼ δὲ Σωκράτην μὲν σέβω, θαυμάζω δὲ Διογένην καὶ φιλῶ Ἀρίστιππον.*

56 (63) *Ἐβίω δὲ ἔτη ὀλίγου δέοντα τῶν ἑκατὸν ἄνοσος, ἄλυπος, οὐδένα ἐνοχλήσας τι ἢ αἰτήσας, φίλοις χρήσιμος, ἐχθρὸν οὐδένα οὐδεπώποτε ἐσχηκώς. καὶ τοσοῦτον ἔρωτα ἔσχον πρὸς αὐτὸν Ἀθηναῖοί τε αὐτοὶ καὶ ἅπασα ἡ Ἑλλάς, ὥστε παριόντι ὑπεξανίστασθαι μὲν τοὺς ἄρχοντας, σιωπὴν δὲ γίνεσθαι παρὰ πάντων. τὸ τελευταῖον δέ, ἤδη ὑπέργηρως ὤν, ἄκλητος εἰς ἣν τύχοι παριὼν οἰκίαν ἐδείπνει καὶ ἐκάθευδε, τῶν ἐνοικούντων θεοῦ τινα ἐπιφάνειαν ἡγουμένων τὸ πρᾶγμα καί τινα ἀγαθὸν δαίμονα εἰσεληλυθέναι αὐτοῖς εἰς τὴν οἰκίαν. παριόντα δὲ αἱ ἀρτοπώλιδες ἀνθεῖλκον πρὸς αὑτάς, ἑκάστη ἀξιοῦσα παρ' αὐτῆς λαμβάνειν τῶν ἄρτων, καὶ τοῦτο εὐτυχίαν ἑαυτῆς ἡ δεδωκυῖα ᾤετο. καὶ μὴν καὶ οἱ παῖδες* 57 (64) *ὀπώρας προσέφερον αὐτῷ πατέρα ὀνομάζοντες. στάσεως δέ ποτε Ἀθήνησι γενομένης εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ φανεὶς μόνον σιωπᾶν ἐποίησεν αὐτούς· ὁ δὲ ἰδὼν ἤδη μετεγνωκότας οὐδὲν εἰπὼν καὶ αὐτὸς ἀπηλλάγη. ὅτε δὲ συνῆκεν* 58 (65)

53. *κάτθαν' κτέ.* Il. 9, 320. Gnomischer Aorist, s. Kr. Gr. II. §. 53, 10, 2. Vgl. mit dieser Stelle IV, 22.

54. Thersites schonte, wie bekannt, weder Edle noch Könige, und ebenso hatten auch die Kyniker vor keinem hervorragenden Manne grosse Achtung.

55. *Ἀρίστιππον*, s. zu V, 20, 5.

56. *ἔτη ὀλ. δέοντα τῶν ἑκατόν*, d. i. beinahe hundert Jahre; vgl. Kr. Gr. §. 24, 2, 9. Ueber den Artikel *τῶν* s. zu V, 27, 9. Dial. mort. 9, 1: *ἔτη οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς.* — *ὑπεξανίστασθαι*, späteres Wort für das attische *ὑπανίστασθαι*. Conviv. 7: *ἐπεὶ παρῆλθεν, ὑπεξανίσταντο πάντες αὐτῷ.* — *εἰς ἣν τύχοι παρ. οἰκ.*, in welches Haus er zufällig od. gerade trat. — *θεοῦ τινα ἐπιφάνειαν*, d. i. *nescio quem dei adventum.* — *ὀπώρας*, Obst, in dieser Bedeutung gewöhnlich im Singular.

57. *φανεὶς μόνον*, d. i. durch sein blosses Erscheinen. Piscat. 13: *δηλώσει ἥτις ἐστὶ φθεγξαμένη μόνον.*

58. *συνῆκεν .. ὤν*, s. oben zu 4: *ἔμαθεν διαρκῶν.* — *τὸν ἐναγών. τῶν κηρ. πόδα*, den bei den Kampfspielen gewöhnlichen (aus Anapästen bestehenden) Versfuss (Ausruf) der Herolde. Mit derselben Formel ward auch der Anfang der Kampfspiele verkündigt, nur hiess es dann *ἄρχει* statt *λήγει*.

οὐκέθ' οἷός τε ὢν αὑτῷ ἐπικουρεῖν, εἰπὼν πρὸς τοὺς παρόντας τὸν ἐναγώνιον τῶν κηρύκων πόδα

Λήγει μὲν ἀγὼν τῶν καλλίστων
ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν

καὶ πάντων ἀποσχόμενος ἀπῆλθε τοῦ βίου φαιδρὸς καὶ οἷος ἀεὶ τοῖς ἐντυγχάνουσιν ἐφαίνετο. ὀλίγον δὲ πρὸ τῆς τελευ- 59 τῆς ἐρομένου τινός, Περὶ ταφῆς τί κελεύεις; Μὴ πολυπραγ- (66) μονεῖτε, ἔφη· ἡ γὰρ ὀδμή με θάψει. φαμένου δὲ ἐκείνου, Τί οὖν; οὐκ αἰσχρὸν ὀρνέοις καὶ κυσὶ βορὰν προτεθῆναι τηλικούτου ἀνδρὸς σῶμα; Καὶ μὴν οὐδὲν ἄτοπον, ἔφη, τοῦτο, εἰ μέλλω καὶ ἀποθανὼν ζῴοις τισὶ χρήσιμος ἔσεσθαι. οἱ μέν- 60 τοι Ἀθηναῖοι καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ μεγαλοπρεπῶς καὶ (67) ἐπὶ πολὺ ἐπένθησαν καὶ τὸν θᾶκον τὸν λίθινον, ἐφ' οὗ εἰώθει ὁπότε κάμνοι ἀναπαύεσθαι, προσεκύνουν καὶ ἐστεφάνουν ἐς τιμὴν τοῦ ἀνδρός, ἡγούμενοι ἱερὸν εἶναι καὶ τὸν λίθον, ἐφ' οὗ ἐκαθέζετο. ἐπὶ μὲν γὰρ τὴν ἐκφορὰν οὐκ ἔστιν ὅστις οὐκ ἀπήντησε, καὶ μάλιστα τῶν φιλοσόφων· οὗτοι μέντοι ὑποδύντες ἐκόμιζον αὐτὸν ἄχρι πρὸς τὸν τάφον.

Ταῦτα ὀλίγα πάνυ ἐκ πολλῶν ἀπεμνημόνευσα, καὶ ἔστιν ἀπὸ τούτων τοῖς ἀναγινώσκουσι λογίζεσθαι ὁποῖος ἐκεῖνος ἀνὴρ ἐγένετο.

59. *φαμένου*, bei den Attikern selten vorkommende Form, s. Kr. Gr. §. 38, 4, 1.
60. *ὁπότε κάμνοι*, s. zu I, 2. — *καὶ τὸν λίθον*, *vel lapidem*. — *ἐπὶ τὴν ἐκφ. . . ἀπήντησε*, fand sich ein; häufig bei Luc. *ἀπαντᾶν ἐπί τι*. — *ὑποδύντες*, näml. *τὸ φέρετρον*, s. zu IV, 10.

IX.

DER FISCHER.

In der Philosophenversteigerung, *Βίων πρᾶσις*, einer Schrift, welche durch ihre Polemik gegen die damalige Philosophie, oder wie sich Wieland ausdrückt, gegen die philosophische Handwerkgesinnung zu Athen jedenfalls ungemeines Aufsehn und bei Vielen, namentlich den Afterphilosophen und der grossen Anzahl ihrer Anhänger, einen nicht gewöhnlichen Aerger erregt hatte, waren die Koryphäen der berühmtesten Philosophenschulen wie gewöhnliche Sklaven zum Verkauf ausgeboten und mit ihren parodirten Lehren im Munde dem allgemeinen Gelächter preisgegeben worden. Dass indessen Lucian nicht jene Meister selbst, sondern einzig und allein ihre Nachäffer, die Philosophen seiner Zeit, deren Lehren und Predigten zu ihrem Lebenswandel den grellsten Kontrast bildeten, gegeisselt und verhöhnt habe, steht ausser allem Zweifel und geht zur Genüge aus vorliegender Schrift selbst hervor, in welcher sich der Verfasser mit gewohnter Meisterschaft rechtfertigt.

Die in der Philosophenversteigerung dem Gelächter ausgesetzten Repräsentanten der alten Philosophenschulen, ein Pythagoras, Sokrates, Empedokles, Platon, Chrysippos, Aristoteles u. s. w. haben sich beim Hades auf einen Tag Urlaub ausgebeten, um auf die Oberwelt zurückzukehren und hier an dem Spötter Rache zu nehmen. Sokrates, dem es am schlimmsten ergangen, und Platon treten in ihrer Erbitterung zuerst gegen ihn auf. Allein Lucian oder Parresiades, wie er sich nennt, weiss es auf geschickte Weise dahin zu bringen, dass auf der Akropolis zu Athen ein ordentlicher Gerichtshof unter dem Vorsitz der Philosophie, die ihn dabei unterstützt, niedergesetzt wird, welcher in der Sache entscheiden soll. Diogenes wird zum Ankläger erwählt, mit dem besonderen Auftrage, hiebei ja das Interesse Aller zu vertreten, und dieser sucht demselben nach Kräften zu entsprechen. Allein Lucian thut darauf in äusserst gewandter und überzeugender Rede dar, dass es ihm nie in den Sinn gekommen sei, jene grossen Meister der Vorzeit, denen er die

grösste Bewunderung zolle, zu lästern und zu verunglimpfen, sondern dass sein Spott und Hohn lediglich den Afterphilosophen seiner Zeit gelte. Seine Rechtfertigung, die sich in jeder Beziehung auf Wahrheit gründet, findet gerechten Beifall, so dass die wieder auferstandenen Philosophen, Ἀναβιοῦντες, ihn alle freisprechen, ja sogar für ihren Freund und Wohlthäter erklären. Nach diesem für Lucian so günstigen Resultate wird ebendaselbst eine zweite Gerichtssitzung gehalten, um die Philosophen der damaligen Zeit vorzuladen. Da indessen auf diese Vorladung nur sehr wenige erscheinen, erhält endlich Lucian selbst den Auftrag dieselben vorzufordern, und auf seine Aufforderung, die ganz auf die niedrige und gemeine Denkweise jener Leute berechnet ist, strömen dieselben von allen Seiten in Unmasse herbei. Allein als sie nun von der Philosophie erfahren, weswegen die Aufforderung an sie ergangen, nämlich die wahren Verehrer der Philosophie nach Verdienst zu belohnen, hingegen die falschen, welche unter dem Deckmantel der Philosophie nur ihren gemeinen Leidenschaften fröhnen, nach Gebühr zu bestrafen, machen sie sich in der grössten Eile auf und davon, und dokumentiren noch durch das, was sie auf der Flucht zurücklassen, von welchem Schlage sie sind.

Den Titel Fischer führt der Dialog, weil Lucian hierauf von der Zinne der Akropolis herab mit einer von der Priesterin der Athene geliehenen Angel, an die er Gold und Feigen als Köder befestigt, einen Afterphilosophen nach dem andern fängt, die aber sämmtlich als unächt befunden wieder hinabgestürzt werden. Zuletzt macht die Philosophie dieser Fischerei dadurch ein Ende, dass sie jene Koryphäen in die Unterwelt zurücksendet, um den erhaltenen Urlaub nicht zu überschreiten, dem Lucian aber und dem Elenchos den Auftrag ertheilt, ihre wahren Jünger zu bekränzen, die unächten dagegen zu brandmarken.

Wieland's Urtheil über diesen Dialog, das in jeder Hinsicht begründet ist, lautet also: „Es ist meinem Urtheil nach die sinnreichste, beredteste, eleganteste, mit dem meisten Verstand erfundene und mit dem meisten Fleiss ausgearbeitete, kurz die gefeilteste und musterhafteste, so wie die reichste und gelehrteste von allen lucianischen Compositionen. Sie gibt an Witz und Laune, und selbst an aristophanischer Schalkheit keiner etwas nach, und übertrifft alle andere an Weisheit des Plans, an Schönheit der Ausführung, an Feinheit der Kritik und Ironie, und an dramatischer Kunst in Disposition der Scenen, Lebhaftigkeit der Darstellung, geschickter Charakterisirung und Contrastirung der Personen, immer zunehmendem Interesse und unerwarteter Entwickelung".

IX.

ΑΛΙΕΥΣ Η ΑΝΑΒΙΟΥΝΤΕΣ.

---

1 ΣΩΚΡΑΤΗΣ. Βάλλε βάλλε τὸν κατάρατον ἀφθόνοις τοῖς λίθοις, ἐπίβαλλε τῶν βώλων, προσεπίβαλλε καὶ τῶν ὀστράκων, παῖε τοῖς ξύλοις τὸν ἀλιτήριον, ὅρα μὴ διαφύγῃ· καὶ σὺ βάλλε, ὦ Πλάτων· καὶ σύ, ὦ Χρύσιππε, καὶ σὺ δέ. πάντες ἅμα ξυνασπίσωμεν ἐπ' αὐτόν,

ὡς πήρη πήρηφιν ἀρήγῃ, βάκτρα δὲ βάκτροις.

κοινὸς γὰρ πολέμιος, καὶ οὐκ ἔστιν ὅντινα ὑμῶν οὐχ ὕβρικε. σὺ δέ, ὦ Διόγενες, εἴ ποτε καὶ ἄλλοτε, χρῶ τῷ ξύλῳ, μηδὲ ἀνῆτε· διδότω τὴν ἀξίαν βλάσφημος ὤν. τί τοῦτο; κεκμήκατε, ὦ Ἐπίκουρε καὶ Ἀρίστιππε; καὶ μὴν οὐκ ἐχρῆν.

ἀνέρες ἔστε, σοφοί, μνήσασθε δὲ θούριδος ὀργῆς.

2 Ἀριστότελες, ἐπισπούδασον ἔτι θᾶττον. εὖ ἔχει· ἑάλωκε τὸ θηρίον· εἰλήφαμέν σε, ὦ μιαρέ. εἴσῃ γοῦν αὐτίκα, οὕστινας ὄντας ἡμᾶς ἐκακηγόρεις. τῷ τρόπῳ δέ τις αὐτὸν καὶ μετέλθῃ; ποικίλον γάρ τινα ἐπινοῶμεν θάνατον κατ' αὐτοῦ

1. ἀφθόνοις τοῖς λίθοις. Ueber diese praedikative Stellung des Adjectivs s. zu V, 10, 12. — καὶ σύ, ὦ Χρύσ., καὶ σὺ δέ, auch du, Chr., auch du noch. Chrysippos gebürtig aus Soli in Cilicien (279—207 v. Chr.) wurde als der vorzüglichste Begründer der stoischen Philosophie und als die Hauptstütze derselben angesehn. — ὡς πήρη κτέ. Parodie des homerischen Verses Il. 2, 363: ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. — ὦ Ἐπίκ. κ. Ἀρίστιππε. Epikuros, geboren zu Samos 342 v. Chr., gest. zu Athen 270, war der Gründer einer eigenen nach ihm benannten Schule, der man, wie bekannt, den Vorwurf des Strebens nach sinnlicher und niedriger Lust machte. Aristippos aus Kyrene, Schüler des Sokrates, war der Stifter der kyrenaischen Schule, welche die Lust als höchste Glückseligkeit und letztes Ziel menschlichen Lebens auffasste. Daraus κεκμήκατε zu erklären. — ἀνέρες κτέ. Parodie jenes bekannten homerischen Verses: ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.

2. ἐπισπούδασον, herbeieilen, so nur hier. — τῷ τρ. δέ τις αὐτὸν κ. μετέλθῃ, auf welche Weise aber soll man ihn auch bestrafen? Kr. Gr. §. 54, 2, 4. —

πᾶσιν ἡμῖν ἐξαρκέσαι δυνάμενον· καθ' ἕκαστον γοῦν δίκαιός ἐστιν ἡμῖν ἀπολωλέναι.

ΦΙΛΟΣΟΦΟΣ Α. Ἐμοὶ μὲν ἀνεσκολοπίσθαι δοκεῖ αὐτόν.

ΦΙΛ. Β. Νὴ Δία, μαστιγωθέντα γε πρότερον.

ΦΙΛ. Γ. Τοὺς ὀφθαλμοὺς ἐκκεκόφθω.

ΦΙΛ. Δ. Τὴν γλῶτταν αὐτὴν ἔτι πολὺ πρότερον ἀποτετμήσθω.

ΣΩΚ. Σοὶ δὲ τί, Ἐμπεδόκλεις, δοκεῖ;

ΕΜΠ. Ἐς τοὺς κρατῆρας ἐμπεσεῖν αὐτόν, ὡς μάθῃ μὴ λοιδορεῖσθαι τοῖς κρείττοσι.

ΠΛΑΤΩΝ. Καὶ μὴν ἄριστον ἦν καθάπερ τινὰ Πενθέα ἢ Ὀρφέα

λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον,

ἵν' ἂν καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπηλλάττετο καὶ —

ΛΟΥΚΙΑΝΟΣ. Μηδαμῶς· ἀλλὰ πρὸς ἱκεσίου φείσασθέ μου. 3

ΣΩΚ. Ἄραρεν· οὐκ ἂν ἀφεθείης ἔτι. ὁρᾷς δὲ δὴ καὶ τὸν Ὅμηρον ἅ φησιν,

ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά;

ΛΟΥΚ. Καὶ μὴν καθ' Ὅμηρον ὑμᾶς καὶ αὐτὸς ἱκετεύω· αἰδέσεσθε γὰρ ἴσως τὰ ἔπη καὶ οὐ παρόψεσθε ῥαψῳδήσαντά με·

ζωγρεῖτ' οὐ κακὸν ἄνδρα, καὶ ἄξια δέχθε ἄποινα,

καθ' ἕκαστον, *singulis*, wie oft. Ueber die Infin. des Perf. s. zu V, 12, 1. — Ἐμπεδόκλεις. Empedokles, um 443 v. Chr., war ein berühmter pythagor. Philosoph aus Agrigent. — ἐς τοὺς κρατ. ἐμπ. αὐτόν. In Bezug auf die Anekdote, dass sich Empedokles in den Aetna gestürzt habe; s. zu V, 20, 4. — ἄριστον ἦν, s. zu II, 37. — καθάπερ τινά, wir ebenso: wie ein, s. zu II, 54. Icaromen. 12: πῶς νῦν καθάπερ Λυγκεύς τις ἄφνω γενόμενος ἅπαντα διαγινώσκεις. — Πενθέα ἢ Ὀρφέα. Pentheus, König von Theben, Sohn des Echion und der Agaue, wurde von seiner eigenen Mutter und den übrigen Bakchen auf dem Kithäron, weil er ihre Feier störte, zerrissen. Diese Fabel ist der Inhalt der Bakchen des Euripides. Orpheus hatte dasselbe Geschick; auch er wurde zerrissen, und zwar von den Mänaden, weil er die Feier der Orgien nicht dulden wollte. — λακιστὸν .. μόρον, Fragment eines Tragikers (adesp. 235 Nauck.), vielleicht des Euripides [s. Elmsl. zu Eur. Bacch. 1328]. — ἵν' ἂν .. ἀπηλλάττετο, s. zu V, 6, 2. — τὸ μέρος, seinen Theil. Epist. Saturn. 31: ἠξίουν με κοινὰ πᾶσι ποιεῖν τἀγαθὰ καὶ τὸ μέρος ἕκαστον αὐτῶν ἔχειν. u. s. Kr. Gr. §. 50, 2, 4. — ἀπηλλ. καὶ — Platon, der noch weiter sprechen will, wird von Luc. unterbrochen.

3. πρὸς ἱκεσίου, näml. Διός. — ἄραρεν, es ist unwiderruflich beschlossen, steht fest. Catapl. 8: ἄραρεν· οὐκ ἂν τύχοις. — ὡς οὐκ ἔστι κτἑ. Il. 22, 262. — ζωγρεῖτ' οὐ κτἑ. Ein cento aus Hom.

χαλκόν τε χρυσόν τε, τὰ δὴ φιλέουσι σοφοί περ.

ΠΛΑΤ. Ἀλλ' οὐδὲ ἡμεῖς ἀπορήσομεν πρὸς σὲ Ὁμηρικῆς ἀντιλογίας. ἄκουε γοῦν·

μὴ δή μοι φύξιν γε, κακηγόρε, βάλλεο θυμῷ
χρυσόν περ λέξας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.

ΛΟΥΚ. Οἴμοι τῶν κακῶν. ὁ μὲν Ὅμηρος ἡμῖν ἄπρακτος, ἡ μεγίστη ἐλπίς. ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος σώσειέ με.

μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.

ΠΛΑΤ. Τί δέ; οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν,
οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους;

ΛΟΥΚ. Νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;

ΠΛΑΤ. Νὴ Δία· φησὶ γοῦν ἐκεῖνος αὐτός,
ἀχαλίνων στομάτων
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία.

4 ΛΟΥΚ. Οὐκοῦν ἐπεὶ δέδοκται πάντως ἀποκτιννύναι καὶ οὐδεμία μηχανὴ τὸ διαφυγεῖν με, φέρε, τοῦτο γοῦν εἴπατέ μοι, οἵτινες ὄντες ἢ τί πεπονθότες ἀνήκεστον πρὸς ἡμῶν ἀμείλικτα ὀργίζεσθε καὶ ἐπὶ θανάτῳ με ξυνειλήφατε;

ΠΛΑΤ. Ἅτινα μὲν εἴργασαι ἡμᾶς τὰ δεινά, σεαυτὸν ἐρώτα, ὦ κάκιστε, καὶ τοὺς καλοὺς ἐκείνους σου λόγους, ἐν οἷς φιλοσοφίαν τε αὐτὴν κακῶς ἠγόρευες καὶ ἐς ἡμᾶς ὕβριζες ὥσπερ ἐξ ἀγορᾶς ἀποκηρύττων σοφοὺς ἄνδρας, καὶ τὸ

Il. 10, 378. 1, 23. 11, 131. — μὴ δή μοι κτέ. Mit einiger Veränderung aus Il. 10, 447 f. — λέξας. Oft stehen die Verba *dicendi* in der Bedeutung des **Versprechens**. Herodot. 6, 23: μισθὸς δέ οἱ ἦν εἰρημένος ὅδε. [Seidler zu Eur. Electr. 33.] — ἡ μεγίστη ἐλπίς. Ebenso Thukyd. 3, 57 zu E.: ὑμεῖς, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπίς. Liv. 21, 11, 12: *cum tam procul Romani, unica spes,.. essent.* — μὴ κτεῖνε κτέ. Vers aus einer verloren gegangenen Tragödie des Euripides; fr. 931 **Nauck**. — οὐ δεινὰ κτέ., aus Eurip. Orest. 413. Marcell. bei Liv. 26, 31, 3: *quis passos esse hostilia, cum fecerint, indignatur?* — νῦν οὖν κτέ. Ebenfalls aus einer verloren gegangenen Tragödie desselben Dichters; fr. 932 **Nauck**. — ἕκατι = ἕνεκα. — ἀχαλίνων κτέ. Eurip. Bacch. 385.

4. οὐδεμία μηχανή = ἀμήχανον od. ἀδύνατόν ἐστι, daher τὸ διαφυγεῖν. Necyom. 2: ἃ μὰ τὸν Κέρβερον οὐδεμία μηχανὴ τὸ διαφυγεῖν αὐτούς. Herodot. I, 209, 3: οὐκ ὧν ἔστι μηχανὴ ἀπὸ τῆς ὄψιος ταύτης οὐδεμία τὸ μὴ κεῖνον ἐπιβουλεύειν ἐμοί. — φέρε.. εἴπατε. Vitar. auct. 26: ἄγε δή, ὠνήσασθε. Bis acc. 18: ἄγε δή, μὴ μέλλετε. Catapl. 21: ἄγε δή, ἀπόδοτε. — ἀμείλικτα, s. zu VI, 12, 2. — ἐπὶ θανάτῳ, **um mich zu tödten**. Dial. mort. 12, 3: τοὺς φίλους συνελάμβανεν ἐπὶ θανάτῳ. — ἅτινα.. τὰ δεινά = ἅτινά ἐστι τὰ δεινά, ἃ. Iup. Conf. 17: ἡλίκας μετὰ τὸν βίον οἱ πονηροὶ τὰς κολάσεις ὑπομένουσιν. S. zu V, 9, 4. — ἐξ ἀγορᾶς,

μέγιστον, ἐλευθέρους· ἐφ' οἷς ἀγανακτήσαντες ἀνεληλύθαμεν ἐπὶ σέ, παραιτησάμενοι πρὸς ὀλίγον τὸν Ἀϊδωνέα, Χρύσιππος οὑτοσὶ καὶ Ἐπίκουρος καὶ ὁ Πλάτων ἐγὼ καὶ Ἀριστοτέλης ἐκεινοσὶ καὶ ὁ σιωπῶν οὗτος Πυθαγόρας καὶ ὁ Διογένης καὶ ἅπαντες, ὅσους διέσυρες ἐν τοῖς λόγοις.

ΛΟΥΚ. Ἀνέπνευσα· οὐ γὰρ ἀποκτενεῖτέ με, ἢν μάθητε, ὁποῖος ἐγὼ περὶ ὑμᾶς ἐγενόμην· ὥστε ἀποῤῥίψατε τοὺς λίθους, μᾶλλον δὲ φυλάττετε. χρήσεσθε γὰρ αὐτοῖς κατὰ τῶν ἀξίων. 5

ΠΛΑΤ. Ληρεῖς. σὲ δὲ τήμερον χρὴ ἀπολωλέναι, καὶ ἤδη γε

λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ', ὅσσα ἔοργας.

ΛΟΥΚ. Καὶ μήν, ὦ ἄριστοι, ὃν ἐχρῆν μόνον ἐξ ἁπάντων ἐπαινεῖν οἰκεῖόν τε ὑμῖν ὄντα καὶ εὔνουν καὶ ὁμογνώμονα καί, εἰ μὴ φορτικὸν εἰπεῖν, κηδεμόνα τῶν ἐπιτηδευμάτων, εὖ ἴστε ἀποκτενοῦντες, ἢν ἐμὲ ἀποκτείνητε τοσαῦτα περὶ ὑμῶν πεπονηκότα. ὁρᾶτε οὖν μὴ τὸ τῶν νῦν φιλοσόφων αὐτοὶ ποιεῖτε, ἀχάριστοι καὶ ὀργίλοι καὶ ἀγνώμονες φαινόμενοι πρὸς ἄνδρα εὐεργέτην.

ΠΛΑΤ. Ὢ τῆς ἀναισχυντίας. καὶ χάριν σοι τῆς κακηγορίας προσοφείλομεν; οὕτως ὡς ἀνδραπόδοις ἀληθῶς οἴει διαλέγεσθαι καὶ εὐεργεσίαν καταλογιῇ πρὸς ἡμᾶς ἐπὶ τῇ τοσαύτῃ ὕβρει καὶ παροινίᾳ τῶν λόγων;

ΛΟΥΚ. Ποῦ γὰρ ἐγὼ ὑμᾶς ἢ πότε ὕβρικα, ὃς ἀεὶ φιλοσοφίαν τε θαυμάζων διατετέλεκα καὶ ὑμᾶς αὐτοὺς ὑπερεπαινῶν καὶ τοῖς λόγοις οὓς καταλελοίπατε ὁμιλῶν; αὐτὰ γοῦν ἃ φημι ταῦτα, πόθεν ἄλλοθεν ἢ παρ' ὑμῶν λαβὼν καὶ 6

vom Markte, d. i. zum Verkauf. Nigrin. 25: τὴν ἀρετὴν ὤνιον ὥσπερ ἐξ ἀγορᾶς προτιθέντων. Adv. indoct. 4: εἰ ὥσπερ ἐξ ἀγορᾶς ἦν πρίασθαι. Geschehen war dieses von Luc. in der *Βίων πρᾶσις* betitelten Schrift. — τὸ μέγιστον, *id quod maximum est.* Kr. Gr. §. 57, 10, 12. — παραιτησ. πρὸς ὀλ. τὸν Ἀϊδ., d. i. *commeatu brevi a Plutone impetrato.*

5. ἀνέπνευσα. Philopseud. 29: κἀγὼ μέν, ὡς εἶδον αὐτόν, ἀνέπνευσα. Vgl. Kr. Gr. §. 53, 6, 3. — περὶ ὑμᾶς, in Bezug auf euch. Ebenso Phalar. 1, 10: ἐρωτήσατε ὁποῖος ἐγὼ περὶ αὐτούς εἰμι. — μᾶλλον δέ, s. zu II, 5. — λάϊνον κτέ. Homerischer Vers, Il. 3, 57. — εἰ μὴ φορτικὸν εἰπεῖν, d. i. wenn es nicht gar zu plump klingt. Vgl. Alex. 20. — ἴστε ἀποκτενοῦντες, s. zu III, 5. Unten 44: ἐπ' ἄλλα γὰρ ἴστε κεκλημένοι. — περὶ ὑμῶν, s. zu V, 19, 2. — μὴ . . ποιεῖτε, s. zu V, 16, 2. — οὕτως, *adeone*, zur Bezeichnung des Unwillens. Toxar. 38: οὕτως ἄρα ἠγνόησας, ὅτι ἀνθρώποις μεῖζον οὐδέν ἐστι ζωῆς τε καὶ θανάτου; u. s. — παροινία τῶν λόγων, *ebria verborum petulantia.*

6. ἀεὶ . . θαυμάζων διατετέλεκα. Phalar. 1, 2: ἀεὶ διετέλουν δημο-

κατὰ τὴν μέλιτταν ἀπανθισάμενος ἐπιδείκνυμαι τοῖς ἀνθρώποις; οἱ δὲ ἐπαινοῦσι καὶ γνωρίζουσιν ἕκαστος τὸ ἄνθος ὅθεν καὶ παρ' ὅτου καὶ ὅπως ἀνελεξάμην, καὶ λόγῳ μὲν ἐμὲ ζηλοῦσι τῆς ἀνθολογίας, τὸ δ' ἀληθὲς ὑμᾶς καὶ τὸν λειμῶνα τὸν ὑμέτερον, οἳ τοιαῦτα ἐξηνθήκατε ποικίλα καὶ πολυειδῆ τὰς βαφάς, εἴ τις ἀναλέξασθαί τε αὐτὰ ἐπίσταιτο καὶ ἀναπλέξαι καὶ ἁρμόσαι, ὡς μὴ ἀπᾴδειν θάτερον θατέρου. ἔσθ' ὅστις οὖν ταῦτα εὖ πεπονθὼς παρ' ὑμῶν κακῶς ἂν εἰπεῖν ἐπιχειρήσειεν εὐεργέτας ἄνδρας, ἀφ' ὧν ἤδη τις εἶναι ἔδοξεν; ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἢ τὸν Εὔρυτον εἴη τὴν φύσιν, ὡς ταῖς Μούσαις ἀντᾴδειν, παρ' ὧν εἰλήφει τὴν ᾠδήν, ἢ τῷ Ἀπόλλωνι ἐριδαίνειν ἐναντία τοξεύων, καὶ ταῦτα δοτῆρι ὄντι τῆς τοξικῆς.

7 *ΠΛΑΤ. Τοῦτο μέν, ὦ γενναῖε, κατὰ τοὺς ῥήτορας εἴρηταί σοι· ἐναντιώτατον γοῦν ἐστί σοι τῷ πράγματι καὶ χαλεπωτέραν σου ἐπιδείκνυσι τὴν τόλμαν, εἴ γε τῇ ἀδικίᾳ καὶ ἀχαριστία πρόσεστιν, ὃς παρ' ἡμῶν τὰ τοξεύματα, ὡς φής, λαβὼν καθ' ἡμῶν ἐτόξευες, ἕνα τοῦτον ὑποθέμενος τὸν σκοπόν, ἅπαντας ἡμᾶς ἀγορεύειν κακῶς· τοιαῦτα παρὰ σοῦ ἀπειλήφαμεν ἀνθ' ὧν σοι τὸν λειμῶνα ἐκεῖνον ἀναπετάσαντες οὐκ ἐκωλύσαμεν δρέπεσθαι καὶ τὸ προκόλπιον*

τικὸν ἐμαυτὸν παρέχων. Epist. Saturn. 36: *ἀεὶ διετελοῦμεν οὕτως ποιοῦντες.* — *οἱ δὲ .. ἕκαστος*, Kr. Gr. §. 57, 8 A. Il. 7, 175: *οἱ δὲ κλῆρον ἐσημήναντο ἕκαστος.* ebend. 185 u. s. Oft *ἕκαστος* so appositiv. — *λόγῳ .. τὸ δ' ἀληθές.* Ebenso Harmonid. 3. *τὸ ἀληθές* für *τῇ ἀληθείᾳ*, in Wahrheit, u. so schon bei Thukyd. 6, 33, 2. — *ἐξηνθήκατε*, s. zu V, 20, 4. — *κακῶς εἰπεῖν.* Dieses die attische Aoristform zu *κακῶς ἀγορεύω.* Unten 15 unattisch: *ἠγόρευσε κακῶς.* — *ἀφ' ὧν*, d. i. von welchen er das hat, dass, durch welche. — *τὶς*, prägnant. Adv. Indoct. 1: *οἴει μὲν γὰρ ἐν παιδείᾳ καὶ αὐτὸς εἶναί τις δόξειν.* Conviv. 35: *οἰόμενοί τινες εἶναι ἀπὸ τῶν σχημάτων.* Hipp. 3 u. s. Kr. Gr. §. 51, 16, 12. Ebenso im Latein. *aliquis*, Iuven. 1, 73: *aude aliquid brevibus Gyaris et carcere dignum, si vis esse aliquis.* — *ἐκτὸς εἰ μή, nisi forte*, häufig bei Luc. vorkommende Formel. Ebenso bei Plutarch. *χωρὶς εἰ μή*, und *πλὴν εἰ μή* bei den Attikern. — *Θάμυριν.* Thamyris, ein thrakischer Barde, Sohn des Philammon und der Argiope, liess sich mit den Musen in einen Wettstreit ein, ward aber besiegt und seiner Augen wie seiner Kunst beraubt. Il. 2, 595 ff. Eurytos, Sohn des Melaneus und der Stratonike, König von Oechalia in Thessalien oder in Messenien (nach Späteren auf Euboea), ward von Apollon getödtet, weil er ihn zum Wettkampf im Bogenschiessen, worin er nach Späteren erst von Apollon unterrichtet worden war, herausgefordert hatte. — *ἐριδαίνειν*, episches Wort. Vielleicht Nachahmung des Apoll. Rhod. 1, 88:

Εὐρύτου, ᾧ πόρε τόξον Ἑκηβόλος· οὐδ' ἀπόνητο
δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.

7. *τοῦτο κτέ.* Der Sinn ist: was du da vorgebracht hast, sind nichts

ἐμπλησάμενον ἀπελθεῖν· ὥστε διά γε τοῦτο δίκαιος εἶ ἀποθανεῖν.

ΛΟΥΚ. Ὁρᾶτε; πρὸς ὀργὴν ἀκούετε καὶ οὐδὲν τῶν δικαίων προσίεσθε. καίτοι οὐκ ἂν ᾠήθην ποτέ, ὡς ὀργὴ Πλάτωνος ἢ Χρυσίππου ἢ Ἀριστοτέλους ἢ τῶν ἄλλων ὑμῶν καθίκοιτο ἄν, ἀλλά μοι ἐδοκεῖτε μόνοι δὴ πόρρω εἶναι τοῦ τοιούτου. πλὴν ἀλλὰ μὴ ἄκριτόν γε, ὦ θαυμάσιοι, μηδὲ πρὸ δίκης ἀποκτείνητέ με· ὑμέτερον γοῦν καὶ τοῦτο ἦν, μὴ βίᾳ μηδὲ κατὰ τὸ ἰσχυρότερον πολιτεύεσθαι, δίκῃ δὲ τὰ διάφορα διαλύεσθαι διδόντας λόγον καὶ δεχομένους ἐν τῷ μέρει. ὥστε δικαστὴν ἑλόμενοι κατηγορήσατε μὲν ὑμεῖς ἢ ἅμα πάντες ἢ ὅντινα ἂν χειροτονήσητε ὑπὲρ ἁπάντων, ἐγὼ δὲ ἀπολογήσομαι πρὸς τὰ ἐγκλήματα· καὶ ἢν μὲν ἀδικῶν φαίνωμαι καὶ τοῦτο περὶ ἐμοῦ γνῷ τὸ δικαστήριον, ὑφέξω δηλαδὴ τὴν ἀξίαν, ὑμεῖς δὲ βίαιον οὐδὲν τολμήσετε· ἢν δὲ τὰς εὐθύνας ὑποσχὼν καθαρὸς ὑμῖν καὶ ἀνεπίληπτος εὑρίσκωμαι, ἀφήσουσί με οἱ δικασταί, ὑμεῖς δὲ ἐς τοὺς ἐξαπατήσαντας ὑμᾶς καὶ παροξύναντας καθ' ἡμῶν τὴν ὀργὴν τρέψατε. 8

ΠΛΑΤ. Τοῦτ' ἐκεῖνο, ἐς πεδίον τὸν ἵππον, ὡς παρακρουσάμενος τοὺς δικαστὰς ἀπέλθῃς· φασὶ γοῦν ῥήτορά σε καὶ δικανικόν τινα εἶναι καὶ πανοῦργον ἐν τοῖς λόγοις. τίνα δὲ καὶ δικαστὴν ἐθέλεις γενέσθαι, ὅντινα μὴ σὺ δωροδοκήσας, οἷα πολλὰ ποιεῖτε, ἄδικα πείσεις ὑπὲρ σοῦ ψηφίσασθαι; 9

ΛΟΥΚ. Θαρρεῖτε τούτου γε ἕνεκα· οὐδένα τοιοῦτον διαιτητὴν ὕποπτον ἢ ἀμφίβολον ἀξιώσαιμ' ἂν γενέσθαι καὶ ὅστις ἀποδώσεταί μοι τὴν ψῆφον. ὁρᾶτε γοῦν, τὴν Φιλοσοφίαν αὐτὴν μεθ' ὑμῶν δικάστριαν ποιοῦμαι ἔγωγε.

als leere Worte, denen die That widerspricht. — *ἀνθ' ὧν*, s. zu V, 22, 1. — *διά γε τοῦτο*, eben deswegen. Ebenso Prometh. 16: *οὐκοῦν διά γε τοῦτο καὶ ὁ νομεὺς ἀχθέσθω* u. s. Vgl. Kr. Gr. §. 69, 15, 2.

8. *πρὸς ὀργήν*, d. i. *ad irae rationem*. Iup. conf. 5: *μὴ τραχέως μηδὲ πρὸς ὀργὴν ἀκούσῃς μου*. Toxar. 9: *μὴ πρὸς ἀχθηδόνα μου ἀκούσῃς* u. ö. — *μόνοι δή*, *δή* urgirt den Begriff von *μόνος*. — *κατὰ τὸ ἰσχυρότερον*, d. i. *prout quis robustior est*. — *ἐν τῷ μέρει*, an euerer Reihe, euererseits; ebenso unten 28. — *ἀδικῶν*, nicht *ἠδικηκώς*, s. Kr. Gr. 53, 1, 3. So häufig bei Luc. — *τὰς εὐθύνας ὑποσχών*, nach überstandener Rechenschaftsablegung, s. unser Wörterb. u. *εὔθυνα* 2).

9. *τοῦτ' ἐκεῖνο*, s. zu V, 8, 1. — *ἐς πεδίον τὸν ἵππον*. Plat. Theaet. p. 183 D: *ἱππέας ἐς πεδίον προκαλεῖ Σωκράτη ἐς λόγους προκαλούμενος*. Vgl. Luc. Soloec. 8. Sprichwörtliche Redensart 'das Pferd in die Ebene herausfordern', d. i. dahin, wo es seine Schnelligkeit am besten zeigen kann. Der Sinn ist: damit wäre dir gerade gedient, dann wärest du im Fahrwasser. — *ἀποδώσεται*, Kr. Gr. §. 52, 8, 6. — *δικάστριαν*, nur hier vorkommen-

ΠΛΑΤ. Καὶ τίς ἂν κατηγορήσειεν, εἴ γε ἡμεῖς δικάσομεν;

ΛΟΥΚ. Οἱ αὐτοὶ κατηγορεῖτε καὶ δικάζετε· οὐδὲν οὐδὲ τοῦτο δέδια. τοσοῦτον ὑπερφέρω τοῖς δικαίοις καὶ ἐκ περιουσίας ἀπολογήσασθαι ὑπολαμβάνω.

10 ΠΛΑΤ. Τί ποιῶμεν, ὦ Πυθαγόρα καὶ Σώκρατες; ἔοικε γὰρ οὐκ ἄλογα ὁ ἀνὴρ προκαλεῖσθαι ἀξιῶν.

ΣΩΚ. Τί δ' ἄλλο ἢ βαδίζωμεν ἐπὶ τὸ δικαστήριον καὶ τὴν Φιλοσοφίαν παραλαβόντες ἀκούσωμεν ὅ τι καὶ ἀπολογήσεται· τὸ πρὸ δίκης γὰρ οὐχ ἡμέτερον, ἀλλὰ δεινῶς ἰδιωτικόν, ὀργίλων τινῶν ἀνθρώπων καὶ τὸ δίκαιον ἐν τῇ χειρὶ τιθεμένων. παρέξομεν οὖν ἀφορμὰς τοῖς κακηγορεῖν ἐθέλουσι καταλεύσαντες ἄνδρα μηδὲ ἀπολογησάμενον ὑπὲρ ἑαυτοῦ, καὶ ταῦτα δικαιοσύνῃ χαίρειν αὐτοὶ λέγοντες. ἢ τί ἂν εἴποιμεν Ἀνύτου πέρι καὶ Μελήτου, τῶν ἐμοῦ κατηγορησάντων, ἢ τῶν τότε δικαστῶν, εἰ οὗτος τεθνήξεται μηδὲ τὸ παράπαν ὕδατος μεταλαβών;

ΠΛΑΤ. Ἄριστα παραινεῖς, ὦ Σώκρατες· ὥστε ἀπίωμεν ἐπὶ τὴν Φιλοσοφίαν. ἡ δὲ δικασάτω, καὶ ἡμεῖς ἀγαπήσομεν οἷς ἂν ἐκείνη διαγνῷ.

11 ΛΟΥΚ. Εὖ γε, ὦ σοφώτατοι· ἀμείνω ταῦτα καὶ νομιμώτερα. τοὺς μέντοι λίθους φυλάττετε, ὡς ἔφην· δεήσει γὰρ αὐτῶν μικρὸν ὕστερον ἐν τῷ δικαστηρίῳ. ποῦ δὲ τὴν Φιλοσοφίαν εὕροι τις ἄν; οὐ γὰρ οἶδα ἔνθα οἰκεῖ· καίτοι πολὺν ἐπλανήθην χρόνον ἀναζητῶν τὴν οἰκίαν, ὡς ξυγγενοί-

des Wort. — ὑπερφέρω τοῖς δικαίοις, übertreffe ich, bin ich überlegen durch das Gerechte. — ἐκ περιουσίας, ex abundanti, zum Ueberfluss. Ebenso ἐκ τοῦ περιόντος Amor. 33, wie schon Thukyd. 8, 46, 5.

10. ἔοικε . . ἀξιῶν. So findet sich öfter ἔοικα mit dem Nominat. des Partic. verbunden. Vitar. auct. 13: ὁ δέ τινα ἔοικε πενθῶν. Catapl. 3: τεταραγμένος γὰρ ἡμῖν ἔοικας. Iup. Trag. 14: ἡ γλῶττά μου πεπεδημένη ἔοικεν. Kr. Gr. §. 56, 4, 9. — τί δ' ἄλλο ἤ, häufig bei Luc. vorkommende elliptische Formel, vgl. Kr. Gr. §. 62, 3, 7. — ὅ τι καί, quid tandem. Unten 16: οὐχ ὁρῶ ἥντινα καὶ λέγεις u. s., s. zu IV, 9. — τὸ πρὸ δίκης, d. i. indicta causa damnare. — τὸ δίκ. ἐν τῇ χειρὶ τιθ., ius in manibus ponere, Faustrecht. Spätere Redensart. — Ἀνύτου π. κ. Μελήτου, s. zu Demon. 11. — τεθνήξεται, s. zu IV, 17. — ὕδατος μεταλαβών, d. i. dicendi potestatem habere. Unter ὕδωρ ist das in der Wasseruhr (κλεψύδρα) befindliche Wasser zu verstehen, womit den vor Gericht Sprechenden die Zeit zugemessen wurde. Vgl. unten 24. 28.

11. μικρὸν ὕστερον, s. zu IV, 11.

μην αὐτῇ. εἶτα ἐντυγχάνων ἂν τισι τριβώνια περιβεβλημένοις καὶ πώγωνας βαθεῖς καθειμένοις παρ' αὐτῆς ἐκείνης ἥκειν φάσκουσιν, οἰόμενος εἰδέναι αὐτοὺς ἀνηρώτων· οἱ δὲ πολὺ μᾶλλον ἐμοῦ ἀγνοοῦντες ἢ οὐδ' ὅλως ἀπεκρίνοντό μοι, ὡς μὴ ἐλέγχοιντο οὐκ εἰδότες, ἢ ἄλλην θύραν ἀντ' ἄλλης ἀπεδείκνυον. οὐδέπω γοῦν καὶ τήμερον ἐξευρεῖν δεδύνημαι τὴν οἰκίαν. πολλάκις δὲ αὐτὸς εἰκάσας ἢ ξεναγήσαντός τινος 12 ἧκον ἂν ἐπί τινας θύρας βεβαίως ἐλπίσας τότε γοῦν εὑρηκέναι, τεκμαιρόμενος τῷ πλήθει τῶν ἐσιόντων τε καὶ ἐξιόντων, ἁπάντων σκυθρωπῶν καὶ τὰ σχήματα εὐσταλῶν καὶ φροντιστικῶν τὴν πρόσοψιν· μετὰ τούτων οὖν ξυμπαραβυσθεὶς καὶ αὐτὸς ἐσῆλθον. εἶτα ἑώρων γύναιόν τι οὐχ ἁπλοϊκόν, εἰ καὶ ὅτι μάλιστα ἐς τὸ ἀφελὲς καὶ ἀκόσμητον ἑαυτὴν ἐρρύθμιζεν, ἀλλὰ κατεφάνη μοι αὐτίκα οὐδὲ τὸ ἄνετον δοκοῦν τῆς κόμης ἀκαλλώπιστον ἐῶσα οὐδὲ τοῦ ἱματίου τὴν ἀναβολὴν ἀνεπιτηδεύτως περιστέλλουσα· πρόδηλος δὲ ἦν κοσμουμένη αὐτοῖς καὶ πρὸς εὐπρέπειαν τῷ ἀθεραπεύτῳ δοκοῦντι προσχρωμένη. ὑπεφαίνετο δέ τι καὶ ψιμύθιον καὶ φῦκος καὶ τὰ ῥήματα πάντα ἑταιρικά· καὶ ἐπαινουμένη ὑπὸ τῶν ἐραστῶν ἐς κάλλος ἔχαιρε, καὶ εἰ δοίη τις, προχείρως ἐδέχετο, καὶ τοὺς πλουσιωτέρους ἂν παρακαθισαμένη πλησίον τοὺς πένητας τῶν ἐραστῶν οὐδὲ προσέβλεπε. πολλάκις δὲ καὶ γυμνωθείσης αὐτῆς κατὰ τὸ ἀκούσιον ἑώρων περιδέραια χρύσεα τῶν κλοιῶν παχύτερα. ἐπὶ πόδας οὖν εὐθὺς ἀνέστρεφον οἰκτείρας δηλαδὴ τοὺς κακοδαίμονας ἐκείνους οὐ τῆς ῥινός, ἀλλὰ τοῦ

— *ἐντυγχάνων ἂν .. ἀνηρώτων*, s. zu I, 2. Ebenso 12: *ἧκον ἄν*. und *τοὺς πλουσιωτέρους ἂν .. προσέβλεπε*. — *πώγωνας βαθεῖς καθειμένοις*, mit tief herabhängenden Bärten, s. zu V, 10, 8. — *ἐλέγχοιντο οὐκ εἰδότες*. Nigrin. 28: *ἵνα μὴ τὰ παρὰ δύναμιν ἐπιτάττων ἐλέγχηται*. Apol. 6: *ἠλέγχθης πίθηκος ὢν καὶ ἀπ' ἄκρου χείλους φιλοσοφῶν*. u. s., s. zu V, 29, 1. — *καὶ τήμερον*, d. i. bis auf den heutigen Tag. Die Formel *οὐδέπω καὶ τήμερον* findet sich oft bei Demosthenes.

12. *ξυμπαραβυσθείς*, nur bei Luc. vorkommendes Wort. — *κατεφάνη .. ἐῶσα*, s. zu IV, 12. — *τοῦ ἱματίου τὴν ἀναβολήν*. Ueber diese bei Luc. häufige Wortstellung s. zu V, 22, 3. — *αὐτοῖς* zu beziehen auf das Vorhergehende. — *ψιμύθιον*, *cerussa*, Bleiweiss, und *φῦκος*, *fucus*, eine rothe Schminke, gebrauchten die Hetären gewöhnlich. — *παρακαθισαμένη*, neben sich niedersitzen lassen. — *κατὰ τὸ ἀκούσιον*, s. zu VI, 14, 4. — *χρύσεα*. Diese ionischen Formen finden sich zuweilen bei Luc., Navig. 39: *χρύσεα ἐκπώματα*. Ver. hist. 2, 34: *χρύσεοι*. Ver. hist. 1, 40: *χάλκεον*. — *κλοιῶν*. Die attische Form ist *κλῳός*. — *ἐπὶ πόδας*, eigentl. nach den Füssen zu, das Gesicht dem Feinde zugekehrt. Die gewöhnliche Formel, die auch bei Luc. sonst steht, ist *ἐπὶ πόδα*. — *οὐ τῆς ῥινός, ἀλλὰ τοῦ πώγωνος ἑλκομ.*, s. über die-

πώγωνος ἑλκομένους πρὸς αὐτῆς καὶ κατὰ τὸν Ἰξίονα εἰδώλῳ ἀντὶ τῆς Ἥρας ξυνόντας.

13 *ΠΛΑΤ. Τοῦτο μὲν ὀρθῶς ἔλεξας· οὐδὲ γὰρ πρόδηλος οὐδὲ πᾶσι γνώριμος ἡ θύρα. πλὴν ἀλλὰ οὐδὲν δεήσει βαδίζειν ἐπὶ τὴν οἰκίαν· ἐνταῦθα γὰρ ἐν Κεραμεικῷ ὑπομενοῦμεν αὐτήν. ἡ δὲ ἤδη που ἀφίξεται ἐπανιοῦσα ἐξ Ἀκαδημείας, ὡς περιπατήσειε καὶ ἐν τῇ Ποικίλῃ· τοῦτο ὁσημέραι ποιεῖν ἔθος αὐτῇ· μᾶλλον δὲ ἤδη προσέρχεται. ὁρᾷς τὴν κόσμιον, τὴν ἀπὸ τοῦ σχήματος, τὴν προσηνῆ τὸ βλέμμα, τὴν ἐπὶ συννοίᾳ ἠρέμα βαδίζουσαν;*

ΛΟΥΚ. Πολλὰς ὁμοίας ὁρῶ τό τε σχῆμα καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολήν. καίτοι μία πάντως ἥ γε ἀληθὴς Φιλοσοφία ἐστὶν ἐν αὐταῖς.

ΠΛΑΤ. Εὖ λέγεις. ἀλλὰ δηλώσει ἥτις ἐστὶ φθεγξαμένη μόνον.

14 *ΦΙΛ. Παπαῖ· τί Πλάτων καὶ Χρύσιππος ἄνω καὶ Ἀριστοτέλης καὶ οἱ ἄλλοι πάντες, αὐτὰ δὴ τὰ κεφάλαιά μου τῶν μαθημάτων; τί αὖθις ἐς τὸν βίον; ἆρά τι ὑμᾶς ἐλύπει τῶν κάτω; ὀργιζομένοις γοῦν ἐοίκατε. καὶ τίνα τοῦτον ξυλλαβόντες ἄγετε; ἦ που τυμβωρύχος τις ἢ ἀνδροφόνος ἢ ἱερόσυλός ἐστι;*

ΠΛΑΤ. Νὴ Δί', ὦ Φιλοσοφία, πάντων γε ἱεροσύλων ἀσεβέστατος, ὃς τὴν ἱερωτάτην σὲ κακῶς ἀγορεύειν ἐπεχείρησε καὶ ἡμᾶς ἅπαντας, ὁπόσοι τι παρὰ σοῦ μαθόντες τοῖς μεθ' ἡμᾶς καταλελοίπαμεν.

ΦΙΛ. Εἶτα ἠγανακτήσατε λοιδορησαμένου τινός, καὶ

sen Genet. zu V, 21, 1. Vgl. Kr. Gr. II. §. 47, 12, 4. Dial. deor. 6, 2: *καὶ ἄγει σε καὶ φέρει τῆς ῥινός, φασίν, ἕλκων.* — *κατὰ τὸν Ἰξίονα.* Ixion, König der Lapithen, stellte der Hera nach, und Zeus bildete ein Nebelbild, das jener gleich war.

13. *ἐν Κεραμεικῷ.* In Athen waren zwei Plätze dieses Namens, in und ausserhalb der Stadt; der erstere, der hier zu verstehen, bildete den Aufweg zur Akropolis. — *Ἀκαδημείας*, s. oben zu Demon. 14. — *ὡς περιπατήσειε*, s. zu I, 4. — *Ποικίλῃ*, s. zu Demon. 14. — *μᾶλλον δέ*, s. zu II, 5. — *τὴν ἀπὸ τοῦ σχήματος*, d. i. *excellenti habitu*, die durch ihr Aeusseres sich bemerkbar macht. Ebenso Bis accus. 28: *τὸν γενειήτην ἐκεῖνον, τὸν ἀπὸ τοῦ σχήματος, τὸν Διάλογον.* Spätere Ausdrucksweise. Aehnlich *ὁ ἀπὸ λόγων* u. dgl. — *ἐπὶ συννοίᾳ*, zum Zweck des Nachdenkens, in Gedanken. Eurip. Orest. 632: *ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς;* Auch *ἐπὶ συννοίας*, Saturn. 11: *ἰδὼν γάρ με σκυθρωπόν, ἐπὶ συννοίας βαδίζοντα.*

14. *αὐτὰ δὴ τὰ κεφάλαιά μου τῶν μαθημάτων*, *ipsa disciplinae meae capita;* s. zu V, 20, 2. — *τυμβωρύχος*, Erzspitzbube. — *εἶτα*, s. zu V, 16, 1. Vgl. unten 15. 18.

ταῦτα εἰδότες ἐμέ, οἷα πρὸς τῆς Κωμῳδίας ἀκούουσα ἐν τοῖς Διονυσίοις ὅμως φίλην τε αὐτὴν ἥγημαι καὶ οὔτε ἐδικασάμην οὔτε ᾐτιασάμην προσελθοῦσα, ἐφίημι δὲ παίζειν τὰ εἰκότα καὶ τὰ ξυνήθη τῇ ἑορτῇ; οἶδα γάρ, ὡς οὐκ ἄν τι ὑπὸ σκώμματος χεῖρον γένοιτο, ἀλλὰ τοὐναντίον ὅπερ ἂν ᾖ καλόν, ὥσπερ τὸ χρυσίον ἀποσμώμενον τοῖς κόμμασι λαμπρότερον ἀποστίλβει καὶ φανερώτερον γίνεται. ὑμεῖς δ' οὐκ οἶδ' ὅπως ὀργίλοι καὶ ἀγανακτικοὶ γεγόνατε. τί δ' οὖν αὐτὸν ἄγχετε;

ΠΛΑΤ. Μίαν ἡμέραν ταύτην παραιτησάμενοι ἥκομεν ἐπ' αὐτόν, ὡς ὑπόσχῃ τὴν ἀξίαν ὧν δέδρακε· φῆμαι γὰρ ἡμῖν διήγγελλον οἷα ἔλεγεν ἐπιὼν ἐς τὰ πλήθη καθ' ἡμῶν.

ΦΙΛ. Εἶτα πρὸ δίκης οὐδὲ ἀπολογησάμενον ἀποκτενεῖτε; δῆλος γοῦν ἐστιν εἰπεῖν τι θέλων. 15

ΠΛΑΤ. Οὔκ, ἀλλ' ἐπὶ σὲ τὸ πᾶν ἀνεβαλόμεθα. καὶ σοὶ ἂν δοκῇ τοῦτο, ποιήσῃ τέλος τῆς δίκης.

ΦΙΛ. Τί φῂς σύ;

ΛΟΥΚ. Τοῦτο αὐτό, ὦ δέσποινα Φιλοσοφία, ἥπερ καὶ μόνη τἀληθὲς ἂν εὑρεῖν δύναιο· μόγις γοῦν εὑρόμην πολλὰ ἱκετεύσας τὸ σοὶ φυλαχθῆναι τὴν δίκην.

ΠΛΑΤ. Νῦν, ὦ κατάρατε, δέσποιναν αὐτὴν καλεῖς; πρῴην δὲ τὸ ἀτιμότατον Φιλοσοφίαν ἀπέφαινες ἐν τοσούτῳ θεάτρῳ ἀποκηρύττων κατὰ μέρη δύ' ὀβολῶν ἕκαστον εἶδος αὐτῆς τῶν λόγων.

ΦΙΛ. Ὁρᾶτε, μὴ οὐ Φιλοσοφίαν οὗτός γε, ἀλλὰ γόητας

— εἰδότες ἐμέ, οἷα κτέ., s. zu V, 9, 3. — οἷα πρὸς τῆς Κωμ. ἀκούουσα, Kr. Gr. §. 46, 12, 1. Vgl. unten 23. — ἐν τοῖς Διονυσίοις. An den Dionysien, den grossen oder städtischen, die im Monat Elaphebolion gefeiert wurden, führten die Tragödien- und Komödiendichter ihre Stücke auf. — ὅμως. Ueber ὅμ. nach vorhergehendem Partic. s. zu III, 17. — ἥγημαι. Ueber dieses Perf., das sich sonst bei Luc. nicht findet, s. Kr. Gr. II. §. 39 unter dem W. — ἀποσμώμενον, gereinigt. So noch Anachars 29: ἄλλως τε καὶ τὸν ῥύπον ἀποσμᾷ καὶ στιλπνότερον ποιεῖ τὸν ἄνδρα. — τοῖς κόμμασι, Hammerschläge, wodurch das Gold von Schlacken gereinigt wird. Wahrscheinlich ein Wortspiel mit σκώμματος. — οὐκ οἶδ' ὅπως, s. zu V, 15, 4. — ἀγανακτικοί, nur hier vorkommende Wortform. Vielleicht ist ἀγανακτητικοί zu schreiben. — ἐπιών. Das gewöhnliche Verbum vom Auftreten zum Reden ist παριέναι. Harmonid. 2: ἐς τὰ πλήθη παριών. Prometh. in v. 2 u. s. Indessen so schon bei Thukydides.

15. ἀνεβαλόμεθα, zur Entscheidung übertragen; nur hier so. — εὑρόμην, impetravi. — πρῴην, in der βίων πρᾶσις. — θεάτρῳ = ἐκκλησίᾳ. — κατὰ μέρη, per partes. — τῶν λόγων, Systeme. — μὴ . . ἠγόρευσε, s. zu V, 16,

ἄνδρας ἐπὶ τῷ ἡμετέρῳ ὀνόματι πολλὰ καὶ μιαρὰ πράττοντας ἠγόρευσε κακῶς.

ΠΛΑΤ. Εἴσῃ αὐτίκα, ἢν ἐθέλῃς ἀκούειν ἀπολογουμένου μόνου.

ΦΙΛ. Ἀπίωμεν ἐπ' Ἄρειον πάγον, μᾶλλον δὲ ἐς τὴν ἀκρόπολιν αὐτήν, ὡς ἂν ἐκ περιωπῆς ἅμα καταφανῆ πάντα 16 *εἴη τὰ ἐν τῇ πόλει. ὑμεῖς δέ, ὦ φίλαι, ἐν τῇ Ποικίλῃ τέως περιπατήσατε· ἥξω γὰρ ὑμῖν ἐκδικάσασα τὴν δίκην.*

ΛΟΥΚ. Τίνες δέ εἰσιν, ὦ Φιλοσοφία; πάνυ γάρ μοι κόσμιαι καὶ αὐταὶ δοκοῦσιν.

ΦΙΛ. Ἀρετὴ μὲν ἡ ἀνδρώδης αὕτη, Σωφροσύνη δὲ ἐκείνη καὶ Δικαιοσύνη ἡ παρ' αὐτήν. ἡ δὲ προηγουμένη Παιδεία, ἡ ἀμυδρὰ δὲ [αὕτη] καὶ ἀσαφὴς τὸ χρῶμα ἡ Ἀλήθειά ἐστιν.

ΛΟΥΚ. Οὐχ ὁρῶ ἥντινα καὶ λέγεις.

ΦΙΛ. Τὴν ἀκαλλώπιστον ἐκείνην οὐχ ὁρᾷς, τὴν γυμνήν, τὴν ὑποφεύγουσαν ἀεὶ καὶ διολισθάνουσαν;

ΛΟΥΚ. Ὁρῶ νῦν μόγις. ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις, ὡς πλῆρες γένοιτο καὶ ἐντελὲς τὸ ξυνέδριον; τὴν Ἀλήθειαν δέ γε καὶ ξυνήγορον ἀναβιβάσασθαι πρὸς τὴν δίκην βούλομαι.

ΦΙΛ. Νὴ Δία, ἀκολουθήσατε καὶ ὑμεῖς· οὐ χαλεπὸν δικάσαι δίκην, καὶ ταῦτα περὶ τῶν ἡμετέρων ἐσομένην.

17 *ΑΛΗΘ. Ἄπιτε ὑμεῖς· ἐγὼ γὰρ οὐδὲν δέομαι ἀκούειν ἃ πάλαι οἶδα ὁποῖά ἐστιν.*

ΦΙΛ. Ἀλλὰ ἡμῖν, ὦ Ἀλήθεια, ἐν δέοντι ξυνδικάζοις ἄν, ὡς καὶ καταμηνύοις ἕκαστα.

ΑΛΗΘ. Οὐκοῦν ἐπάγωμαι καὶ τὼ θεραπαινιδίω τούτω συνοικοτάτω μοι ὄντε;

ΦΙΛ. Καὶ μάλα ὁπόσας ἂν ἐθέλῃς.

ΑΛΗΘ. Ἕπεσθον, ὦ Ἐλευθερία καὶ Παρρησία, μεθ' ἡμῶν, ὡς τὸν δείλαιον τουτονὶ ἀνθρωπίσκον, ἐραστὴν ἡμε-

2. Ueber den Aorist. s. oben zu 6. — *γόητας ἄνδρας*. Für *ἄνδρας* sollte man *ἀνθρώπους* erwarten, wie auch Luc. anderwärts sagt; s. Kr. Gr. §. 57, 1, 1. — *Ἄρειον πάγον*, der Areshügel lag nordwestlich der Akropolis gegenüber. — *ὡς ἂν .. εἴη*, s. zu V, 4, 2.

16. *ἥξω γὰρ ὑμῖν*, s. zu IV, 24. — *ἀμυδρὰ δὲ καὶ ἀσαφής*. Warum hat die Wahrheit diese und die folgenden Eigenschaften? — *τί οὐχὶ .. ἄγεις*, s. zu II, 31. — *δέ γε*, aber wenigstens, s. zu III, 19. — *οὐ χαλεπόν*, *non molestum*.

17. *ἐν δέοντι*, *opportune*. Alexand. 57: *οὐκ ἐν δέοντι θρασυνάμενος*. Kr. Gr. §. 43, 4, 5. — *ἕπεσθον .. μεθ' ἡμῶν*. Diese Verbindung findet sich auch sonst bei

τερον ὄντα κινδυνεύοντα ἐπ' οὐδεμιᾷ προφάσει δικαίᾳ σῶσαι δυνηθῶμεν· σὺ δέ, ὦ Ἔλεγχε, αὐτοῦ περίμενε.

ΛΟΥΚ. Μηδαμῶς, ὦ δέσποινα, ἡκέτω δὲ καὶ οὗτος, εἰ καί τις ἄλλος· οὐ γὰρ τοῖς τυχοῦσι θηρίοις προσπολεμῆσαι δεήσει με, ἀλλ' ἀλαζόσιν ἀνθρώποις καὶ δυσελέγκτοις, ἀεί τινας ἀποφυγὰς εὑρισκομένοις, ὥστε ἀναγκαῖος ὁ Ἔλεγχος.

ΦΙΛ. Ἀναγκαιότατος μὲν οὖν· ἄμεινον δέ, εἰ καὶ τὴν Ἀπόδειξιν παραλάβοις.

ΑΛΗΘ. Ἕπεσθε πάντες, ἐπείπερ ἀναγκαιότατοι δοκεῖτε πρὸς τὴν δίκην.

ΑΡΙΣΤΟΤΕΛΗΣ. Ὁρᾷς; προσεταιρίζεται καθ' ἡμῶν, 18 ὦ Φιλοσοφία, τὴν Ἀλήθειαν.

ΦΙΛ. Εἶτα δέδιτε, ὦ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, μή τι ψεύσηται ὑπὲρ αὐτοῦ Ἀλήθεια οὖσα;

ΠΛΑΤ. Οὐ τοῦτο, ἀλλὰ δεινῶς πανοῦργός ἐστι καὶ κολακικός· ὥστε παραπείσει αὐτήν.

ΦΙΛ. Θαρρεῖτε· οὐδὲν μὴ γένηται ἄδικον, Δικαιοσύνης ταύτῃ ξυμπαρούσης. ἀνίωμεν οὖν. ἀλλὰ εἰπέ μοι σύ, τί σοι 19 τοὔνομα;

ΛΟΥΚ. Ἐμοὶ Παρρησιάδης Ἀληθίωνος τοῦ Ἐλεγξικλέους.

ΦΙΛ. Πατρὶς δέ;

ΛΟΥΚ. Σύρος, ὦ Φιλοσοφία, τῶν Ἐπευφρατιδίων. ἀλλὰ τί τοῦτο; καὶ γὰρ τούτων τινὰς οἶδα τῶν ἀντιδίκων οὐχ ἧττον ἐμοῦ βαρβάρους τὸ γένος· ὁ τρόπος δὲ καὶ ἡ παιδεία οὐ κατὰ Σολέας ἢ Κυπρίους ἢ Βαβυλωνίους ἢ Σταγειρίτας. καίτοι πρός γε σὲ οὐδὲν ἂν ἐλάττων γένοιτο οὐδ' εἰ

Luc., vgl. Navig. 1. ἀκολούθει μεθ' ἡμῶν ebend. 30. u. s. Kr. Gr. §. 48, 7, 12. — εἰ καί τις ἄλλος, wenn sonst noch irgend einer, d. i. dieser, der Ἔλεγχος, zumeist. So εἰ καί τις ἄλλος Dial. meretr. 5, 1. Bis accus. 21. Phal. 1, 1. De saltat. 63 u. s. — τοῖς τυχοῦσι, den ersten besten, gewöhnlichen, vgl. zu V, 27, 7.

18. οὐδὲν μὴ γένηται ἄδικον, d. i. *nihil prorsus iniustum fiet.* Philopseud. 40: ἡμᾶς οὐδὲν μὴ ταράξῃ τῶν κενῶν καὶ ματαίων τούτων ψευσμάτων. Dial. mar. 6, 3: θάρρει· οὐδὲν δεινὸν μὴ πάθῃς. Kr. Gr. §. 53, 7, 6.

19. Παρρησιάδης Ἀληθ. τοῦ Ἐλεγξ. Beachte die Bedeutung dieser erdichteten Namen, die Luc. sich, seinem Vater und Grossvater gibt. — Σύρος. Lucian war gebürtig aus Samosata, der Hauptstadt der syr. Provinz Kommagene. — ἀλλὰ τί τοῦτο; *at quid hoc ad rem?* Kr. Gr. §. 62, 3, 11. — καὶ γάρ, denn auch; s. zu II, 51. — ὁ τρόπος δὲ καὶ ἡ παιδεία, näml. τῶν ἀντιδίκων. — κατὰ Σολέας. Soloi in Kilikien war Vaterstadt des Chrysippos. Aus Kition auf Kypros stammte Zenon. Βαβυλωνίους bezieht sich auf den Stoiker Diogenes, der zu Seleukeia am

τὴν φωνὴν βάρβαρος εἴη τις, εἴπερ ἡ γνώμη ὀρθὴ καὶ δικαία φαίνοιτο οὖσα.

20 ΦΙΛ. Εὖ λέγεις· ἄλλως γοῦν τοῦτο ἠρόμην. ἡ τέχνη δέ σοι τίς; ἄξιον γὰρ ἐπίστασθαι τοῦτό γε.

ΛΟΥΚ. Μισαλαζών εἰμι καὶ μισογόης καὶ μισοψευδὴς καὶ μισότυφος καὶ μισῶ πᾶν τὸ τοιουτῶδες εἶδος τῶν μιαρῶν ἀνθρώπων· πάνυ δὲ πολλοί εἰσιν, ὡς οἶσθα.

ΦΙΛ. Ἡράκλεις, πολυμισῆ τινα μέτει τὴν τέχνην.

ΛΟΥΚ. Εὖ λέγεις· ὁρᾷς γοῦν, ὁπόσοις ἀπεχθάνομαι καὶ ὡς κινδυνεύω δι' αὐτήν. οὐ μὴν ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ πάνυ ἀκριβῶς οἶδα, λέγω δὲ τὴν ἀπὸ τοῦ φιλο τὴν ἀρχὴν ἔχουσαν· φιλαλήθης τε γὰρ καὶ φιλόκαλος καὶ φιλαπλοϊκὸς καὶ ὅσα τῷ φιλεῖσθαι ξυγγενῆ· πλὴν ἀλλ' ὀλίγοι πάνυ ταύτης ἄξιοι τῆς τέχνης. οἱ δὲ ὑπὸ τῇ ἐναντίᾳ ταττόμενοι καὶ τῷ μίσει οἰκειότεροι πεντακισμύριοι. κινδυνεύω τοιγαροῦν τὴν μὲν ὑπ' ἀργίας ἀπομαθεῖν ἤδη, τὴν δὲ πάνυ ἠκριβωκέναι.

ΦΙΛ. Καὶ μὴν οὐκ ἐχρῆν· τοῦ γὰρ αὐτοῦ καὶ τάδε, φασί, καὶ τάδε· ὥστε μὴ διαίρει τὼ τέχνα· μία γὰρ ἐστὸν δύ' εἶναι δοκοῦσαι.

ΛΟΥΚ. Ἄμεινον σὺ ταῦτα οἶσθα, ὦ Φιλοσοφία. τὸ μέντοι ἐμὸν τοιοῦτόν ἐστιν, οἷον τοὺς μὲν πονηροὺς μισεῖν, ἐπαινεῖν δὲ τοὺς χρηστοὺς καὶ φιλεῖν.

21 ΦΙΛ. Ἄγε δή, πάρεσμεν γὰρ ἔνθα ἐχρῆν· ἐνταῦθά που

Tigris geboren war und den Beinamen 'der Babylonier' hatte. Stageira in Makedonien endlich war der Geburtsort des Aristoteles.

20. ἄλλως, nur so, *temere*, wie Göttergespr. 14 (20), 3. — τοῦτό γε. Oftmals steht οὗτός γε so am Ende des Satzes mit Nachdruck. Tim. 6: ἀνιαρότερον γὰρ τοῦτό γε. Dial. mort. 6, 2: ἄνω γὰρ ποταμῶν τοῦτό γε. Alexand. 43: οὐ θέμις ἀκοῦσαί σε τοῦτό γε. u. s. — μισαλαζών .. μισότυφος. Von Luc. gebildete Zusammensetzungen. — τοιουτῶδες, spätes Wort. — πολυμισῆ τινα μέτει τὴν τέχνην, d. i. ἡ τέχνη, ἣν μέτει, πολυμισής τίς ἐστι. S. zu I, 1. Das Adiect. πολυμ. nur hier. — οὐ μὴν ἀλλά, s. zu VI, 14, 14. — ἀπὸ τοῦ φιλο. Aristoph. vesp. 77: οὔκ, ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ. — φιλαπλοϊκός, nur hier. — ὀλίγοι πάνυ, s. zu VI, 7. — ὑπὸ τῇ ἐναντίᾳ ταττόμενοι, s. zu II, 31. — τοιγαροῦν, an zweiter Stelle, wie hier, Dial. deor. 1, 2. Dial. mort. 10, 3 u. s. — τοῦ γὰρ αὐτοῦ κτἑ. Eine sprichwörtliche Redensart, etwa dem Deutschen: das Eine thun und das Andere nicht lassen, entsprechend. Geist. — δοκοῦσαι, man sollte δοκούσα, oder vielleicht, wie Cobet will, δοκοῦντε erwarten. — τὸ ἐμόν, Kr. Gr. §. 43, 4, 26. — οἷον .. μισεῖν, ἐπαινεῖν. Hermotim. 76: εἴ τινι ἐντετύχηκας Στωικῷ τοιούτῳ, οἵῳ μήτε λυπεῖσθαι κτἑ. Charidem. 8: ἑτέρου τινὸς ὑποκρίνεται σχῆμα, καὶ τούτου καλλίστου, καὶ οἷον τὸν ὁρῶντα προσαγαγέσθαι. Anach. 32. u. ö. Kr. Gr. §. 55, 3, 5.

ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν. ἡ ἱέρεια, διάθες ἡμῖν τὰ βάθρα, ἡμεῖς δὲ ἐν τοσούτῳ προσκυνήσωμεν τῇ θεῷ.

ΛΟΥΚ. Ὦ Πολιάς, ἐλθέ μοι κατὰ τῶν ἀλαζόνων σύμμαχος ἀναμνησθεῖσα ὁπόσα ἐπιορκούντων ὁσημέραι ἀκούεις αὐτῶν· καὶ ἃ πράττουσι δέ, μόνη ὁρᾷς ἅτε δὴ ἐπίσκοπος οὖσα. νῦν καιρὸς ἀμύνασθαι αὐτούς. ἐμὲ δὲ ἤν που κρατούμενον ἴδῃς κἂν πλείους ὦσιν αἱ μέλαιναι, σὺ προσθεῖσα τὴν σαυτῆς σῷζέ με.

ΦΙΛ. Εἶεν· ἡμεῖς μὲν ὑμῖν καὶ δὴ καθήμεθα ἕτοιμοι 22 ἀκούειν τῶν λόγων, ὑμεῖς δὲ προελόμενοί τινα ἐξ ἁπάντων, ὅστις ἄριστα κατηγορήσειν δοκεῖ, ξυνείρετε τὴν κατηγορίαν καὶ διελέγχετε· πάντας γὰρ ἅμα λέγειν ἀμήχανον. σὺ δέ, ὦ Παρρησιάδη, ἀπολογήσῃ τὸ μετὰ τοῦτο.

ΧΡΥΣΙΠΠΟΣ. Τίς οὖν ἂν ἐπιτηδειότατος ἐξ ἡμῶν γένοιτο πρὸς τὴν δίκην σοῦ, ὦ Πλάτων; ἥ τε γὰρ μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ καὶ τὸ κεχαρισμένον καὶ πειθοῦς μεστὸν ἥ τε ξύνεσις καὶ τὸ ἀκριβὲς καὶ τὸ ἐπαγωγὸν ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν· ὥστε τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. νῦν ἀναμνήσθητι πάντων ἐκείνων καὶ ξυμφόρει ἐς τὸ αὐτό, εἴ τί σοι πρὸς Γοργίαν ἢ Πῶλον ἢ

21. τῆς Πολιάδος, Beiname der Athene als Schutzgöttin der Stadt. — ἡ ἱέρεια, s. zu V, 10, 4. — προσκυνήσωμεν τῇ θεῷ. Gewöhnlich wird προσκυνεῖν, wie auch sonst bei Luc., nur mit dem Accusat. verbunden; mit dem Dativ erst bei einigen Späteren. — καὶ ἃ πρ. δέ, s. zu II, 33. — ἅτε δή, s. zu II, 21. De merc. cond. 23: ἅτε δὴ μὴ ἐκ παίδων τῇ δουλείᾳ ξυντραφείς. — αἱ μέλαιναι, näml. ψῆφοι. Die weissen (λευκαί) oder ganzen (πλήρεις) Stimmsteine sprachen frei, die schwarzen oder durchlöcherten (τετρυπημέναι) verurtheilten. Gleichheit der Stimmen sprach frei. — πλείους, d. i. um einen mehr. Ebenso wurde Orestes dadurch, dass Athene ihren Stimmstein zulegte und so gleiche Stimmenzahl entstand, frei gesprochen. Dieses ist der *calculus Minervae*. Harmonid. 3: ὥστε ἤν που καὶ νῦν ἐμοὶ ἐς τὸ χεῖρον ῥέπωσιν αἱ ψῆφοι ἐν τῷ λόγῳ καὶ ἐλάττους ὦσιν αἱ ἀμείνους, σὺ τὴν τῆς Ἀθηνᾶς προστιθεὶς ἀνάπληρον τὸ ἐνδέον παρὰ σεαυτοῦ. [Vgl. G. Hermanns Recens. von K. O. Müllers Eumen. des Aeschyl. S. 189 fg.]

22. καὶ δή, s. zu VII, 9. — τὸ μετὰ τοῦτο, s. zu VII, 29. — ἐπιτηδειότατος, scheinbar für den Comparativ; vgl. Od. 11, 482: σεῖο, Ἀχιλλεῦ, οὔ τις ἀνὴρ προπάροιθε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω [Bekker hat hier, wie an unserer Stelle, den Compar. gesetzt.] Kr. Gr. II. §. 49, 10, 5. — τὸ κεχαρισμένον = ἡ χάρις, s. zu I, 8. — προηγορίαν, das Sprechen für Andere. Nur hier vorkommendes Wort. — ἐς τὸ αὐτό, *in unum*, wie oft bei Livius. Iup. conf. 14: ἄρνεια κρέα καὶ χελώνην ἐς τὸ αὐτὸ ἕψων. Alciphr. 3, 67, 2: εἰς ταὐτὸν συνελθόντες. Häufiger findet sich ἐν τῷ

Ἱππίαν ἢ Πρόδικον εἴρηται· δεινότερος οὗτος. ἐπίπαττε οὖν καὶ τῆς εἰρωνείας καὶ τὰ κομψὰ ἐκεῖνα καὶ συνεχῆ ἐρώτα, κἄν σοι δοκῇ, κἀκεῖνό που παράβυσον, ὡς ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων ἀγανακτήσειεν ἄν, εἰ μὴ οὗτος ὑπόσχοι τὴν δίκην.

23 ΠΛΑΤ. Μηδαμῶς, ἀλλά τινα τῶν σφοδροτέρων προχειρισώμεθα, Διογένην τοῦτον ἢ Ἀντισθένην ἢ Κράτητα ἢ καὶ σέ, ὦ Χρύσιππε· οὐ γὰρ δὴ κάλλους ἐν τῷ παρόντι καὶ δεινότητος συγγραφικῆς ὁ καιρός, ἀλλά τινος ἐλεγκτικῆς καὶ δικανικῆς παρασκευῆς· ῥήτωρ δὲ ὁ Παρρησιάδης ἐστίν.

ΔΙΟΓ. Ἀλλ' ἐγὼ αὐτοῦ κατηγορήσω· καὶ γὰρ οὐδὲ πάνυ μακρῶν οἴομαι τῶν λόγων δεῖσθαι. καὶ ἄλλως δὲ ὑπὲρ ἅπαντας ὕβρισμαι δύ' ὀβολῶν πρῴην ἀποκεκηρυγμένος.

ΠΛΑΤ. Ὁ Διογένης, ὦ Φιλοσοφία, ἐρεῖ τὸν λόγον ὑπὲρ ἁπάντων. μέμνησο δέ, ὦ γενναῖε, μὴ τὰ σεαυτοῦ μόνον πρεσβεύειν ἐν τῇ κατηγορίᾳ, τὰ κοινὰ δὲ ὁρᾶν· εἰ γάρ τι καὶ πρὸς ἀλλήλους διαφερόμεθα ἐν τοῖς λόγοις, σὺ δὲ τοῦτο μὲν μὴ ἐξέταζε, μηδ' ὅστις ἐστὶν ὁ ἀληθέστερος νῦν λέγε, ὅλως δὲ ὑπὲρ φιλοσοφίας αὐτῆς ἀγανάκτει περιυβρισμένης καὶ κακῶς ἀκουούσης ἐν τοῖς Παρρησιάδου λόγοις, καὶ τὰς προαιρέσεις ἀφείς, ἐν αἷς διαλλάττομεν, ὃ κοινὸν ἅπαντες ἔχομεν, τοῦτο ὑπερμάχει. ὁρᾷς δέ, μόνον σὲ προεστησάμεθα

αὐτῷ. Kr. Gr. §. 43, 4, 2. — Γοργίαν. Gorgias aus Leontini auf Sicilien, geboren um das Jahr 483 v. Chr., gest. wahrsch. 375, in der Philosophie Schüler des Empedokles, Lehrer des Isokrates, einer der berühmtesten Redner und Sophisten, gegen den der gleichnamige Dialog des Platon gerichtet ist. — Πῶλον. Polos aus Akragas, der Lieblingsschüler des Gorgias, wegen seiner Jagd nach rhetorischen Schnörkeleien oft von Platon getadelt. — Ἱππίαν. Hippias, ein dünkelhafter Sophist aus Elis, den Platon in den bekannten Dialogen persiflirt. — Πρόδικον. Prodikos berühmter Sophist von der Insel Keos, der sich viel mit Synonymik beschäftigte. — δεινότερος οὗτος, näml. Λουκιανός. — ἐπίπαττε τῆς εἰρωνείας. Apol. pro merc. cond. 2: ἐπιπάττειν τῶν φαρμάκων. Rhet. praec. 16: ἐπίπαττε αὐτῶν. Iup. trag. 35: ἐπίχει τῶν βλασφημιῶν. Diss. c. Hes. 7: ἐπιφορεῖν τῆς γῆς αὐτοῖς. Kr. Gr. §. 47, 15, 3. — ὡς ὁ μέγας κτἑ. Anspielung auf Plat. Phaedr. p. 246E: ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς ἐλαύνων πτηνὸν ἅρμα. Vgl. Bis acc. 33. Rhet. praec. 26.

23. Ἀντισθένην, Stifter der kynischen Sekte, Schüler des Sokrates. Krates aus Thebae, Schüler des Diogenes. — ἀλλ' ἐγώ, s. zu II, 36. — ὑπὲρ ἅπαντας, d. i. mehr als alle. Hermot. 53: αὐτὸς εἰδέναι τἀληθὲς ὑπὲρ τοὺς ἄλλους διατεινόμενος. u. ö. — τὰ σεαυτοῦ πρεσβεύειν, d. i. *tuas res agere*. Ueber den Infinit. s. zu IV, 7. — ὁρᾶν, *respicere*. Hermotim. 22: οὐ γὰρ οὔτε χρυσίον ἔτι οὔτε ἡδονὰς οὔτε δόξας ὁρῶσιν. — σὺ δέ, s. zu II, 57. — τὰς προαιρέσεις, die Lehrsätze. — τοῦτο ὑπερμάχει. Auf-

καὶ ἐν σοὶ τὰ πάντων ἡμῶν νῦν κινδυνεύεται, ἢ σεμνότατα δόξαι ἢ τοιαῦτα πιστευθῆναι οἷα οὗτος ἀπέφηνε.

ΔΙΟΓ. Θαρρεῖτε, οὐδὲν ἐλλείψομεν, ὑπὲρ ἁπάντων ἐρῶ. 24 κἂν ἡ Φιλοσοφία δὲ πρὸς τοὺς λόγους ἐπικλασθεῖσα — φύσει γὰρ ἥμερος καὶ πρᾶός ἐστιν — ἀφεῖναι διαβουλεύηται αὐτόν, ἀλλ' οὐ τἀμὰ ἐνδεήσει· δείξω γὰρ αὐτῷ, ὅτι μὴ μάτην ξυλοφοροῦμεν.

ΦΙΛ. Τοῦτο μὲν μηδαμῶς, ἀλλὰ τῷ λόγῳ μᾶλλον — ἄριστον γάρ — ἤπερ τῷ ξύλῳ. μὴ μέλλε δ' οὖν. ἤδη γὰρ ἐκκέχυται τὸ ὕδωρ καὶ πρὸς σὲ τὸ δικαστήριον ἀποβλέπει.

ΛΟΥΚ. Οἱ λοιποὶ καθιζέσθωσαν, ὦ Φιλοσοφία, καὶ ψηφοφορείτωσαν μεθ' ὑμῶν, Διογένης δὲ κατηγορείτω μόνος.

ΦΙΛ. Οὐ δέδιας οὖν, μή σου καταψηφίσωνται;

ΛΟΥΚ. Οὐδαμῶς· πλείοσι γοῦν κρατῆσαι βούλομαι.

ΦΙΛ. Γενναῖά σου ταῦτα· καθίσατε δ' οὖν. σὺ δ', ὦ Διόγενες, λέγε.

ΔΙΟΓ. Οἷοι μὲν ἡμεῖς ἄνδρες ἐγενόμεθα παρὰ τὸν 25 βίον, ὦ Φιλοσοφία, πάνυ ἀκριβῶς οἶσθα καὶ οὐδὲν δεῖ λόγων· ἵνα γὰρ τὸ κατ' ἐμὲ σιωπήσω, ἀλλὰ Πυθαγόραν τοῦ-

fällig ist der Accusat.; wahrscheinlich muss es τούτου heissen. — ἐν σοὶ.. κινδυνεύεται. Iup. trag. 4: *ἐν στενῷ παντάπασι τὰ ἡμέτερα, ἐν ἑνὶ ἀνδρὶ κινδυνευόμενα.* So schon Thukyd. 2, 35: *ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι.* u. A. Vgl. Cic. Catil. 1, 5, 11: *non est saepius in uno homine summa salus periclitanda reipublicae.* Ueber κινδυνεύεται s. Kr. Gr. §. 52, 3, 4.

24. πρὸς τοὺς λόγους ἐπικλ., s. zu I, 16. Toxar. 26: *ἡ βουλὴ ἐπικλασθεῖσα πρὸς τὸ βρέφος.* Navig. 20: *πρὸς τὴν οἰμωγὴν αὐτῶν ἐπικλασθέντας τοὺς θεούς.* — ἀφεῖναι διαβουλεύηται αὐτόν, d. i. *de dimittendo eo consilia agitet.* διαβουλεύεσθαι in der Bedeutung von διανοεῖσθαι mit dem Infinit., wofür sich sonst kein Beispiel findet. — ἀλλά, wenigstens. Toxar. 3: *εἰ γὰρ μὴ ἀντὶ τούτων Ὀρέστην καὶ Πυλάδην τιμᾶτε, ἀλλ' εἰπέ, τί ἄλλο ἀγαθὸν ὑμᾶς εἰργάσαντο.* So bereits Homer., Il. 8, 153: *εἴπερ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει, ἀλλ' οὐ πείσονται* Τρῶες καὶ Δαρδανίωνες. u. ö. Kr. Gr. §. 69, 4, 5. — ξυλοφοροῦμεν. Nur hier vorkommendes Wort. — τοῦτο μὲν μηδαμῶς, s. zu Demon. 51. — ἐκκέχυται τὸ ὕδωρ, *aqua effusa est,* näml. *in clepsydram.* S. oben zu c. 10. Wegen ἐκκέχυται s. zu IV, 22. Ebenso Pro imag. 15: *οὔτε ὕδατος ἡμῖν ἐκχυθέντος οὔτε ἀπολογίας ἀποδοθείσης.* 29: *μακρὰ εἴρηταί σοι ταῦτα καὶ ὑπὲρ τὸ ὕδωρ τὸ ἐκκεχυμένον.* Dagegen ὕδωρ ἐγχεῖται Abdicat. 8. τὸ ὕδωρ ἔγχει Bis accus. 15. Vgl. unten 28. — καθιζέσθωσαν, ψηφοφορείτωσαν, Kr. Gr. §. 30, 4, 2. Vgl. θαπτέτωσαν Dial. deor. 25, 3. καταδιαιτησάτωσαν Deor. conc. 18. u. s. — πλείοσι, näml. ψήφοις. Ebenso unten 39: *ταῖς πάσαις κρατεῖς.* Bis acc. 18: *πάσαις ἡ Ἀκαδήμεια κρατεῖ πλὴν μιᾶς.* Wie ist der Comparat. zu erklären? — γενναῖά σου ταῦτα, s. zu II, 53.

25. παρὰ τὸν βίον, s. zu II, 50. — τὸ κατ' ἐμέ, Kr. Gr. §. 43, 4, 21. — ἀλλά. So steht ἀλλά häufig, wann nach Uebergehung einer min-

τον καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Χρύσιππον καὶ τοὺς ἄλλους τίς οὐκ οἶδεν ὅσα ἐς τὸν βίον καλὰ ἐσεκομίσαντο; ἃ δὲ τοιούτους ὄντας ἡμᾶς ὁ τρισκατάρατος οὗτος Παρρησιάδης ὕβρικεν, ἤδη ἐρῶ· ῥήτωρ γάρ τις, ὥς φησιν, ὤν, ἀπολιπὼν τὰ δικαστήρια καὶ τὰς ἐν ἐκείνοις εὐδοκιμήσεις, ὁπόσον ἢ δεινότητος ἢ ἀκμῆς ἐπεπόριστο ἐν τοῖς λόγοις, τοῦτο πᾶν ἐφ' ἡμᾶς συσκευασάμενος οὐ παύεται μὲν ἀγορεύων κακῶς, γόητας καὶ ἀπατεῶνας ἀποκαλῶν, τὰ πλήθη δὲ ἀναπείθων καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς τὸ μηδὲν ὄντων· μᾶλλον δὲ καὶ μισεῖσθαι πρὸς τῶν πολλῶν ἤδη πεποίηκεν αὐτούς τε ἡμᾶς καὶ σὲ τὴν Φιλοσοφίαν, φληνάφους καὶ λήρους ἀποκαλῶν τὰ σὰ καὶ τὰ σπουδαιότατα ὧν ἡμᾶς ἐπαίδευσας ἐπὶ χλευασμῷ διεξιών, ὥστε αὐτὸν μὲν κροτεῖσθαι καὶ ἐπαινεῖσθαι πρὸς τῶν θεατῶν, ἡμᾶς δὲ ὑβρίζεσθαι· φύσει γὰρ τοιοῦτόν ἐστιν ὁ πολὺς λεώς, χαίρουσιν ἀποσκώπτουσι καὶ λοιδορουμένοις, καὶ μάλισθ' ὅταν τὰ σεμνότατα εἶναι δοκοῦντα διασύρηται, ὥσπερ ἀμέλει καὶ πάλαι ἔχαιρον Ἀριστοφάνει καὶ Εὐπόλιδι Σωκράτην τουτονὶ ἐπὶ χλευασίᾳ παράγουσιν ἐπὶ τὴν σκηνὴν καὶ κωμῳδοῦσιν ἀλλοκότους τινὰς περὶ αὐτοῦ κωμῳδίας. καίτοι ἐκεῖνοι μὲν καθ' ἑνὸς ἀνδρὸς ἐτόλμων τοιαῦτα καὶ ἐν Διονύσου, ἐφειμένον αὐτὸ δρᾶν, καὶ

der wichtigen Sache die Aufmerksamkeit auf eine bedeutendere und mehr in's Auge zu fassende hingelenkt wird. — *ἐσεκομίσαντο.* Was bedeutet das Medium? — *ῥήτωρ κτέ.* Mit seinem vierzigsten Lebensjahre hatte Luc. die Rhetorik aufgegeben, sich dann der Philosophie gewidmet, und als er sich auch von dieser abgewendet, seine Muse auf die Ausarbeitung seiner satirischen Dialoge gerichtet. — *ἀποκαλῶν*, s. zu V, 2, 1. — *τὰ πλήθη.* Bis accus. 34: *τὸν Διάλογον .. τοῖς πλήθεσι κεχαρισμένον.* — *τὸ μηδέν*, s. zu V, 12, 2. — *πρὸς τῶν πολλῶν*, s. zu II, 25. — *ἐπὶ χλευασμῷ*, s. zu Demon. 35. — *κροτεῖσθαι. κροτεῖν τινα*, J e m a n d e n b e k l a t s c h e n, gehört den Späteren an. — *ὁ πολὺς λεώς, χαίρουσιν.* Vgl. Rhet. praec. 17: *οὕτω γάρ σε ὁ λεὼς ὁ πολὺς ἀποβλέψονται.* Hermotim. 72: *ὁ πολὺς λεὼς πιστεύουσιν.* Anachars. 17 z. E.: *οὐκ αἰσχύνεται ἡ Ἀθηναίων πόλις .. ἐκμανθάνοντες.* Bis accus. 11. Kr. Gr. §. 63, 1, 1. — *ἀποσκώπτουσι καὶ λοιδορουμένοις*, nicht *τοῖς ἀποσκ. καὶ λοιδ.* Hermotim. 7: *ἀλλὰ τίνα φησὶ τἀγαθά, εἰ μὴ ταῦτα, ἕξειν πρὸς τὸ τέλος τῆς ἀσκήσεως ἐλθόντας;* Catapl. 26: *τοῦ πρὸς ἐντυγχάνοντας φρυάγματος.* u. so oft. Kr. Gr. §. 43, 2, 3. — *ὥσπερ ἀμέλει*, w i e j a, w i e i n d e r T h a t. — *Ἀριστοφάνει*, in den Wolken. — *Εὐπόλιδι.* Dieser und Aristophanes gehörten zu den berühmtesten Dichtern der *comoedia antiqua*, welche lebende Männer jeder Art, selbst die im Staate angesehensten, verhöhnte und sogar in Person auf die Bühne brachte. [Vgl. Eupol. fr. 310. 311 M e i n.]. Uebrigens vgl. mit dieser Stelle Bis acc. 33. — *παράγουσιν.* Das gewöhnliche Zeitwort in dieser Sache. — *ἀλλοκότους*, u n n a t ü r l i c h, v e r d r e h t, ein bei Luc. sehr häufiges Wort. — *ἐν Διονύσου*, näml. *ἱερῷ*

τὸ σκῶμμα μέρος ἐδόκει τῆς ἑορτῆς, καὶ ὁ θεὸς ἴσως χαίρει φιλόγελώς τις ὤν. ὁ δὲ τοὺς ἀρίστους συγκαλῶν, ἐκ πολ- 26 λοῦ φροντίσας καὶ παρασκευασάμενος καὶ βλασφημίας τινὰς ἐς παχὺ βιβλίον ἐγγράψας μεγάλῃ τῇ φωνῇ διαγορεύει κακῶς Πλάτωνα, Πυθαγόραν, Ἀριστοτέλην, Χρύσιππον ἐκεῖνον, ἐμὲ καὶ ὅλως ἅπαντας οὔτε ἑορτῆς ἐπιούσης οὔτε ἰδίᾳ τι πρὸς ἡμῶν παθών· εἶχε γὰρ ἄν τινα συγγνώμην αὐτῷ τὸ πρᾶγμα, εἰ ἀμυνόμενος, ἀλλὰ μὴ ἄρχων αὐτὸς ἔδρασε. καὶ τὸ πάντων δεινότατον, ὅτι ταῦτα ποιῶν καὶ ὑπὸ τὸ σὸν ὄνομα, ὦ Φιλοσοφία, ὑποδύεται καὶ ὑπελθὼν τὸν Διάλογον ἡμέτερον οἰκεῖον ὄντα, τούτῳ ξυναγωνιστῇ καὶ ὑποκριτῇ χρῆται καθ' ἡμῶν, ἔτι καὶ Μένιππον ἀναπείσας ἑταῖρον ἡμῶν ἄνδρα ξυγκωμῳδεῖν αὐτῷ τὰ πολλά, ὃς μόνος οὐ πάρεστιν οὐδὲ κατηγορεῖ μεθ' ἡμῶν, προδοὺς τὸ κοινόν. ἀνθ' 27 ὧν ἁπάντων ἄξιόν ἐστιν ὑποσχεῖν αὐτὸν τὴν δίκην. ἢ τί γὰρ ἂν εἰπεῖν ἔχοι τὰ σεμνότατα διασύρας ἐπὶ τοσούτων μαρτύρων; χρήσιμον γοῦν καὶ πρὸς ἐκείνους τὸ τοιοῦτον, εἰ θεάσαιντο αὐτὸν κολασθέντα, ὡς μηδὲ ἄλλος τις ἔτι καταφρονοίη φιλοσοφίας· ἐπεὶ τό γε τὴν ἡσυχίαν ἄγειν καὶ ὑβριζόμενον ἀνέχεσθαι οὐ μετριότητος, ἀλλ' ἀνανδρίας καὶ εὐηθείας εἰκότως ἂν νομίζοιτο. τὰ γὰρ τελευταῖα τίνι φορητά; ὃς καθάπερ τὰ ἀνδράποδα παραγαγὼν ἡμᾶς ἐπὶ τὸ πωλητήριον καὶ κήρυκα ἐπιστήσας ἀπημπόλησεν, ὥς φασι,

= ἐν τῷ θεάτρῳ. Demosth. 5, 7: ἐν Διονύσου τραγῳδοὺς ἐθεᾶσθε. Plutarch. Aristid. 1: τρίποδας ἐν Διονύσου κατέλιπεν. Kr. Gr. §.43, 3, 6. — ἐφειμένον, Accusat. absol., s. zu III, 6. — φιλόγελώς τις, einer von denen, welche, einer der. Aristoph. Plut. 726: ὡς φιλόπολίς τις ἔσθ' ὁ δαίμων καὶ σοφός. Thesmoph. 752: φιλότεκνός τις εἶ φύσει. Vielleicht sind die Worte aus einem Komiker entlehnt.

26. διαγορεύει κακῶς. Nur hier sich findende Redensart; sonst stets nur ἀγορεύειν. — καὶ τὸ πάντων δεινότατον, ὅτι, s. zu V, 5, 1. — ὑποδύεται. S. unser Wörterb. unter ὑποδύω II, c. — ὑπελθών, beschleichen, berükken, wie auch sonst bei Luc. — τὸν Διάλ. ἡμέτ. οἰκεῖον ὄντα. Dass Diogenes den personificirten Dialog so nennt, bezieht sich auf den häufigen Gebrauch desselben bei den Philosophen der sokratischen Schule. Geist. — Μένιππον, s. zu V, 1, 1. — ξυγκωμῳδεῖν, nur hier vorkommendes Wort.

27. ἄξιόν ἐστιν ὑπ. αὐτόν. Welches ist die gewöhnliche Construction? S. zu V, 19, 1. Ebenso Xenoph. Cyrop. 7, 5, 56: ἤδη καὶ οἰκίας σε τυχεῖν ἄξιον. — τὴν δίκην, die verdiente, gebührende Strafe, s. zu II, 52. — ἢ τί γὰρ ἂν εἰπ. ἔχοι, s. zu III, 9. — ἐπί, coram. Unten c. 40: ἐπὶ τῆς Ἀρετῆς κτέ. Alexand. 44: ἐπὶ πολλῶν τῶν παρόντων. Catapl. 27: ἃ ἐπ' ἐμοῦ διεπράττετο. Epist. Sat. 31: ἐπὶ τοῦ Διός. Anach. 11. u. ö. — τὴν ἡσυχίαν, s. zu IV, 3. — ὑβριζόμενον ἀνέχεσθαι, s. zu II, 26. — καθάπερ τὰ ἀνδράποδα,

τοὺς μὲν ἐπὶ πολλῷ, ἐνίους δὲ μνᾶς Ἀττικῆς, ἐμὲ δὲ ὁ παμπονηρότατος οὗτος δύ' ὀβολῶν· οἱ παρόντες δὲ ἐγέλων. ἀνθ' ὧν γε αὐτοί τε ἀνεληλύθαμεν ἀγανακτήσαντες καὶ σὲ ἀξιοῦμεν τιμωρήσειν ἡμῖν τὰ αἴσχιστα ὑβρισμένοις.

28 *ΑΝΑΒΙΟΥΝΤΕΣ. Εὖ γε, ὦ Διόγενες, ὑπὲρ ἁπάντων καλῶς ὁπόσα ἐχρῆν ἅπαντα εἴρηκας.*

ΦΙΛ. Παύσασθε ἐπαινοῦντες· ἔγχει τῷ ἀπολογουμένῳ. σὺ δέ, ὦ Παρρησιάδη, λέγε ἤδη ἐν τῷ μέρει· σοὶ γὰρ τὸ νῦν ῥεῖ. μὴ μέλλε οὖν.

29 *ΠΑΡΡ. Οὐ πάντα μου, ὦ Φιλοσοφία, κατηγόρησε Διογένης, ἀλλὰ τὰ πλείω καὶ ὅσα ἦν χαλεπώτερα οὐκ οἶδ' ὅ τι παθὼν παρέλιπεν. ἐγὼ δὲ τοσούτου δέω ἔξαρνος γενέσθαι ὡς οὐκ εἶπον αὐτά, ἢ ἀπολογίαν τινὰ μεμελετηκὼς ἀφῖχθαι, ὥστε καὶ εἴ τινα ἢ [αὐτὸς] οὗτος ἀπεσιώπησεν ἢ ἐγὼ μὴ πρότερον ἔφθασα εἰρηκώς, νῦν προσθήσειν μοι δοκῶ· οὕτω γὰρ ἂν μάθοις, οὕστινας ἀπεκήρυττον καὶ κακῶς ἠγόρευον ἀλαζόνας καὶ γόητας ἀποκαλῶν· καί μοι μόνον τοῦτο παραφυλάττετε, εἰ ἀληθῆ περὶ αὐτῶν ἐρῶ. εἰ δέ τι βλάσφημον ἢ τραχὺ φαίνοιτο ἔχων ὁ λόγος, οὐ τὸν διελέγχοντα ἐμέ, ἀλλ' ἐκείνους ἄν, οἶμαι, δικαιότερον αἰτιάσαισθε τοιαῦτα ποιοῦντας. ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ξυνεῖδον ὁπόσα τοῖς ῥητορεύουσι τὰ δυσχερῆ ἀναγκαῖον προσεῖναι, ἀπάτην καὶ ψεῦδος καὶ θρασύτητα καὶ βοὴν καὶ ὠθισμοὺς καὶ μυρία ἄλλα, ταῦτα μέν, ὥσπερ εἰκὸς ἦν, ἀπέφυγον, ἐπὶ δὲ τὰ σά, ὦ Φιλοσοφία, [καλὰ] ὁρμήσας ἠξίουν ὁπόσον ἔτι μοι λοιπὸν τοῦ βίου καθάπερ ἐκ ζάλης καὶ κλύδωνος ἐς εὔδιόν τινα λιμένα*

30 *σπεύσας ὑπὸ σοὶ σκεπόμενος καταβιῶναι. κἀπειδὴ μόνον παρέκυψα ἐς τὰ ὑμέτερα, σὲ μέν, ὥσπερ ἀναγκαῖον ἦν, καὶ τούσδε ἅπαντας ἐθαύμαζον ἀρίστου βίου νομοθέτας ὄντας*

näml. *παράγουσι.* — *ἀνεληλύθαμεν*, näml. *ἐξ Ἅιδου.* — *ἀξιοῦμεν τιμωρήσειν*, Kr. Gr. §. 53, 7, 11. Vgl. c. 47: *ἀλιεύσειν διέγνωκας.*

28. *ἐν τῷ μέρει*, s. oben zu 8. — *τὸ νῦν*, s. zu VII, 6.

29. *ὅ τι παθών*, s. zu V, 5, 1. — *τοσούτου δέω*, *tantum abest, ut . . ut* (*ὥστε*). Nigr. 26: *τοσούτου δέων ὀρέγεσθαι τῶν οὐδὲν προσηκόντων, ὥστε κτέ.* u. s. Kr. Gr. §. 47, 16, 2. Für *τοσούτου* auch *τοσοῦτον*, Icaromen. 5. — *ὡς οὐκ*, Kr. Gr. 67, 12, 2. Demosth. 9, 54: *ἀνθρώπους μισθωτούς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι.* 13, 2: *τοῦτο μὲν . . οὔτ' ἀντείποιμι ὡς οὐ δεῖ λαμβάνειν.* — *πρότερον ἔφθασα.* Bisweilen steht *πρότερον* pleonastisch bei *φθάνειν*, wie *πρῶτον* bei *ἄρχειν*; vgl. Herodot. 6, 91. Demosth. 6, 18. — *προσθήσειν μοι δοκῶ*, gedenke ich, will ich, s. zu II, 34. — *ἐγὼ γάρ*, ich nämlich. — *ὠθισμούς*, *conflictationes.* — *σκεπόμενος*, späteres, bei Luc. sehr häufiges Wort.

καὶ τοῖς ἐπ' αὐτὸν ἐπειγομένοις χεῖρα ὀρέγοντας, τὰ κάλλιστα καὶ ξυμφορώτατα παραινοῦντας, εἴ τις μὴ παραβαίνοι αὐτὰ μηδὲ διολισθάνοι, ἀλλ' ἀτενὲς ἀποβλέπων ἐς τοὺς κανόνας, οὓς προτεθείκατε, πρὸς τούτους ῥυθμίζοι καὶ ἀπευθύνοι τὸν ἑαυτοῦ βίον, ὅπερ νὴ Δία καὶ τῶν καθ' ἡμᾶς αὐτοὺς ὀλίγοι ποιοῦσιν. ὁρῶν δὲ πολλοὺς οὐκ ἔρωτι φιλοσοφίας ἐχομένους, 31 ἀλλὰ δόξης μόνον τῆς ἀπὸ τοῦ πράγματος, τὰ μὲν πρόχειρα ταῦτα καὶ δημόσια καὶ ὁπόσα παντὶ μιμεῖσθαι ῥᾴδιον εὖ μάλα ἐοικότας ἀγαθοῖς ἀνδράσι, τὸ γένειον λέγω καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολήν, ἐπὶ δὲ τοῦ βίου καὶ τῶν πραγμάτων ἀντιφθεγγομένους τῷ σχήματι καὶ τἀναντία ὑμῖν ἐπιτηδεύοντας καὶ διαφθείροντας τὸ ἀξίωμα τῆς ὑποσχέσεως, ἠγανάκτουν, καὶ τὸ πρᾶγμα ὅμοιον ἐδόκει μοι καθάπερ ἂν εἴ τις ὑποκριτὴς τραγῳδίας μαλθακὸς αὐτὸς ὢν καὶ γυναικεῖος Ἀχιλλέα ἢ Θησέα ἢ καὶ τὸν Ἡρακλέα ὑποκρίνοιτο αὐτὸν μήτε βαδίζων μήτε βοῶν ἡρωϊκόν, ἀλλὰ θρυπτόμενος ὑπὸ τηλικούτῳ προσωπείῳ, ὃν οὐδ' ἂν ἡ Ἑλένη ποτὲ ἢ Πολυξένη ἀνάσχοιντο πέρα τοῦ μετρίου αὐταῖς προσεοικότα, οὐχ ὅπως ὁ Ἡρακλῆς ὁ καλλίνικος, ἀλλά μοι δοκεῖ τάχιστ' ἂν ἐπιτρίψαι τῷ ῥοπάλῳ παίων τὸν τοιοῦτον, αὐτόν τε καὶ τὸ προσωπεῖον, οὕτως ἀτίμως κατατεθηλυμμένος πρὸς αὐτοῦ. τοιαῦτα καὶ ὑμᾶς πάσχοντας ὑπ' ἐκείνων ὁρῶν οὐκ ἤνεγκα 32 τὴν αἰσχύνην τῆς ὑποκρίσεως, εἰ πίθηκοι ὄντες ἐτόλμησαν ἡρώων προσωπεῖα περιθέσθαι ἢ τὸν ἐν Κύμῃ ὄνον μιμήσα-

30. *καὶ τῶν καθ' ἡμᾶς αὐτούς*, auch von unseren Zeitgenossen. Toxar. 10: *ὀλίγους δέ τινας προχειρισάμενοι τῶν καθ' ἡμᾶς αὐτοὺς* u. s.

31. *τῆς ὑποσχέσεως*, *professio*, Geschäft, Beruf. — *καθάπερ ἂν εἰ*, ebenso wie das gewöhnlichere *ὥσπερ ἂν εἰ* und *ὡς ἂν εἰ*, s. zu VII, 4. — *ἢ καί*, oder auch, oder sogar. Nigr. 11: *οἳ πολλάκις ἢ Ἀγαμέμνονος ἢ Κρέοντος ἢ καὶ Ἡρακλέους αὐτοῦ πρόσωπον ἀνειληφότες κτέ.* Vit. auct. 7. Icaromen. 27. Alex. 44. Iup. conf. 10 u. ö. — *θρυπτόμενος*, sich weibisch geberden. — *Πολυξένη*, Tochter des Priamos, welche an der thrakischen Küste Neoptolemos auf dem Grabe seines Vaters zur Sühne geopfert haben soll. — *ἀνάσχοιντο*, nicht *ἀνάσχοιτο*, s. Kr. Gr. §. 63, 3, 2. Ebenso im Latein., Cic. de orat. 2, 4, 16: *ne Sulpicius aut Cotta plus quam ego apud te valere videantur.* Minder genau Zumpt §. 374. — *πέρα τοῦ μετρίου*, s. zu VI, 11, 1. — *οὐχ ὅπως*, geschweige; s. zu III, 8. — *ὁ καλλίνικος*, häufiges Beiwort des Herakles, der aus seinen zahllosen Kämpfen siegreich hervorgegangen war. — *αὐτόν τε καὶ τὸ προσωπεῖον*, sowohl ihn selbst als seine Maske. Dial. mar. 12: *καλλίστην κόρην εἶδον ἐς κιβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμβληθεῖσαν, αὐτήν τε καὶ βρέφος αὐτῆς ἀρτιγέννητον.* u. so ö. — *κατατεθηλυμμένος*, bei keinem Attiker vorkommendes Wort.

32. *τὸν ἐν Κύμῃ ὄνον.* Aesopi-

σθαι, ὃς λεοντῆν περιβαλόμενος ἠξίου λέων αὐτὸς εἶναι, πρὸς ἀγνοοῦντας τοὺς Κυμαίους ὀγκώμενος μάλα τραχὺ καὶ καταπληκτικόν, ἄχρι δή τις αὐτὸν ξένος καὶ λέοντα ἰδὼν καὶ ὄνον πολλάκις ἤλεγξε παίων τοῖς ξύλοις. ὃ δὲ μάλιστά μοι δεινόν, ὦ Φιλοσοφία, κατεφαίνετο, τοῦτο ἦν· οἱ γὰρ ἄνθρωποι εἴ τινα τούτων ἑώρων πονηρὸν ἢ ἄσχημον ἢ ἀσελγές τι ἐπιτηδεύοντα, οὐκ ἔστιν ὅστις οὐ φιλοσοφίαν αὐτὴν ᾐτιᾶτο καὶ τὸν Χρύσιππον εὐθὺς ἢ Πλάτωνα ἢ Πυθαγόραν ἢ ὅτου αὐτὸν ἐπώνυμον ὁ διαμαρτάνων ἐκεῖνος ἐποιεῖτο καὶ οὗ τοὺς λόγους ἐμιμεῖτο, καὶ ἀπὸ τοῦ κακῶς βιοῦντος πονηρὰ περὶ ὑμῶν εἴκαζον τῶν πρὸ πολλοῦ τεθνηκότων, οὐ γὰρ παρὰ ζῶντας ὑμᾶς ἡ ἐξέτασις αὐτοῦ ἐγίγνετο, ἀλλ' ὑμεῖς μὲν ἐκποδών, ἐκεῖνον δὲ ἑώρων σαφῶς ἅπαντες δεινὰ καὶ ἄσεμνα ἐπιτηδεύοντα, ὥστε ἐρήμην ἡλίσκεσθε μετ' αὐτοῦ καὶ ἐπὶ

33 τὴν ὁμοίαν διαβολὴν συγκατεσπᾶσθε. ταῦτα οὐκ ἤνεγκα ὁρῶν ἔγωγε, ἀλλὰ ἤλεγχον αὐτοὺς καὶ διέκρινον ἀφ' ὑμῶν· ὑμεῖς δέ, τιμᾶν ἐπὶ τούτοις δέον, ἐς δικαστήριον ἄγετε. οὐκοῦν ἤν τινα καὶ τῶν μεμυημένων ἰδὼν ἐξαγορεύοντα τοῖν θεοῖν τἀπόρρητα καὶ ἐξορχούμενον ἀγανακτήσω καὶ διελέγξω, ἐμὲ τὸν ἀδικοῦντα ἡγήσεσθε εἶναι; ἀλλ' οὐ δίκαιον· ἐπεὶ καὶ οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν, ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ τὸν Δία ὑποδεδυκὼς μὴ καλῶς ὑποκρίνοιτο μηδὲ κατ' ἀξίαν τῶν θεῶν, καὶ οὐ δή που ὀργίζον-

sche Fabel (333[b] Halm), die Luc. auch anderwärts erwähnt; vgl. Fugit. 13. Philopseud. 5. Pseudol. 3. Kyme, Cumae, Stadt Campaniens. — τοῖς ξύλοις, s. über den Artikel zu II, 34. — τοῦτο ἦν. Selten wird in dieser Verbindung τοῦτο ἦν oder τοῦτ' ἐστί hinzugesetzt, s. zu V, 5, 1. Für das gewöhnlichere ὅτι steht hier γάρ. — παρά, in comparativer Bedeutung. Toxar. 36: παιδιὰ τὰ ὑμέτερά ἐστι παρὰ τὰ Σκυθικὰ ἐξετάζεσθαι. — ἐρήμην ἡλίσκεσθε, in contumaciam verurtheilt werden. Auch ἐξ ἐρήμης ἁλίσκεσθαι Abdicat. 8.

33. δέον, s. zu III, 6. — τοῖν θεοῖν, Ceres und Proserpina; Kr. Gr. §. 21, Anm. Andocid. 1, 31: μεμύησθε καὶ ἑωράκατε τοῖν θεοῖν τὰ ἱερά. ebend. 32. 33. 113. — ἐξορχούμενον, eigentl. austanzen, d. h. durch pantomimische Nachahmung der heiligen Gebräuche diese an die Uneingeweihten verrathen und sie sogar lächerlich machen. De saltat. 15: ἐκεῖνο δὲ πάντες ἀκούουσιν, ὅτι τοὺς ἐξαγορεύοντας τὰ μυστήρια ἐξορχεῖσθαι λέγουσιν οἱ πολλοί. Amor. 24: τὴν ἐν Ἐλευσῖνι τελετὴν αἱ παρὰ πότον ἐξορχοῦνται φωναί. Dieser Gebrauch des Wortes findet sich aber nur bei den späteren Schriftstellern, wie überhaupt das Wort grösstentheils nur den Späteren angehört. — οἱ ἀθλοθέται, die Kampfrichter für die musikalischen, dramatischen (u. gymnastischen) Wettstreite, deren es zehn gab. Dasselbe erwähnt Luc. Apol. pro merc. cond. 5. Adv. Indoct. 9. — ἤν τις . . ὑποκρίνοιτο.

ται αὐτοῖς ἐκεῖνοι, ὅτι τὸν περικείμενον αὐτῶν τὰ προσωπεῖα καὶ τὸ σχῆμα ἐνδεδυκότα ἐπέτρεψαν παίειν τοῖς μαστιγοφόροις, ἀλλὰ καὶ ἥδοιντ᾽ ἄν, οἶμαι, μαστιγουμένων· οἰκέτην μὲν γὰρ ἢ ἄγγελόν τινα μὴ δεξιῶς ὑποκρίνασθαι μικρὸν τὸ πταῖσμα, τὸν Δία δὲ ἢ τὸν Ἡρακλέα μὴ κατ᾽ ἀξίαν ἐπιδείξασθαι τοῖς θεαταῖς ἀποτρόπαιον ὡς καὶ αἰσχρόν. καὶ 34 γὰρ αὖ καὶ τόδε πάντων ἀτοπώτατόν ἐστιν, ὅτι τοὺς μὲν λόγους ὑμῶν πάνυ ἀκριβοῦσιν οἱ πολλοὶ αὐτῶν, καθάπερ δὲ ἐπὶ τούτῳ μόνον ἀναγινώσκοντες αὐτοὺς καὶ μελετῶντες, ὡς τἀναντία ἐπιτηδεύοιεν, οὕτως βιοῦσιν· πάντα μὲν γὰρ ὅσα φασίν, οἷον χρημάτων καταφρονεῖν καὶ δόξης καὶ μόνον τὸ καλὸν οἴεσθαι ἀγαθὸν καὶ ἀόργητον εἶναι καὶ τῶν λαμπρῶν τούτων ὑπερορᾶν καὶ ἐξ ἰσοτιμίας αὐτοῖς διαλέγεσθαι, καλά, ὦ θεοί, καὶ σοφὰ καὶ θαυμάσια λίαν ὡς ἀληθῶς. οἱ δὲ καὶ αὐτὰ ταῦτα ἐπὶ μισθῷ διδάσκουσι καὶ τοὺς πλουσίους τεθήπασι καὶ πρὸς τὸ ἀργύριον κεχήνασιν, ὀργιλώτεροι μὲν τῶν κυνιδίων ὄντες, δειλότεροι δὲ τῶν λαγωῶν, κολακευτικώτεροι δὲ τῶν πιθήκων, ἀσελγέστεροι δὲ τῶν ὄνων, ἁρπακτικώτεροι δὲ τῶν γαλῶν, φιλονεικότεροι δὲ τῶν ἀλεκτρυόνων. τοιγαροῦν γέλωτα ὀφλισκάνουσιν ὠθιζόμενοι ἐπὶ ταῦτα καὶ περὶ τὰς τῶν πλουσίων θύρας ἀλλήλους παρωθούμενοι, δεῖπνα πολυάνθρωπα δειπνοῦντες καὶ ἐν αὐτοῖς τούτοις ἐπαι-

Der Optativ nach ἐάν, ἤν lässt sich bei Luc. u. anderen Späteren durchaus nicht gänzlich beseitigen. De conscr. hist. 5: ἤν τις ἐς ἀεὶ κτῆμα συντιθείη. De saltat. 79: ἂν ἐρῶν τις εἰς τὸ θέατρον παρέλθοι. Diss. c. Hes. 7: ἢν μὴ καλύψαις . . καὶ θεράπων . . ἐπιφοροίη. — δή που, *opinor*. — ἐκεῖνοι, näml. οἱ θεοί. — τὸν περικείμενον αὐτ. τὰ προσωπεῖα. Ebenso c. 36. Nigrin. 11: μεῖζον τῆς ἐμαυτοῦ κεφαλῆς προσωπεῖον περικείμενος. De conscr. hist. 33. Vgl. zu VI, 1, 1. Die Maske bedeckte nicht allein das Gesicht, sondern auch den übrigen Kopf. — ἀλλὰ καί, ja sogar, *immo potius*, wie oft. — μαστιγουμένων = ὅτε μαστιγοῦνται, Genetiv. absolut. — ἀποτρόπαιον ὡς καὶ αἰσχρόν, *abominandum quam turpe*. Chronosol. 18: ἀποτρόπαιον οἷα πείσονται. Aehnlich Phalar. 1, 1: ἀποτρόπαιά μοι καὶ ἀκοῦσαι ἦν. G. Hermann.

34. καὶ γὰρ αὖ καί, s. zu VI, 14, 8. — ἐπὶ τούτῳ, dazu, zu dem Zweck. — ὡς . . ἐπιτηδεύοιεν, s. zu I, 4. — μόνον τὸ καλὸν οἴεσθαι ἀγαθόν lehren die Stoiker. — ἐξ ἰσοτιμίας αὐτοῖς διαλέγεσθαι, d. i. *cum iis* (τοῖς λαμπροῖς) *aeque atque cum aliis agere*, vgl. IV, 18. — θαυμάσια λίαν. Selten wird λίαν so nachgestellt. Dionys. Halic. antiqu. 2, 30: ἀλκίμων λίαν. Plut. Crass. 17: πρωὶ λίαν. Heliod. 6, 3: ὡς μικρὰ λίαν. — ὡς ἀληθῶς, s. zu I, 10. — τεθήπασι, poetisches, bei Herodot. nur ein Mal (2, 156), aber bei Spät. häufig vorkommendes Wort. Bei Luc. mit dem Accusat., wie hier, öfter. — λαγωῶν, unattische, auch Saturn. 28 u. Conviv. 22 vorkommende Form für λαγῶν. — ὠθιζόμενοι, sich hinzudrängen. Das Verbum findet sich

νοῦντες φορτικῶς καὶ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορούμενοι καὶ μεμψίμοιροι φαινόμενοι καὶ ἐπὶ τῆς κύλικος ἀτερπῆ καὶ ἀπῳδὰ φιλοσοφοῦντες· οἱ ἰδιῶται δὲ ὁπόσοι ξυμπίνουσι, γελῶσι δηλαδὴ καὶ καταπτύουσι φιλοσοφίας, εἰ τοιαῦτα κα-
35 θάρματα ἐκτρέφει. τὸ δὲ πάντων αἴσχιστον, ὅτι μηδενὸς δεῖσθαι λέγων ἕκαστος αὐτῶν, ἀλλὰ μόνον πλούσιον εἶναι τὸν σοφὸν κεκραγὼς μικρὸν ὕστερον αἰτεῖ προσελθὼν καὶ ἀγανακτεῖ μὴ λαβών, ὅμοιον ὡς εἴ τις ἐν βασιλικῷ σχήματι ὀρθὴν τιάραν ἔχων καὶ διάδημα καὶ τὰ ἄλλα ὅσα βασιλείας γνωρίσματα, προσαιτοίη τῶν ὑποδεεστέρων δεόμενος. ὅταν μὲν οὖν αὐτούς τι δέῃ λαμβάνειν, πολὺς ὁ περὶ τοῦ κοινωνικὸν εἶναι δεῖν λόγος καὶ ὡς ἀδιάφορον ὁ πλοῦτος καί, τί γὰρ τὸ χρυσίον ἢ ἀργύριον, οὐδὲν τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων διαφέρον; ὅταν δέ τις ἐπικουρίας δεόμενος ἑταῖρος ἐκ παλαιοῦ καὶ φίλος ἀπὸ πολλῶν ὀλίγα αἰτῇ προσελθών, σιωπὴ καὶ ἀπορία καὶ ἀμαθία καὶ παλινῳδία τῶν λόγων πρὸς τὸ ἐναντίον· οἱ δὲ πολλοὶ περὶ φιλίας ἐκεῖνοι λόγοι καὶ ἡ ἀρετὴ καὶ τὸ καλὸν οὐκ οἶδ' ὅποι ποτὲ οἴχεται πάντα ταῦτα ἀποπτάμενα, πτερόεντα ὡς ἀληθῶς ἔπη, μάτην ὁσημέραι πρὸς αὐ-
36 τῶν ἐν ταῖς διατριβαῖς σκιαμαχούμενα. μέχρι γὰρ τούτου φίλος ἕκαστος αὐτῶν, ἐς ὅσον ἂν μὴ ἀργύριον ἢ χρυσίον ᾖ προκείμενον ἐν τῷ μέσῳ· ἢν δέ τις ὀβολὸν ἐπιδείξῃ μόνον, λέλυται μὲν ἡ εἰρήνη, ἄσπονδα δὲ καὶ ἀκήρυκτα πάντα, καὶ τὰ βιβλία ἐξαλήλιπται καὶ ἡ ἀρετὴ πέφευγεν, οἷόν τι καὶ οἱ κύνες πάσχουσιν· ἐπειδάν τις ὀστοῦν ἐς μέσους αὐτοὺς ἐμβάλῃ, ἀναπηδήσαντες δάκνουσιν ἀλλήλους καὶ τὸν προαρπάσαντα τὸ ὀστοῦν ὑλακτοῦσι. λέγεται δὲ καὶ βασιλεύς τις

früher bloss bei Herodot. — *μεμψίμοιροι*, vgl. Timon. 55, und überhaupt c. 54 u. 55. — *ἐπὶ τῆς κύλικος*, häufiger *ἐπὶ τῇ κύλικι*, wie II, 55. — *οἱ ἰδιῶται*, die Nichtphilosophen.

35. *ὀρθὴν τιάραν ἔχων*, s. zu V, 14, 4. — *τί γὰρ τὸ χρυσίον κτἑ.* Die Worte der Philosophen werden in directer Rede angeführt. Uebrigens vgl. II, 56: *τὸ χρυσίον γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ.* — *ἀπὸ πολλῶν ὀλίγα.* Pro imagg. 21: *ἀπὸ πολλῶν ὀλίγα δείγματα.* Demon. z. E.: *ταῦτα ὀλίγα πάνυ ἐκ πολλῶν ἀπεμνημόνευσα.* — *πτερόεντα . . ἔπη*, aus Homer. entlehnt. — *σκιαμαχούμενα*, Worte, mit denen man Schattenstreiche führt.

36. *ἄσπονδα καὶ ἀκήρυκτα πάντα*, d. i. *neque ullus foederi et praeconi locus.* Alexand. 25: *ἄσπονδος καὶ ἀκήρυκτος αὐτῷ ὁ πόλεμος.* Demosth. 18, 262. Aeschin. 2, 80 u. A. — *τὰ βιβλία*, worin ihre Lehren standen. — *βασιλεύς τις Αἰγύπτιος κτἑ.* Dieselbe Anekdote, nur mit einigen Abweichungen, findet

Αἰγύπτιος πιθήκους ποτὲ πυρριχίζειν διδάξαι καὶ τὰ θηρία — μιμηλότατα δέ ἐστι τῶν ἀνθρωπίνων — ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι ἁλουργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα, καὶ μέχρι γε πολλοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος κάρυα ὑπὸ κόλπου ἔχων ἀφῆκεν ἐς τὸ μέσον· οἱ δὲ πίθηκοι ἰδόντες καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ' ὅπερ ἦσαν, πίθηκοι ἐγένοντο ἀντὶ πυρριχιστῶν καὶ ξυνέτριβον τὰ προσωπεῖα καὶ τὴν ἐσθῆτα κατερρήγνυον καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλους, τὸ δὲ σύνταγμα τῆς πυρρίχης διελέλυτο καὶ κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου. τοιαῦτα καὶ οὗτοι ποιοῦσι, καὶ ἔγωγε τοὺς τοιούτους κακῶς 37 ἠγόρευον καὶ οὔποτε παύσομαι διελέγχων καὶ κωμῳδῶν, περὶ ὑμῶν δὲ ἢ τῶν ὑμῖν παραπλησίων — εἰσὶ γάρ, εἰσί τινες ὡς ἀληθῶς φιλοσοφίαν ζηλοῦντες καὶ τοῖς ὑμετέροις νόμοις ἐμμένοντες — μὴ οὕτω μανείην ἐγὼ ὡς βλάσφημον εἰπεῖν τι ἢ σκαιόν. ἢ τί γὰρ ἂν εἰπεῖν ἔχοιμι; τί γὰρ ὑμῖν τοιοῦτο βεβίωται; τοὺς δὲ ἀλαζόνας ἐκείνους καὶ θεοῖς ἐχθροὺς ἄξιον οἶμαι μισεῖν. ἢ σὺ γάρ, ὦ Πυθαγόρα καὶ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, τί φατε προσήκειν ὑμῖν τοὺς τοιούτους ἢ οἰκεῖόν τι καὶ ξυγγενὲς ἐπιδείκνυσθαι τῷ βίῳ; νὴ Δία Ἡρακλῆς, φασί, καὶ πίθηκος. ἢ διότι πώγωνας ἔχουσι καὶ φιλοσοφεῖν φάσκουσι καὶ σκυθρωποί εἰσι, διὰ τοῦτο χρὴ ὑμῖν εἰκάζειν αὐτούς; ἀλλὰ ἤνεγκα ἄν, εἰ πιθανοὶ γοῦν ἦσαν [καὶ] ἐπὶ τῆς ὑποκρίσεως αὐτῆς· νῦν δὲ θᾶττον ἂν γὺψ ἀηδόνα μιμήσαιτο ἢ οὗτοι φιλοσόφους. εἴρηκα ὑπὲρ ἐμαυτοῦ

sich Apol. pro merc. cond. 5. Vgl. Becker's Charikl. 1 S. 309. 324. 2. Aufl. — μιμηλότατα, späteres Wort. — προσωπεῖα περικείμενα, s. vorher zu 33. — καὶ μέχρι γε πολλοῦ, und eine lange Zeit. Vgl. Parasit. 11: καὶ μέχρι γε νῦν. — ὑπὸ κόλπου, nicht ὑπὸ κόλπον. Vgl. De merc. cond. 27. Hermotim. 37. 81. Alexand. 26. 39. Dissert. c. Hes. 2. Adv. indoct. 12. S. die Anm. zu V, 10, 9. — τοῦ θεάτρου = τῶν θεατῶν, wie oft.

troffen seien. Diese Einsicht ihm zu verschaffen, tri sogleich Anstalt, und damit ist auch Anacharsis ganz Solon standen, verlangt aber, dass sie zu dem Zwecke einen scher-gen Platz aufsuchen, da er die Sonnenhitze nicht vertrage könne, obschon dieselbe den bejahrten Solon nicht belästige, eine Bemerkung, die Lucian den Skythen mit Absicht thun lässt, um hier gleich einen praktischen Nutzen der Gymnastik anzuführen. Als sie einen solchen Platz gefunden und sich dort niedergelassen haben, fordert Solon zuerst den Anacharsis mit einem feinen Zuge von Ironie auf, ja nicht Alles, was er vorbringe, ohne weiteres wie Gesetze aufzunehmen, sondern ihn vielmehr wo er wisse und könne, eines Besseren zu belehren, wofür er auf seinen und des ganzen Staates Dank rechnen dürfe. Hier gesteht der Skythe dem grossen Hellenen gegenüber sein Unvermögen ein, indessen wolle er ihn auch in diesem Punkte als Gesetzgeber ansehen. Schliesslich fügt er noch die Bitte bei, Solon möge ihm, dem Barbaren, gegenüber sich so kurz und leichtverständlich als möglich ausdrücken. Nachdem Solon die Art und Weise des Sprechens vor dem Areios pagos nebenbei kurz angegeben, beginnt er damit, auseinanderzusetzen, was nach ihren Begriffen unter Stadt und Bürger zu verstehen und wie ihr ganzes Streben einzig und allein darauf gerichtet sei, an Geist und Körper tüchtige Bürger zu haben, inwiefern davon das ganze Wohl und Wehe des Staates abhänge. Der musische oder ethische Theil der Erziehung wird zuerst, aber nur in der Kürze als minder zur Sache gehörig berührt, womit indessen Anacharsis weniger zufrieden ist; genauer geht dagegen Solon auf den gymnastischen Theil ein, eben weil die Wichtigkeit desselben dem Barbaren nicht einleuchtet. In ausführlicher, aber dabei einfacher und klarer Weise wird dessen Zweck und Nutzen für die Bildung des Leibes und der Seele und für die ganze Bestimmung des Menschen und Bürgers auseinandergesetzt. Allein diese schöne Auseinandersetzung verfehlt bei dem jeder höheren Auffassung gänzlich unfähigen Barbaren durchaus ihren Zweck, ja er verwechselt sogar die gymnastischen Uebungen mit unmittelbarer kriegerischer Bildung und macht sich über dieselben in barbarischer Ruhmredigkeit lustig. Nachdem ihn Solon mit geschichtlichen Beispielen widerlegt, macht er ihn nun auf den Unterschied zwischen den gymnastischen und den eigentlich kriegerischen Uebungen aufmerksam und sucht ihm begreiflich zu machen, wie die Verschiedenheit der hellenischen und skythischen Einrichtungen in dieser Beziehung auf dem verschiedenen Standpunkt der Bildung überhaupt beruhe. Allein der Skythe bleibt Skythe und ist des Solon höchst einfache und verständliche Auseinandersetzung über die gymnastischen Uebungen und das damit auf das engste verbundene Auftreten in den grossen Wettspielen, sowie über

Ei[illegible]uss davon auf Kriegführung zu verstehen nicht im den Ei[illegible]er beurtheilt Alles nach seiner aller höheren Bildung Stand Anschauungsweise und kommt immer wieder auf das zu b[illegible]ng Vorgebrachte zurück. Selbst die Hinweisung auf die [illegible]egerische spartanische Gymnastik und deren Einwirkung auf Standhaftigkeit und Tapferkeit im Kriege vermag nicht ihn eines Besseren zu belehren, so dass Solon endlich das Gespräch abbricht mit der Aufforderung, Anacharsis solle ihm nun als Gegenstück ein Bild von der skythischen Jugenderziehung entwerfen, wozu dieser sich auch, aber erst für den folgenden Tag bereit erklärt, um sich Alles, was Solon gesagt, noch einmal überlegen und sich selbst dazu gehörig vorbereiten zu können.

Der Schauplatz der Unterredung ist, wie schon vorher bemerkt, das Lykeion; s. die Anm. zu c. 7.

Geschrieben hat Lucian die Schrift, wie ausser allem Zweifel, während seines Aufenthalts in Athen.

X.

ΑΝΑΧΑΡΣΙΣ Η *ΠΕΡΙ ΓΥΜΝΑΣΙΩΝ.*

ΑΝΑΧΑΡΣΙΣ. *Ταῦτα δὲ ὑμῖν, ὦ Σόλων, τίνος ἕνεκα οἱ νέοι ποιοῦσιν; οἱ μὲν αὐτῶν περιπλεκόμενοι ἀλλήλους ὑποσκελίζουσιν, οἱ δὲ ἄγχουσι καὶ λυγίζουσι καὶ ἐν τῷ πηλῷ συναναφύρονται κυλινδούμενοι ὥσπερ σύες. καίτοι κατ' ἀρχὰς εὐθὺς ἀποδυσάμενοι — ἑώρων γάρ — λίπα τε ἠλείψαντο καὶ κατέψησε μάλα εἰρηνικῶς ἅτερος τὸν ἕτερον ἐν τῷ μέρει, μετὰ δὲ οὐκ οἶδ' ὅ τι παθόντες ὠθοῦσί τε ἀλλήλους συννενευκότες καὶ τὰ μέτωπα συναράττουσιν ὥσπερ οἱ κριοί. καὶ ἢν ἰδοὺ ἀράμενος ἐκεινοσὶ τὸν ἕτερον ἐκ τοῖν σκελοῖν ἀφῆκεν εἰς τὸ ἔδαφος, εἶτ' ἐπικαταπεσὼν ἀνακύπτειν οὐκ ἐᾷ, συνωθῶν κάτω ἐς τὸν πηλόν, τέλος δὲ ἤδη περιπλέξας αὐτῷ τὰ σκέλη κατὰ τὴν γαστέρα τὸν πῆχυν ὑποβαλὼν τῷ λαιμῷ ἄγχει τὸν ἄθλιον, ὁ δὲ παρακροτεῖ ἐς τὸν ὦμον, ἱκετεύων, οἶμαι, ὡς μὴ τέλεον ἀποπνιγείη. καὶ οὐδὲ τοῦ ἐλαίου ἕνεκα φείδονται μὴ μολύνεσθαι, ἀλλ' ἀφανίσαντες τὸ χρῖσμα* 1

1. *ταῦτα δέ.* Der Leser wird hier, wie oft, gleichsam gleich mitten in das Gespräch hinein versetzt. — *ὑμῖν*, Dativus ethicus; Kr. Gr. §. 48, 6. Was habt ihr für ein Interesse, dass u. s. w. — *ὑποσκελίζουσιν.* Das Beinstellen oder -unterschlagen fand statt bei dem stehenden Ringen oder der *ὀρθὴ πάλη.* — *οἱ δὲ κτἑ.* Dieses bezieht sich auf das liegende oder wälzende Ringen, *ἀλίνδησις, κύλισις*, wobei die mannichfaltigsten Wendungen, Kunstgriffe und wunderbarsten Verschlingungen vorkamen. *λυγίζειν* vom Drehen und Beugen der Glieder. — *καίτοι*, *quamquam*, s. zu V, 14, 6. Ebenso unten c. 37. — *εὐθὺς ἀποδυσ.* sogleich nachdem sie usw., Kr. Gr. §. 56, 10, 3. — *λίπα*, s. unser Wörterb. u. d. W. — *ἐν τῷ μέρει*, s. zu II, 8. — *ὅ τι παθόντες*, s. zu V, 5, 1. — *ἀράμενος . . ἐκ τοῖν σκελοῖν. ἐκ* entsprechend unserem: an, bei. Asin. 23: *λαμβάνεταί με ἐκ τῆς οὐρᾶς καὶ εἴχετο.* Und so schon Herodot. 5, 12: *ἐπέλκουσα ἐκ τοῦ βραχίονος τὸν ἵππον.* — *περιπλέξας κτἑ.* Vgl. unten 31. — *ὡς . . ἀποπνιγείη*, s. zu I, 4. Vgl. c. 2: *ὡς ἀφυκτότεροι εἶεν* u. s. — *φείδονται μή*, hüten sie sich, nehmen sie sich in Acht, s. zu IV,

καὶ τοῦ βορβόρου ἀναπλησθέντες, ἐν ἱδρῶτι ἅμα πολλῷ, γέλωτα ἐμοὶ γοῦν παρέχουσιν ὥσπερ αἱ ἐγχέλυες ἐκ τῶν χειρῶν διολισθαίνοντες. 2 *ἕτεροι δὲ ἐν τῷ αἰθρίῳ τῆς αὐλῆς τὸ αὐτὸ τοῦτο δρῶσιν, οὐκ ἐν πηλῷ οὗτοί γε, ἀλλὰ ψάμμον ταύτην βαθεῖαν ὑποβαλόμενοι ἐν τῷ ὀρύγματι πάττουσί τε ἀλλήλους καὶ αὐτοὶ ἑκόντες ἐπαμῶνται τὴν κόνιν ἀλεκτρυόνων δίκην, ὡς ἀφυκτότεροι εἶεν ἐν ταῖς συμπλοκαῖς, οἶμαι, τῆς ψάμμου τὸν ὄλισθον ἀφαιρούσης καὶ βεβαιοτέραν ἐν ξηρῷ παρεχούσης τὴν ἀντίληψιν.* 3 *οἱ δὲ ὀρθοστάδην, κεκονιμένοι καὶ αὐτοί, παίουσιν ἀλλήλους προσπεσόντες καὶ λακτίζουσιν· οὑτοσὶ γοῦν καὶ τοὺς ὀδόντας ἔοικεν ἀποπτύσειν ὁ κακοδαίμων· οὕτως αἵματος αὐτῷ καὶ ψάμμου ἀναπέπλησται τὸ στόμα, πύξ, ὡς ὁρᾷς, παταχθέντος ἐς τὴν γνάθον. ἀλλ' οὐδὲ ὁ ἄρχων οὑτοσὶ διίστησιν αὐτοὺς καὶ λύει τὴν μάχην — τεκμαίρομαι γὰρ τῇ πορφυρίδι τῶν ἀρχόντων τινὰ τοῦτον εἶναι* 4 *— ὁ δὲ καὶ ἐποτρύνει καὶ τὸν πατάξαντα ἐπαινεῖ. ἄλλοι δὲ*

5. Kr. Gr. §. 67, 12, 3. — *ἐν ἱδρῶτι ἅμα πολλῷ*, d. i. *sudore simul multo diffluentes.* — *ἐγχέλυες*. Sonst bei Luc. *ἐγχέλεις*. — *διολισθαίνοντες*. Beide Formen, *ὀλισθαίνω* und die attische *ὀλισθάνω*, finden sich bei Luc.

2. *ἐν τῷ αἰθρίῳ τῆς αὐλῆς*, zu verstehen von dem grossen freien Platze, zu dem man von dem *ἐφηβεῖον*, dem bedeckten Uebungsraume der Epheben, kam, und der hauptsächlich den gymnastischen Uebungen diente. — *ψάμμον ταύτην βαθεῖαν*. Ebenso *οὗτος* in hinzeigender Bedeutung eingeschoben unten 16: *φλογμὸν τοῦτον οὐ φορητόν*. 18: *πόλιν ταύτην ἀρχαιοτάτην*. Alexand. 4: *καὶ ὄργανα ταῦτα γενναῖα ὑποβεβλημένα ἔχων κτέ.* — *ἐν τῷ ὀρύγματι. ὄρυγμα* bezeichnet den vertieften Raum im Freien, welcher mit Sand gefüllt ist, dasselbe also was das spätere *σκάμμα*. — *πάττουσι ἀλλήλους, conspergunt se invicem.* — *ἐπαμῶνται τὴν κόνιν, pulvere se accumulant.* — *τὸν ὄλισθον*, späteres Wort.

3. *καὶ αὐτοί*, wie die Ringer. Gemeint sind Faustkämpfer, oder richtiger Kämpfer im Pankration; vgl. c. 8. Letzteres umfasste den Faustkampf und das Ringen; das Ausschlagen mit den Füssen kann nur auf das Pankration bezogen werden. — *παταχθέντος*, obschon *αὐτῷ* vorhergeht. So findet sich der absolute Genetiv. für einen Dativ. od. Accusativ. schon bei Homer., Il. 14, 25: *λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς νυσσομένων.* Od. 6, 155 fg.: *μάλα πού σφισι θυμὸς ἰαίνεται . . λευσσόντων.* (Vgl. Kr. Gr. II. §. 47, 4, 1.) Demosth. encom. 9: *οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις πατρίδα μὲν αὐτῷ διδόντων.* Plat. civit. 8 p. 497 A: *τάχα δ' ἂν ἡμῖν τις παραστὰς ἀνὴρ σφοδρὸς καὶ νέος λοιδορήσειεν ἂν ὡς ἀνόητα καὶ ἀδύνατα τιθέντων.* Kr. Gr. §. 47, 4, 2. Die Form *παταχθείς* (unten c. 40 *παταχθῆναι*) ist nicht attisch; die attische Form dafür ist *πληγείς*. — *ὁ ἄρχων*. Vielleicht der Gymnasiarch oder einer der Sophronisten, deren es zehn gab.

4. *ὁ δέ*, der *ἄρχων*. Bei Attikern ist die Beziehung des *ὁ δέ* auf das vorhergehende Subject sehr selten, bei Herodot. häufig (Kr. Gr. II. §. 50, 1, 10). Thukyd. 1, 87: *ἐπεψήφιζεν αὐτὸς ἔφορος ὤν· ὁ δὲ οὐκ ἔφη διαγιγνώσκειν τὴν βοήν.* Oft indessen kommt dieser Gebrauch bei Späteren vor, z. B. bei Arrian. — *ἄλλοι δὲ κτέ.* Uebun-

ἀλλαχόθι πάντες ἐγκονοῦσι καὶ ἀναπηδῶσιν ὥσπερ θέοντες, ἐπὶ τοῦ αὐτοῦ μένοντες, καὶ ἐς τὸ ἄνω συναλλόμενοι λακτίζουσι τὸν ἀέρα. ταῦτα οὖν ἐθέλω εἰδέναι τίνος ἀγαθοῦ ἂν 5 εἴη ποιεῖν· ὡς ἔμοιγε μανίᾳ μᾶλλον ἐοικέναι δοκεῖ τὸ πρᾶγμα, καὶ οὐκ ἔστιν ὅστις ἂν ῥαδίως μεταπείσειέ με, ὡς οὐ παραπαίουσιν οἱ ταῦτα δρῶντες.

ΣΟΛΩΝ. Καὶ εἰκότως, ὦ Ἀνάχαρσι, τοιαῦτά σοι τὰ 6 γιγνόμενα φαίνεται ξένα γε ὄντα καὶ πάμπολυ τῶν Σκυθικῶν ἐθῶν ἀπᾴδοντα, καθάπερ καὶ ὑμῖν πολλὰ εἰκὸς εἶναι μαθήματα καὶ ἐπιτηδεύματα τοῖς Ἕλλησιν ἡμῖν ἀλλόκοτα εἶναι δόξαντα ἄν, εἴ τις ἡμῶν ὥσπερ σὺ νῦν ἐπισταίη αὐτοῖς. πλὴν ἀλλὰ θάρρει, ὦγαθέ· οὐ γὰρ μανία τὰ γιγνόμενά ἐστιν, οὐδ' ἐφ' ὕβρει οὗτοι παίουσιν ἀλλήλους καὶ κυλίουσιν ἐν τῷ πηλῷ ἢ ἐπιπάττουσι τὴν κόνιν, ἀλλ' ἔχει τινὰ χρείαν οὐκ ἀτερπῆ τὸ πρᾶγμα καὶ ἀκμὴν οὐ μικρὰν ἐπάγει τοῖς σώμασιν. ἢν γοῦν ἐνδιατρίψῃς, ὥσπερ οἶμαί σε ποιήσειν, τῇ Ἑλλάδι, οὐκ εἰς μακρὰν εἷς καὶ αὐτὸς ἔσῃ τῶν πεπηλωμένων ἢ κεκονιμένων· οὕτω σοι τὸ πρᾶγμα ἡδύ τε ἅμα καὶ λυσιτελὲς εἶναι δόξει.

ΑΝΑΧ. Ἄπαγε, ὦ Σόλων· ὑμῖν ταῦτα γένοιτο τὰ ὠφέλιμα καὶ τερπνά, ἐμὲ δὲ εἴ τις ὑμῶν τοιοῦτό τι διαθείη, εἴσεται ὡς οὐ μάτην παρεζώσμεθα τὸν ἀκινάκην. ἀτὰρ εἰπέ 7 μοι, τί ὄνομα ἔθεσθε τοῖς γιγνομένοις, ἢ τί φῶμεν ποιεῖν αὐτούς;

ΣΟΛ. Ὁ μὲν χῶρος αὐτός, ὦ Ἀνάχαρσι, γυμνάσιον ὑφ'

gen im Springen. — ἀλλαχόθι, unattische, aber bei Luc. auch sonst vorkommende Form für ἄλλοθι. — ἐγκονοῦσι, *celeriter se movent*, sonst in Prosa nicht anzutreffendes Wort. — ἐπὶ τοῦ αὐτοῦ, auf derselben Stelle. Ein reines Emporschwingen auf freiem ebenen Raume, ohne den Leib im Sprunge fortzubewegen oder auf eine Erhöhung zu bringen. (Krause: Die Gymnastik u. Agon. 1. S. 386.)

5. τίνος ἀγαθοῦ, *cui bono*. Vgl. Philopseud. 1: τούτους οὖν ἐθέλω εἰδέναι τίνος ἀγαθοῦ τοῦτο ποιοῦσιν.

6. καὶ εἰκότως, ganz natürlich. — εἰκός, näml. ἐστί. — δόξαντα ἄν, d. i. ἃ δόξειεν ἄν. Kr. Gr. §. 54, 6, 6. 69, 7 A. 1, 4. Vgl. unten c. 25: ἂν . . ἐμποιήσαντας. De merc. cond. 20: εἰδὼς δὲ πολλοὺς ἐθελήσαντας ἂν κτέ. u. s. — ἀκμή, *vigor, robur*. Alciphr. 3, 49: σῶμα νεότητι καὶ ἀκμῇ νευρούμενον. [Bekker ἀλκήν.] — οὐκ εἰς μακράν, s. zu I, 1. — ἐμὲ εἴ τις ὑμ. τοιοῦτό τι διαθείη, in einen derartigen Zustand versetzte. Hermotim. 10: τούς γε ἄλλους . . οὐδὲν τοιοῦτό πω διατέθεικεν. Iupit. trag. 36: οἵ γε οὐδὲν δεινὸν διατεθείκασί με. Heliodor. 1, 15: καὶ δήλη παντοίως ἐγένετο κακόν τι διαθήσουσα τὴν Θίσβην. Also διατιθέναι fast gleich mit ποιεῖν. Bei den Attikern steht διατιθένα τινά mit einem Adverb. verbunden.

ἡμῶν ὀνομάζεται καὶ ἔστιν ἱερὸν Ἀπόλλωνος τοῦ Λυκείου· καὶ τὸ ἄγαλμα δὲ αὐτοῦ ὁρᾷς, τὸν ἐπὶ τῇ στήλῃ κεκλιμένον, τῇ ἀριστερᾷ μὲν τὸ τόξον ἔχοντα, ἡ δεξιὰ δὲ ὑπὲρ τῆς κεφαλῆς ἀνακεκλασμένη ὥσπερ ἐκ καμάτου μακροῦ ἀναπαυόμενον
8 δείκνυσι τὸν θεόν. τῶν γυμνασμάτων δὲ τούτων τὸ μὲν ἐν τῷ πηλῷ ἐκεῖνο πάλη καλεῖται, οἱ δ' ἐν τῇ κόνει παλαίουσι καὶ αὐτοί, τὸ δὲ παίειν ἀλλήλους ὀρθοστάδην παγκρατιάζειν λέγομεν. καὶ ἄλλα δὲ ἡμῖν ἐστι γυμνάσια τοιαῦτα πυγμῆς καὶ δίσκου καὶ τοῦ ὑπεράλλεσθαι, ὧν ἁπάντων ἀγῶνας προτίθεμεν, καὶ ὁ κρατήσας ἄριστος εἶναι δοκεῖ τῶν καθ' αὑτὸν καὶ ἀναιρεῖται τὰ ἆθλα.

9 ΑΝΑΧ. Τὰ δὲ ἆθλα τίνα ὑμῖν ταῦτά ἐστιν;

ΣΟΛ. Ὀλυμπίασι μὲν στέφανος ἐκ κοτίνου, Ἰσθμοῖ δὲ ἐκ πίτυος, ἐν Νεμέᾳ δὲ σελίνων πεπλεγμένος, Πυθοῖ δὲ μῆλα τῶν ἱερῶν τοῦ θεοῦ, παρ' ἡμῖν δὲ τοῖς Παναθηναίοις τὸ ἔλαιον τὸ ἐκ τῆς μορίας. τί ἐγέλασας, ὦ Ἀνάχαρσι; ἢ διότι μικρά σοι εἶναι ταῦτα δοκεῖ;

ΑΝΑΧ. Οὔκ, ἀλλὰ πάνσεμνα, ὦ Σόλων, κατέλεξας τα ἆθλα καὶ ἄξια τοῖς τε διαθεῖσιν αὐτὰ φιλοτιμεῖσθαι ἐπὶ τῇ μεγαλοδωρίᾳ καὶ τοῖς ἀγωνισταῖς αὐτοῖς ὑπερεσπουδακέναι

7. *ἱερὸν Ἀπόλλωνος τοῦ Λυκείου.* Der Schauplatz des Gesprächs ist also das Lykeion, das dem Apollon Lykeios geweiht war, daher dessen Bildsäule daselbst stand. Die beiden anderen Gymnasien waren die Akademie und das Kynosarges, die an Grösse das Lykeion übertraf. — *καὶ . . δέ*, s. zu II, 33. — *ἐπί*, an. [Vgl. K. O. Müller's Handb. der Archäol. §. 361, 2.] — *ἡ δεξιὰ κτέ.* Uebergang zum Verbum finitum, wie oft.

8. *τὸ δὲ παίειν κτέ.* Nicht genau bezeichnet *παγκρ.* hier nur das Schlagen in aufrechter Stellung wie im Faustkampfe. — *δίσκου*, s. unten c. 27. — *τῶν καθ' αὑτόν*, *aequalium suorum.* Vgl. 36 u. ö.

9. *κοτίνου*, wilder Oelbaum, *oleaster*, den Herakles von den Hyperboreern mitgebracht haben soll. — *Ἰσθμοῖ*, s. Kr. Gr. §. 46, 1, 4. — *σελίνων πεπλ.*, s. zu V, 24, 1. — *Πυθοῖ κτέ.* Der Kampfpreis war hier ein Kranz aus Lorbeerzweigen. Indessen wurden zu irgend einer Zeit auch Aepfel als Kampfpreise dargereicht, wie viele Stellen späterer Schriftsteller bezeugen. — *τοῖς Παναθηναίοις*, s. zu VII, 14. Die Panathenäen waren das grösste Fest der Athenäer zu Ehren der Athene Polias, das in jedem dritten Olympiadenjahr vom 25 bis 28 Hekatombäon gefeiert wurde. — *μορίας*. *μορία* hiess der heilige Oelbaum der Athene auf der Akropolis, den die Göttin selbst gepflanzt haben soll; und ebenso hiessen die von diesem abstammenden und der Athene heiligen öffentlichen Oelbäume *μορίαι*. Der Kampfpreis in den gymnischen Wettkämpfen bestand in einem Kranze von den Zweigen des heiligen Oelbaums und in einem irdenen Gefäss mit Oel von den *μορίαι*. — *τί ἐγέλασας;* warum brachst du in Lachen aus? warum musst du lachen? Kr. Gr. §. 53, 6, 3. — *ἤ*, an; wir: etwa, s. zu VI, 2, 1. Vgl. unten c. 37. — *ὑπερεσπουδακέναι.* Ueber dieses Perfect. s. Kr. Gr.

περὶ τὴν ἀναίρεσιν τῶν τηλικούτων, ὥστε μήλων ἕνεκα καὶ σελίνων τοσαῦτα προπονεῖν καὶ κινδυνεύειν ἀγχομένους πρὸς ἀλλήλων καὶ κατακλωμένους, ὡς οὐκ ἐνὸν ἀπραγμόνως εὐπορῆσαι μήλων ὅτῳ ἐπιθυμία, ἢ σελίνῳ ἐστεφανῶσθαι ἢ πίτυϊ μήτε πηλῷ καταχριόμενον τὸ πρόσωπον μήτε λακτιζόμενον ἐς τὴν γαστέρα ὑπὸ τῶν ἀνταγωνιστῶν.

ΣΟΛ. Ἀλλ', ὦ ἄριστε, οὐκ ἐς ψιλὰ τὰ διδόμενα ἡμεῖς ἀποβλέπομεν. ταῦτα μὲν γάρ ἐστι σημεῖα τῆς νίκης καὶ γνωρίσματα οἵτινες οἱ κρατήσαντες, ἡ δὲ παρακολουθοῦσα τούτοις δόξα τοῦ παντὸς ἀξία τοῖς νενικηκόσιν, ὑπὲρ ἧς καὶ λακτίζεσθαι καλῶς ἔχει τοῖς θηρωμένοις τὴν εὔκλειαν ἐκ τῶν πόνων· οὐ γὰρ ἀπονητὶ προσγένοιτο ἂν αὕτη, ἀλλὰ χρὴ τὸν ὀρεγόμενον αὐτῆς πολλὰ τὰ δυσχερῆ ἀνασχόμενον ἐν τῇ ἀρχῇ τότ' ἤδη τὸ λυσιτελὲς καὶ ἡδὺ τέλος ἐκ τῶν καμάτων περιμένειν. 1

ΑΝΑΧ. Τοῦτο φής, ὦ Σόλων, τὸ τέλος ἡδὺ καὶ λυσιτελές, ὅτι πάντες αὐτοὺς ὄψονται ἐστεφανωμένους καὶ ἐπὶ τῇ νίκῃ ἐπαινέσονται πολὺ πρότερον οἰκτείραντες ἐπὶ ταῖς πληγαῖς, οἱ δὲ εὐδαιμονήσουσιν ἀντὶ τῶν πόνων μῆλα καὶ σέλινα ἔχοντες.

ΣΟΛ. Ἄπειρος εἶ, φημί, τῶν ἡμετέρων ἔτι· μετὰ μικρὸν δὲ ἄλλα σοι δόξει περὶ αὐτῶν, ἐπειδὰν ἐς τὰς πανηγύρεις ἀπιὼν ὁρᾷς τοσοῦτον πλῆθος ἀνθρώπων συλλεγόμενον ἐπὶ τὴν θέαν τῶν τοιούτων καὶ θέατρα μυρίανδρα συμπληρούμενα καὶ τοὺς ἀγωνιστὰς ἐπαινουμένους, τὸν δὲ καὶ νικήσαντα αὐτῶν ἰσόθεον νομιζόμενον.

ΑΝΑΧ. Αὐτὸ τοῦτο, ὦ Σόλων, καὶ τὸ οἴκτιστόν ἐστιν, 1

§. 53, 3, 3. Unten c. 12: *οὐ μάτην ἐσπουδάκαμεν ἐπὶ τούτοις.* — *πρός*, s. zu II, 25. — *ὡς οὐκ ἐνόν*, *quasi non liceat*, s. zu II, 14. Uebrigens beachte die Ironie in den Worten des Anacharsis.

10. *οὐκ ἐς ψιλὰ τὰ διδ. ἡμ. ἀποβλ.*, *non ad nuda ista munera respicimus.* — *τοῦ παντὸς ἀξία*, ist von ausserordentlichem Werthe. Plat. Sophist. p. 216 C.: *οἱ φιλόσοφοι τοῖς μὲν δοκοῦσιν εἶναι τοῦ μηδενὸς τίμιοι, τοῖς δὲ ἄξιοι τοῦ παντός.* Herodot. 6, 137, 1: *κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην.* — *ἀπονητί* = *ἀπόνως*, findet sich auch Rhet. praec. 8. Früher nur bei Herodot. 3, 146. 6, 25. — *τότ' ἤδη*, *tum demum*, nach dem Particip. zur Hervorhebung der Folge, s. Kr. Gr. §. 56, 10, 3. Ebenso im Latein. *tum demum* od. *denique.* — *πολύ*, wozu gehörig? — *τὸν δὲ καί.* Womit ist *καί* zu verbinden?

11. *αὐτὸ τοῦτο*, eben das. — *καὶ τὸ οἴκτιστον*, *vel miserrimum.* Die Form *οἴκτιστος* ist den Atti-

εἰ μὴ ἐπ' ὀλίγων ταῦτα πάσχουσιν, ἀλλὰ ἐν τοσούτοις θεαταῖς καὶ μάρτυσι τῆς ὕβρεως, οἳ δηλαδὴ εὐδαιμονίζουσιν αὐτοὺς αἵματι ῥαινομένους ὁρῶντες ἢ ἀγχομένους ὑπὸ τῶν ἀντιπάλων· ταῦτα γὰρ τὰ εὐδαιμονέστατα πρόσεστι τῇ νίκῃ αὐτῶν. παρ' ἡμῖν δὲ τοῖς Σκύθαις ἤν τις, ὦ Σόλων, ἢ πατάξῃ τινὰ τῶν πολιτῶν ἢ ἀνατρέψῃ προσπεσὼν ἢ θαἰμάτια περιρρήξῃ, μεγάλας οἱ πρεσβῦται τὰς ζημίας ἐπάγουσι, κἂν ἐπ' ὀλίγων τῶν μαρτύρων τοῦτο πάθῃ τις, οὔτι γε ἐν τηλικούτοις θεάτροις, οἷα σὺ διηγῇ τὸ Ἰσθμοῖ καὶ τὸ ἐν Ὀλυμπίᾳ. οὐ μὴν ἀλλὰ τοὺς μὲν ἀγωνιστὰς οἰκτείρειν μοι ἔπεισιν ὧν πάσχουσι, τῶν δὲ θεατῶν οὓς φῂς ἁπανταχόθεν τοὺς ἀρίστους παραγίγνεσθαι ἐς τὰς πανηγύρεις, καὶ πάνυ θαυμάζω, εἰ τἀναγκαῖα παρέντες σχολάζουσιν ἐπὶ τοῖς τοιούτοις· οὐδὲ γὰρ ἐκεῖνό πω δύναμαι κατανοῆσαι, ὅτι τοῦτο τερπνὸν αὐτοῖς, ὁρᾶν παιομένους τε καὶ διαπληκτιζομένους ἀνθρώπους καὶ πρὸς τὴν γῆν ἀραττομένους καὶ συντριβομένους ὑπ' ἀλλήλων.

12 *ΣΟΛ. Εἰ καιρὸς ἦν, ὦ Ἀνάχαρσι, Ὀλυμπίων ἢ Ἰσθμίων ἢ Παναθηναίων, αὐτὸ ἄν σε τὸ γιγνόμενον ἐδίδαξεν, ὡς οὐ μάτην ἐσπουδάκαμεν ἐπὶ τούτοις· οὐ γὰρ οὕτω λέγων ἄν τις προσβιβάσειέ σε τῇ ἡδονῇ τῶν ἐκεῖ δρωμένων, ὡς εἰ καθεζόμενος αὐτὸς ἐν μέσοις τοῖς θεαταῖς βλέποις ἀρετὰς ἀνδρῶν*

kern fremd. — *ἐπ' ὀλίγων*, *coram paucis;* s. zu Piscat. 27. Diesem *ἐπί* ist das gleich folgende *ἐν* synonym. Toxar. 49: *ἡ ὕβρις ἐν τοσούτοις ἀνθρώποις οὐ μετρίως μου καθίκετο.* Vitar. Auct. 27: *ἐν ὀλίγοις ἡ πρᾶσις ἔσται.* De dom. 14: *ἐν δικασταῖς ὑμῖν εἰπάτω.* — *ῥαινομένους.* Sonst steht bei Luc. in dieser Verbindung *ῥεομένους*, z. B. V, 14, 5 u. s. Das Verbum *ῥαίνω* findet sich bei Luc. noch Scyth. 2: *ἢν τοὺς στενωποὺς οἴνῳ πολλῷ ῥάνωσι.* — *ἀνατρέψῃ*, zu Boden werfen. — *μεγάλας τὰς ζημίας*, Kr. Gr. §. 50, 11, 1. — *ἐπάγουσι.* Ebenso Demosth. 18, 150: *οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν.* — *οὔτι γε*, geschweige denn, gewöhnlich nach einem negativen Satze, der auch hier dem Sinne nach vorhanden ist: sie lassen nicht unbestraft. De conscr. hist. 29: *οὐδὲ τὸν ἕτερον πόδα ἐκ Κορίνθου πώποτε προβεβηκὼς οὐδ' ἄχρι Κεγχρεῶν ἀποδημήσας, οὔτι γε Συρίαν ἢ Ἀρμενίαν ἰδών.* De merc. cond. 17. Demosth. enc. 21. [Sicher falsch ist es, wenn dafür nach Hermann *μήτοι* und *οὔτοι γε* geschrieben wird.] — *οὐ μὴν ἀλλά*, indessen, *verumtamen*, s. zu VI, 14, 4. — *τῶν δὲ θεατῶν .. θαυμάζω, εἰ κτἑ.* Der Satz mit *εἰ* ist Object (Kr. Gr. §. 47, 10, 9). Vgl. unten c. 16: *ὥστε καὶ σοῦ θαυμάζω, ὅπως κτἑ.* Cynic. 16: *θαυμάζω δέ σου, πῶς κτἑ.* Philopseud. 15: *θαυμάζω τοῦ μάγου, εἰ κτἑ.* Ueber *εἰ* s. Kr. Gr. §. 65, 5, 7. — *καὶ πάνυ*, gar sehr. — *τἀναγκαῖα*, ihre Geschäfte. — *σχολάζουσιν ἐπί.* Ebenso De saltat. 2. Gewöhnlich mit dem blossen Dativ. — *οὐδὲ γάρ*, s. oben zu VIII, 11.

12. *αὐτὸ τὸ γιγνόμενον*, *res ipsa.* Vgl. II, 24 z. A. — *ἐσπουδάκαμεν*, s. vorher zu 9. — *λέγων*, *dicendo.* — *προσβιβάσειε τῇ ἡδονῇ*, *quasi*

καὶ κάλλη σωμάτων καὶ εὐεξίας θαυμαστὰς καὶ ἐμπειρίας δεινὰς καὶ ἰσχὺν ἄμαχον καὶ τόλμαν καὶ φιλοτιμίαν καὶ γνώμας ἀηττήτους καὶ σπουδὴν ἄληκτον ὑπὲρ τῆς νίκης· εὖ γὰρ δὴ οἶδα, ὡς οὐκ ἂν ἐπαύσω ἐπαινῶν καὶ ἐπιβοῶν καὶ ἐπικροτῶν.

13 ΑΝΑΧ. Νὴ Δί', ὦ Σόλων, καὶ ἐπιγελῶν γε προσέτι καὶ ἐπιχλευάζων· ἅπαντα γὰρ ὁπόσα κατηριθμήσω ἐκεῖνα, τὰς ἀρετὰς καὶ τὰς εὐεξίας καὶ τὰ κάλλη καὶ τόλμαν, ὁρῶ οὐδενὸς μεγάλου ἕνεκα παραπολλυμένας ὑμῖν, οὔτε πατρίδος κινδυνευούσης οὔτε χώρας πορθουμένης οὔτε φίλων ἢ οἰκείων πρὸς ὕβριν ἀπαγομένων. ὥστε τοσούτῳ γελοιότεροι ἂν εἶεν, ἄριστοι μέν, ὡς φῄς, ὄντες, μάτην δὲ τοσαῦτα πάσχοντες καὶ ταλαιπωρούμενοι καὶ αἰσχύνοντες τὰ κάλλη καὶ τὰ μεγέθη τῇ ψάμμῳ καὶ τοῖς ὑπωπίοις, ὡς μήλου ἢ κοτίνου ἐγκρατεῖς γένοιντο νικήσαντες· ἡδὺ γάρ μοι ἀεὶ μεμνῆσθαι τῶν ἄθλων τοιούτων ὄντων. ἀτὰρ εἰπέ μοι, πάντες αὐτὰ λαμβάνουσιν οἱ ἀγωνισταί;

ΣΟΛ. Οὐδαμῶς, ἀλλὰ εἷς ἐξ ἁπάντων ὁ κρατήσας αὐτῶν.

ΑΝΑΧ. Εἶτ', ὦ Σόλων, ἐπὶ τῷ ἀδήλῳ καὶ ἀμφιβόλῳ τῆς νίκης τοσοῦτοι πονοῦσι, καὶ ταῦτ' εἰδότες, ὅτι ὁ μὲν νικῶν εἷς ἔσται πάντως, οἱ δὲ ἡττώμενοι πάμπολλοι, μάτην ἄθλιοι πληγάς, οἱ δὲ καὶ τραύματα λαβόντες;

14 ΣΟΛ. Ἔοικας, ὦ Ἀνάχαρσι, μηδέπω ἐννενοηκέναι πολιτείας ὀρθῆς πέρι μηδέν· οὐ γὰρ ἂν τὰ κάλλιστα τῶν ἐθῶν ἐν ψόγῳ ἐτίθεσο. ἢν δέ σοι μελήσῃ ποτὲ εἰδέναι, ὅπως ἂν τὰ κάλλιστα οἰκηθείη πόλις καὶ ὅπως ἂν ἄριστοι γένοιντο οἱ

admovere voluptati. — γνώμας ἀηττήτους, unbeugsame Gesinnung. — ἄληκτον. Episches Wort, auch sonst bei Luc. — γὰρ δή, s. zu VI, 14, 13.

13. ἄριστοι μὲν .. ὄντες .. πάσχοντες καὶ ταλαιπ. καὶ αἰσχύν. Diese Participia enthalten die nähere Erklärung oder Begründung des Hauptsatzes. Uebrigens ist das Verhältniss der beiden durch die Partikeln μέν und δέ coordinirten Glieder zu beachten, von denen wir das erstere mit μέν durch während ausdrücken (Kr. Gr. §. 69, 16, 3.), *qui quum .. sint, tamen patiantur.* — εἶτ', s. zu V, 16, 1. Vgl. nachher c. 16. 35. — ἐπὶ τῷ ἀδήλῳ καὶ ἀμφ., s. zu I, 8. — καὶ ταῦτα, *idque.* — οἱ δὲ καί, *partim etiam.* So oft οἱ δέ ohne vorhergehendes οἱ μέν.

14. ἐν ψόγῳ ἐτίθεσο, *in vituperationem vertere.* Alexand. 25: πάντα ταῦτα ἐν γέλωτι καὶ παιδιᾷ τιθέμενος. Ebenso ἐν γέλωτι oder παιδιᾷ ποιεῖσθαι. — τὰ κάλλιστα. Ebenso unten c. 30: ἔς τε εἰρήνην καὶ ἐς πόλεμον τὰ ἄριστα παρεσκευασμένη. De merc. cond. 11: ἢν δέ ποτε καὶ τὰ ἄριστα πράξῃς. Thukyd. 5, 9: ἢν τὰ ἄριστα πρα-

πολῖται αὐτῆς, ἐπαινέσῃ τότε καὶ τὰς ἀσκήσεις ταύτας καὶ τὴν φιλοτιμίαν ἣν φιλοτιμούμεθα περὶ αὐτάς, καὶ εἴσῃ ὅτι πολὺ τὸ χρήσιμον ἔχουσιν ἐγκαταμεμιγμένον τοῖς πόνοις, εἰ καὶ νῦν μάτην σπουδάζεσθαι δοκοῦσι.

ΑΝΑΧ. Καὶ μήν, ὦ Σόλων, κατ' οὐδὲν ἄλλο ἀπὸ τῆς Σκυθίας ἥκω παρ' ὑμᾶς τοσαύτην μὲν γῆν διοδεύσας, μέγαν δὲ τὸν Εὔξεινον καὶ δυσχείμερον περαιωθείς, ἢ ὅπως νόμους τε τοὺς Ἑλλήνων ἐκμάθοιμι καὶ ἔθη τὰ παρ' ὑμῖν κατανοήσαιμι καὶ πολιτείαν τὴν ἀρίστην ἐκμελετήσαιμι. διὸ καὶ σὲ μάλιστα φίλον ἐξ ἁπάντων Ἀθηναίων καὶ ξένον προειλόμην κατὰ κλέος, ἐπείπερ ἤκουον νόμων τέ τινων ξυγγραφέα εἶναί σε καὶ ἐθῶν τῶν ἀρίστων εὑρετὴν καὶ ἐπιτηδευμάτων ὠφελίμων εἰσηγητήν, καὶ ὅλως πολιτείας τινὸς συναρμοστήν. ὥστε οὐκ ἂν φθάνοις διδάσκων με καὶ μαθητὴν ποιούμενος· ὡς ἔγωγε ἡδέως ἂν ἄσιτός σοι καὶ ἄποτος παρακαθεζόμενος, ἐς ὅσον ἂν αὐτὸς διαρκοίης λέγων, κεχηνὼς ἐπακούοιμι περὶ πολιτείας τε καὶ νόμων διεξιόντος.

15 *ΣΟΛ. Τὰ μὲν πάντα οὐ ῥᾴδιον, ὦ ἑταῖρε, διελθεῖν ἐν βραχεῖ, ἀλλὰ κατὰ μέρη ἐπιὼν εἴσῃ ἕκαστα, οἷα μὲν περὶ θεῶν, οἷα δὲ περὶ γονέων ἢ περὶ γάμων ἢ τῶν ἄλλων δοκεῖ ἡμῖν. ἃ δὲ περὶ τῶν νέων γιγνώσκομεν καὶ ὅπως αὐτοῖς χρώμεθα, ἐπειδὰν πρῶτον ἄρξωνται συνιέναι τε τοῦ βελτίονος καὶ τῷ σώματι ἀνδρίζεσθαι καὶ ὑφίστασθαι τοὺς πόνους, ταῦτα ἤδη σοι διέξειμι, ὡς μάθοις οὗτινος χάριν τὰς ἀσκήσεις ταύτας προτεθείκαμεν αὐτοῖς καὶ διαπονεῖν τὸ σῶμα καταναγκάζομεν, οὐ μόνον ἕνεκα τῶν ἀγώνων, ὅπως τὰ ἆθλα δύναιντο ἀναιρεῖσθαι — ἐπ' ἐκεῖνα μὲν γὰρ ὀλίγοι πάνυ ἐξ ἁπάντων χωροῦσιν — ἀλλὰ μεῖζόν τι ἁπάσῃ τῇ πόλει ἀγαθὸν*

ξητε. [An allen derartigen Stellen mit Cobet den Artikel zu tilgen, dürfte wol nicht gerechtfertigt sein.] — *κατ' οὐδὲν ἄλλο, nulla alia causa*. — *νόμων τινῶν, legum quarundam*, von irgend welchen Gesetzen. Vgl. das gleich folgende *πολιτείας τινός*. — *οὐκ ἂν φθάνοις διδάσκων*, d. i. *quam primum* od. *quantocius doceas*, Kr. Gr. §. 56, 5, 6. Vgl. c. 17. Conviv. 2: *ὥστε οὐκ ἂν φθάνοις ἑστιῶν ἡμᾶς*. Bei Luc. steht statt des Partic. Praes. auch das des Aor., was unattisch ist, vgl. Vit. auct. 26: *ὥστε οὐκ ἂν φθάνοις ὠνησάμενος*. Toxar. 2: *ὥστε οὐκ ἂν φθάνοιτε ἐξεργασάμενοι*. S. unser Wörterb. unter *φθάνω*. — *ἐς ὅσον*, auf wie lange, so lange als, oft bei Luc. — *διαρκοίης λέγων*. *διαρκεῖν* mit dem Partic. wie *διατελεῖν* u. a., Kr. Gr. §. 56, 5, 3.

15. *κατὰ μέρη ἐπιών, per partes persequi* od. *perlustrare*. — *οἷα μέν .. οἷα δέ*, Kr. Gr. §. 59, 1, 4. — *ἄρξωνται συνιέναι*, Kr. Gr. §. 56, 5, 1. Unten c. 26: *ὀψὲ ἂν ἰδίειν*

ἐκ τούτου καὶ αὐτοῖς ἐκείνοις προσκτώμενοι· κοινὸς γάρ τις ἀγὼν ἄλλος ἅπασι τοῖς ἀγαθοῖς πολίταις πρόκειται καὶ στέφανος οὐ πίτυος οὐδὲ κοτίνου ἢ σελίνων, ἀλλ᾽ ὃς ἐν αὑτῷ συλλαβὼν ἔχει τὴν ἀνθρώπων εὐδαιμονίαν, οἷον ἐλευθερίαν λέγω αὐτοῦ τε ἑκάστου ἰδίᾳ καὶ κοινῇ τῆς πατρίδος καὶ πλοῦτον καὶ δόξαν καὶ ἑορτῶν πατρίων ἀπόλαυσιν καὶ οἰκείων σωτηρίαν, καὶ συνόλως τὰ κάλλιστα ὧν ἄν τις εὔξαιτο γενέσθαι οἱ παρὰ τῶν θεῶν· ταῦτα πάντα τῷ στεφάνῳ, ὅν φημι, συναναπέπλεκται καὶ ἐκ τοῦ ἀγῶνος ἐκείνου περιγίγνεται, ἐφ᾽ ὃν αἱ ἀσκήσεις αὗται καὶ οἱ πόνοι ἄγουσιν.

16 ΑΝΑΧ. Εἶτα, ὦ θαυμάσιε Σόλων, τοιαῦτά μοι καὶ τηλικαῦτα ἔχων ἆθλα διεξιέναι μῆλα καὶ σέλινα διηγοῦ καὶ θαλλὸν ἐλαίας ἀγρίας καὶ πίτυν;

ΣΟΛ. Καὶ μήν, ὦ Ἀνάχαρσι, οὐδ᾽ ἐκεῖνά σοι ἔτι δόξει μικρὰ εἶναι, ὁπόταν ἃ λέγω καταμάθῃς· ἀπὸ γάρ τοι τῆς αὐτῆς γνώμης γίγνεται καὶ μέρη πάντα ταῦτά ἐστι μικρὰ τοῦ μείζονος ἐκείνου ἀγῶνος καὶ τοῦ στεφάνου ὃν κατέλεξα τοῦ πανευδαίμονος. ὁ δὲ λόγος οὐκ οἶδ᾽ ὅπως ὑπερβὰς τὴν τάξιν, ἐκείνων πρότερον ἐπεμνήσθη τῶν Ἰσθμοῖ γιγνομένων καὶ Ὀλυμπίασι καὶ ἐν Νεμέᾳ. πλὴν ἀλλὰ νὼ — σχολὴν γὰρ ἄγομεν καὶ σύ, ὡς φῄς, προθυμῇ ἀκούειν — ἀναδραμούμεθα ῥᾳδίως πρὸς τὴν ἀρχὴν καὶ τὸν κοινὸν ἀγῶνα, δι᾽ ὅν φημι πάντα ταῦτα ἐπιτηδεύεσθαι.

ΑΝΑΧ. Ἄμεινον, ὦ Σόλων, οὕτως· καθ᾽ ὁδὸν γὰρ ἂν ἡμῖν ὁ λόγος μᾶλλον προχωροίη καὶ τάχ᾽ ἂν ἴσως ἀπὸ τούτων πεισθείην μηδ᾽ ἐκείνων ἔτι καταγελᾶν, εἴ τινα ἴδοιμι σεμνυνόμενον κοτίνῳ ἢ σελίνῳ ἐστεφανωμένον. ἀλλ᾽ εἰ δοκεῖ, ἐς τὸ σύσκιον ἐκεῖσε ἀπελθόντες καθίσωμεν ἐπὶ τῶν

ὁ τοιοῦτος ἄρξαιτο. — τοῦ βελτίονος, s. zu I, 12. — ὀλίγοι πάνυ, s. zu VI, 7. — χωροῦσιν, gelangen. — προσκτώμενοι, schliesst sich an προτεθείκαμεν und καταναγκάζομεν an. — συλλαβὼν ἔχει. De saltat. 34: ὅσα ἐν αὐτῇ τερπνὰ καὶ χρήσιμα περιλαβοῦσα ἔχει (ἡ ὄρχησις). Alexand. 61: ὃν ἐγὼ πάντων μάλιστα θαυμάσας ἔχω. Demosth. enc. 32 u. s. Kr. Gr. §. 56, 3, 6. — οἷον, *ex quo genere*. — οἰκείων σωτηρίαν, *rei familiaris conservationem*. — συνόλως. Als Adverb. wird gewöhnlich τὸ σύνολον gebraucht.

16. ὦ θαυμάσιε, ironisch, wie häufig. — ἐλαίας. Die attische Form ist ἐλάας. — ἀπὸ τῆς αὐτῆς γνώμης γίγνεται, gehen aus derselben Gesinnung oder Absicht hervor. Vgl. Nigr. 32: ἀπὸ τῆς αὐτῆς γνώμης κἀκεῖνο ἔλεγεν. — γάρ τοι, *nam omnino*, bei Luc. sehr häufige Partikelverbindung. — καθ᾽ ὁδόν, auf rechtem Wege, *ordine, via et ratione*. — ἀπὸ τούτων, s. zu IV, 4. Kr. Gr. §. 68,

θάκων, ὡς μὴ ἐνοχλοῖεν ἡμῖν οἱ ἐπικεκραγότες τοῖς παλαίουσιν· ἄλλως τε — εἰρήσεται γάρ — οὐδὲ τὸν ἥλιον ἔτι ῥᾳδίως ἀνέχομαι ὀξὺν καὶ φλογώδη ἐμπίπτοντα γυμνῇ τῇ κεφαλῇ· τὸν γὰρ πῖλόν μοι ἀφελεῖν οἴκοθεν ἔδοξεν, ὡς μὴ μόνος ἐν ὑμῖν ξενίζοιμι τῷ σχήματι. ἡ δὲ ὥρα τοῦ ἔτους ὅ τι περ τὸ πυρωδέστατόν ἐστι, τοῦ ἀστέρος, ὃν ὑμεῖς κύνα φατέ, πάντα καταφλέγοντος καὶ τὸν ἀέρα ξηρὸν καὶ διακαῆ τιθέντος, ὅ τε ἥλιος κατὰ μεσημβρίαν ἤδη ὑπὲρ κεφαλῆς ἐπικείμενος φλογμὸν τοῦτον οὐ φορητὸν ἐπάγει τοῖς σώμασιν. ὥστε καὶ σοῦ θαυμάζω, ὅπως γηραιὸς ἤδη ἄνθρωπος οὔτε ἰδίεις πρὸς τὸ θάλπος ὥσπερ ἐγὼ οὔτε ὅλως ἐνοχλουμένῳ ἔοικας οὐδὲ περιβλέπεις σύσκιόν τι ἔνθα ὑποδύσῃ, ἀλλὰ δέχῃ τὸν ἥλιον εὐμαρῶς.

ΣΟΛ. Οἱ μάταιοι γὰρ οὗτοι πόνοι, ὦ Ἀνάχαρσι, καὶ αἱ συνεχεῖς ἐν τῷ πηλῷ κυβιστήσεις καὶ αἱ ὑπαίθριοι ἐν τῇ ψάμμῳ ταλαιπωρίαι τοῦτο ἡμῖν τὸ ἀμυντήριον παρέχουσι πρὸς τὰς τοῦ ἡλίου βολάς, καὶ οὐκέτι πίλου δεόμεθα, ὃς τὴν ἀκτῖνα κωλύσει καθικνεῖσθαι τῆς κεφαλῆς. ἀπίωμεν δ' οὖν.

17 *καὶ ὅπως μὴ καθάπερ νόμοις προσέξεις οἷς ἂν λέγω πρὸς σέ, ὡς ἐξ ἅπαντος πιστεύειν αὐτοῖς, ἀλλ' ἔνθα ἂν σοι μὴ ὀρθῶς τι λέγεσθαι δοκῇ, ἀντιλέγειν εὐθὺς καὶ διευθύνειν τὸν λόγον· δυοῖν γὰρ θατέρου πάντως οὐκ ἂν ἁμάρτοιμεν, ἢ σὲ*

16, 7. — *εἰρήσεται γάρ*, s. zu II, 26. — *οἴκοθεν*, von Hause aus. „*pileum enim deponere, simulac domo exieram, visum est.*“ Schäfer. — *ὡς μὴ μόν. ξενίζ.* Der Hellene bediente sich der Kopfbedeckung nur auf Reisen; im gewöhnlichen Leben nur der Kranke. — *ἡ δὲ ὥρα τοῦ ἔτ. ὅ τι περ τὸ πυρ. ἐστι*, d. i. *anni autem tempus ad summum fervorem processit.* Ebenso Navig. 22: *ὁρῶντες ἵππους καὶ παῖδας ὡραίους ὅσον δισχιλίους, ἐξ ἁπάσης ἡλικίας ὅ τι περ τὸ ἀνθηρότατον.* Gegen den Gebrauch der Attiker verstösst an diesen und ähnlichen Stellen die Hinzufügung des Artikels *τό*. — *τιθέντος* = *ποιοῦντος*. Dial. mar. 14, 2: *ὑπόπτερον αὐτὸν ἡ Ἀθηνᾶ ἔθηκεν.* Gall. 13: *ἐξ ἀφανῶν καὶ ἀδόξων ἐνίοτε περιβλέπτους καὶ ἀοιδίμους τίθησι.* Dieser Gebrauch von *τιθέναι* ist mehr dichterisch, obschon sich Beispiele davon bei Platon u. a. finden. — *τοῦτον*, s. oben zu c. 2. — *σοῦ θαυμάζω, ὅπως*, s. zu 11. — *οὐδέ*. Was bedeutet dieses nach *οὔτε .. οὔτε*? Musc. enc. 2: *ἡ δὲ πτῆσις οὔτε κατὰ νυκτερίδας εἰρεσίᾳ συνεχεῖ τῶν πτερῶν οὔτε κατὰ τὰς ἀκρίδας μετὰ πηδήματος οὐδὲ ὡς οἱ σφῆκες μετὰ ῥοιζήματος.* — *γάρ*, wie zu erklären? — *οὗτοι*, s. zu II, 6.

17. *ὅπως μὴ προσέξεις*, s. zu II, 48. — *ὡς* = *ὥστε*, wie nicht selten bei Luc., s. zu IV, 9. — *ἐξ ἅπαντος*, vor Allem, durchaus, s. zu VII, 13. Vgl. unten c. 20. — *ἀντίλεγειν καὶ διευθύνειν*, imperativisch, wie nicht selten. Rhet. praec. 10: *σὺ δὲ μήτε πείθεσθαι μήτε προσέχειν αὐτῷ.* Adv. Ind. 7: *τὰ μὲν ἄλλα μὴ ἐξετάζειν.* Amor. 5: *σὺ δ' ἡμῖν τὰ πάλαι κλέα μελῳδίᾳ περαίνειν.* Phalar. 1, 11.

βεβαίως πεισθῆναι ἐκχέαντα ὁπόσα οἴει ἀντιλεκτέα εἶναι ἢ ἐμὲ ἀναδιδαχθῆναι ὡς οὐκ ὀρθῶς γιγνώσκω περὶ αὐτῶν. καὶ ἐν τούτῳ πᾶσα ἄν σοι ἡ πόλις ἡ Ἀθηναίων οὐκ ἂν φθάνοι χάριν ὁμολογοῦσα· ὅσα γὰρ ἂν ἐμὲ παιδεύσῃς καὶ μεταπείσῃς πρὸς τὸ βέλτιον, ἐκείνην τὰ μέγιστα ἔσῃ ὠφεληκώς. οὐδὲν γὰρ ἂν ἀποκρυψαίμην αὐτήν, ἀλλ' εὐθὺς εἰς τὸ μέσον καταθήσω φέρων καὶ καταστὰς ἐν τῇ πυκνὶ ἐρῶ πρὸς ἅπαντας, "Ἄνδρες Ἀθηναῖοι, ἐγὼ μὲν ὑμῖν ἔγραψα τοὺς νόμους οἵους [ἂν] ᾤμην ὠφελιμωτάτους ἔσεσθαι τῇ πόλει, ὁ δὲ ξένος οὑτοσὶ" — δείξας σέ, ὦ Ἀνάχαρσι — "Σκύθης μέν ἐστι, σοφὸς δὲ ὢν μετεπαίδευσέ με καὶ ἄλλα βελτίω μαθήματα καὶ ἐπιτηδεύματα ἐδιδάξατο· ὥστε εὐεργέτης ὑμῶν ὁ ἀνὴρ ἀναγεγράφθω καὶ χαλκοῦν αὐτὸν ἀναστήσατε παρὰ τοὺς ἐπωνύμους ἢ ἐν πόλει παρὰ τὴν Ἀθηνᾶν". καὶ εὖ ἴσθι, ὡς οὐκ αἰσχυνεῖται ἡ Ἀθηναίων πόλις παρὰ βαρβάρου καὶ ξένου τὰ συμφέροντα ἐκμανθάνοντες.

18 ΑΝΑΧ. Τοῦτο ἐκεῖνο ἦν ἄρα, ὃ ἐγὼ περὶ ὑμῶν ἤκουον τῶν Ἀθηναίων, ὡς εἴητε εἴρωνες ἐν τοῖς λόγοις. ἐπεὶ πόθεν ἂν ἐγώ, νομὰς καὶ πλάνης ἄνθρωπος, ἐφ' ἁμάξης βεβιωκώς, ἄλλοτε ἄλλην γῆν ἀμείβων, πόλιν δὲ οὔτε οἰκήσας πώποτε οὔτε ἄλλοτε ἢ νῦν ἑωρακώς, περὶ πολιτείας διεξίοιμι

Kr. Gr. §. 55, 1, 5. — ἐκχέαντα, wie das latein. *effundere*, vorbringen. Aristoph. Thesmoph. 554: ὅσα γὰρ ᾔδεις ἐξέχεας ἅπαντα. — ἐν τούτῳ, *hac in re*. — οὐκ ἂν φθάνοι, s. vorher zu c. 14. — χάριν ὁμολογοῦσα. Spätere Redensart, bei Luc. noch Pro laps. 15. 18. Abdic. 14. — ὅσα, ohne entsprechendes Demonstrativ., dessen Stelle, nur verstärkt, τὰ μέγιστα vertritt. — τὰ μέγιστα, Kr. Gr. §. 46, 11, 2. — εἰς τὸ μέσον καταθήσω φέρων, *in medium allatum proponam*. Prometh. 14: εἰς τὸ κοινὸν φέρων κατέθηκα ὑμῖν αὐτούς. u. s. — ἂν gehört zum Infinitiv. ἔσεσθαι, eine von Vielen angezweifelte Verbindung. Unten c. 24: τὸ δ' ἔτι ζωῆς μετέχον σῶμα μὴ ἂν κτέ. Vgl. Kr. Gr. §. 64, 3, 3. — μετεπαίδευσε, nur bei Luc. vorkommendes Wort. — ἐδιδάξατο, s. zu I, 10. Vgl. unten c. 19. — εὐεργέτης ἀναγεγρ., s. zu IV, 24. — χαλκοῦν αὐτὸν ἀναστήσατε, d. i. setzet ihm eine eherne Bildsäule, s. zu II, 51. — τοὺς ἐπωνύμους, d. i. die Statuen der zehn Heroen im Kerameikos (s. zu Piscat. 13), von denen die Phylen der Athenäer ihre Namen erhielten. — ἐν πόλει, d. i. auf der Akropolis, von der vorzugsweise πόλις gebraucht wird. Thukyd. 2, 15: καλεῖται διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπὸ τῶν Ἀθηναίων πόλις. — ἐκμανθάνοντες, Synesis; s. Kr. Gr. §. 58, 4, 1, oben zu IX, 25. Vgl. c. 19 δικάσοντες. c. 30 ἡ νεότης . . σπουδάζοντες. Ueber das Particip. zu IV, 23.

18. ἐφ' ἁμάξης. Den nomadisch herumziehenden Skythen dienten, wie bekannt, Wagen als Wohnungen. Vgl. ἁμαξόβιος, ἁμάξοικος. — ἄλλοτε ἄλλην γῆν, *nunc hanc, nunc aliam terram*. IV, 24: τὸ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργή-

καὶ διδάσκοιμι αὐτόχθονας ἄνδρας, πόλιν ταύτην ἀρχαιοτάτην τοσούτοις ἤδη χρόνοις ἐν εὐνομίᾳ κατῳκηκότας, καὶ μάλιστα σέ, ὦ Σόλων, ᾧ τοῦτο, ὡς φασίν, ἐξ ἀρχῆς τὸ μάθημα ἐγένετο, ἐπίστασθαι ὅπως ἂν ἄριστα πόλις οἰκοῖτο καὶ οἷστισι νόμοις χρωμένη εὐδαιμονήσειε; πλὴν ἀλλὰ καὶ τοῦτο ὡς νομοθέτῃ πειστέον σοι, καὶ ἀντερῶ, ἤν τί μοι δοκῇ μὴ ὀρθῶς λέγεσθαι, ὡς βεβαιότερον μάθοιμι. καὶ ἰδοὺ γὰρ ἤδη ἐκφυγόντες τὸν ἥλιον ἐν τῷ συνηρεφεῖ ἐσμεν, καὶ καθέδρα μάλα ἡδεῖα καὶ εὔκαιρος ἐπὶ ψυχροῦ τοῦ λίθου. λέγε οὖν τὸν λόγον ἐξ ἀρχῆς, καθ' ὅ τι τοὺς νέους παραλαβόντες ἐκ παίδων εὐθὺς διαπονεῖτε καὶ ὅπως ὑμῖν ἄριστοι ἄνδρες ἀποβαίνουσιν ἐκ τοῦ πηλοῦ καὶ τῶν ἀσκημάτων τούτων καὶ τί ἡ κόνις καὶ τὰ κυβιστήματα συντελεῖ πρὸς ἀρετὴν αὐτοῖς. τοῦτο γὰρ δὴ μάλιστα ἐξ ἀρχῆς εὐθὺς ἐπόθουν ἀκοῦσαι· τὰ δ' ἄλλα εἰς ὕστερον διδάξῃ με κατὰ καιρὸν ἕκαστον ἐν τῷ μέρει. ἐκείνου μέντοι, ὦ Σόλων, μέμνησό μοι παρὰ τὴν ῥῆσιν, ὅτι πρὸς ἄνδρα βάρβαρον ἐρεῖς, λέγω δέ, ὡς μὴ περιπλέκῃς μηδὲ ἀπομηκύνῃς τοὺς λόγους· δέδια γὰρ μὴ ἐπιλανθάνωμαι τῶν πρώτων, εἰ τὰ μετὰ ταῦτα πολλὰ ἐπιρρέῃ.

19 ΣΟΛ. Σὺ τοῦτο, ὦ Ἀνάχαρσι, ταμιεύσῃ ἄμεινον, ἔνθα ἄν σοι δοκῇ μὴ πάνυ σαφὴς ὁ λόγος εἶναι ἢ πόρρω ποι ἀποπλανᾶσθαι εἰκῇ ῥέων· ἐρήσῃ γὰρ μεταξὺ ὅ τι ἂν ἐθέλῃς καὶ διακόψεις αὐτοῦ τὸ μῆκος. ἢν μέντοι μὴ ἐξαγώνια μηδὲ πόρρω τοῦ σκοποῦ τὰ λεγόμενα ᾖ, κωλύσει οὐδέν, οἶμαι, εἰ

σουσι. u. s. — αὐτόχθονας ἄνδρας. Die Athenäer, insbesondere die Eupatriden, bildeten sich auf ihre vermeintliche Autochthonie viel ein; Kekrops und Erechtheus, die Repräsentanten von Athens Urzeit, waren ja Kinder der Erde. Isokrat. Panathen. 124: ὄντας δὲ μήτε μιγάδας μήτ' ἐπήλυδας, ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφόν, ἐξ ἧσπερ ἔφυσαν κτἑ. Uebrigens sind die Worte des Anach. nicht ohne Ironie. — ταύτην, s. oben zu 2. — τοσούτοις ἤδη χρόνοις, d. i. *per tot iam saecula.* Dial. meretr. 8, 2: ταῦτα λέγω πρὸς σὲ εἴκοσιν ὅλοις ἔτεσιν ἑταιρήσασα. Asin. 56 extr.: ὀλίγαις ἡμέραις ἔρχομαι εἰς τὴν ἐμὴν πατρίδα. Diog. Laert. 6, 64: τοῦτο παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν. Vgl. μακρῷ χρόνῳ De merc. cond. 23. Amor. 23. Der Gebrauch dieses Dativus ist poetisch; s. Kr. Gr. II. §. 48, 2, 9. — καὶ τοῦτο, auch hierin. IV, 3: σιωπῇ καθεδοῦμαι πάντα πειθόμενος κελεύοντί σοι. Kr. Gr. §. 52, 4, 8. — καὶ ἰδοὺ γὰρ κτἑ. Dieser Satz enthält den Grund des folgenden eigentlichen Hauptsatzes λέγε οὖν κτἑ.; s. zu VII, 32. — ἀποβαίνουσιν, *evadere.* — συντελεῖ, *conferre,* beitragen, oft bei Luc. — διδάξῃ, s. zu I, 10. — ἕκαστον ἐν τῷ μέρει, *suo quidque loco* od. *ordine,* s. zu II, 8. — ἐπιρρέῃ. Ueber den Coniunctiv. nach εἰ bei Luc. s. zu V, 3, 2.

19. ἐξαγώνια, nicht zur Sache gehörig, vom Rechtsstreit hergenommen; vgl. 21 ἔξω τοῦ ἀγῶ-

καὶ μακρὰ λέγοιτο· ἐπεὶ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, ἥπερ τὰς φονικὰς ἡμῖν δίκας δικάζει, πάτριον οὕτω ποιεῖν. ὁπόταν γὰρ ἀνελθοῦσα εἰς τὸν πάγον συγκαθέζηται φόνου ἢ τραύματος ἐκ προνοίας ἢ πυρκαϊᾶς δικάσοντες, ἀποδίδοται λόγος ἑκατέρῳ τῶν κρινομένων καὶ λέγουσιν ἐν τῷ μέρει ὁ μὲν διώκων ὁ δὲ φεύγων ἢ αὐτοί, ἢ ῥήτορας ἀναβιβάζονται τοὺς ἐροῦντας ὑπὲρ αὐτῶν. οἱ δὲ ἔστ' ἂν μὲν περὶ τοῦ πράγματος λέγωσιν, ἀνέχεται ἡ βουλὴ καθ' ἡσυχίαν ἀκούουσα· ἢν δέ τις ἢ φροίμιον εἴπῃ πρὸ τοῦ λόγου, ὡς εὐνουστέρους ἀπεργάσαιτο αὐτούς, ἢ οἶκτον ἢ δείνωσιν ἔξωθεν ἐπάγῃ τῷ πράγματι, — οἷα πολλὰ ῥητόρων παῖδες ἐπὶ τοὺς δικαστὰς μηχανῶνται — παρελθὼν ὁ κῆρυξ κατεσιώπησεν εὐθὺς οὐκ ἐῶν ληρεῖν πρὸς τὴν βουλὴν καὶ περιπέττειν τὸ πρᾶγμα ἐν τοῖς λόγοις, ὡς γυμνὰ τὰ γεγενημένα οἱ Ἀρεοπαγῖται βλέποιεν. ὥστε καὶ σέ, ὦ Ἀνάχαρσι, Ἀρεοπαγίτην ἐν τῷ παρόντι ποιοῦμαι ἔγωγε, καὶ κατὰ τὸν τῆς βουλῆς μου νόμον ἄκουε καὶ σιωπᾶν κέλευε, ἢν αἴσθῃ καταρρητορευόμενος· ἄχρι δ' ἂν οἰκεῖα τῷ πράγματι λέγηται, ἐξέστω ἀπομηκύνειν. οὐδὲ γὰρ ὑφ' ἡλίῳ ἔτι ποιησόμεθα τὴν συνουσίαν, ὡς ἄχθεσθαι εἰ ἀποτείνοιτο ἡ ῥῆσις, ἀλλὰ ἥ τε σκιὰ πυκνὴ καὶ ἡμεῖς σχολὴν ἄγομεν.

ΑΝΑΧ. Εὐγνώμονά σου ταῦτα, ὦ Σόλων, καὶ ἔγωγε ἤδη χάριν οὐ μικρὰν οἶδά σοι καὶ ἐπὶ τούτοις, ὅτι πάρεργον

νος. Ebenso Abdicat. 26. Pro imag. 18. — φόνου κτἑ. Ueber diese Genetive Kr. Gr. §. 47, 22. Xenoph. Cyrop. 1, 2, 7: δικάζουσι δὲ καὶ ἐγκλήματος. Ueber die Sache zu II, 46. — δικάσοντες, Synesis, wie vorher 17 ἐκμανθάνοντες. — *ἀποδίδοται λόγος, venia dicendi datur.* — *τῶν κρινομένων, litigantium.* — ὁ διώκων, der Ankläger, ὁ φεύγων, der Verklagte. — ῥήτορας ἀναβιβάζονται. Die Sitte, seine Sache von Rednern führen zu lassen, so wie die Erwähnung der ῥήτορες überhaupt, passt nicht in die Zeit des Solon (Anachronismus). Seyffert. Vgl. c. 37. — τοὺς ἐροῦντας, d. i. lassen als diejenigen, welche für sie sprechen sollen, Redner auftreten. — ἀνέχεται . . ἀκούουσα, s. zu II, 26. — φροίμιον κτἑ. Der Areopag hielt streng darauf, dass der Redner von seinem Gegenstande nicht abschweifte und sich auf den nackten Thatbestand beschränkte. Sonst wendeten die Parteien und ihre Anwälte alle möglichen Mittel an, um das Erbarmen der Richter zu erflehen. Uebrigens kommt bei Luc. die Form φροίμιον nur an einigen Stellen vor; die gewöhnliche ist προοίμιον. — ῥητόρων παῖδες, die Redner von Handwerk; s. zu V, 11, 1. — κατεσιώπησεν, s. zu III, 10. — περιπέττειν, eigentl. um-, überbacken, d. i. hier verdecken. Zu bemerken ist die Verbindung des Verbums mit ἐν, während dieses sonst nicht dabei steht, wie bei Aristoph. Plut. 159: ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν. — μου, abhängig wovon? — *οἰκεῖα τῷ πράγματι, domestica causae.* — εὐ-

τοῦ λόγου καὶ τὰ ἐν Ἀρείῳ πάγῳ γιγνόμενα ἐδιδάξω με, θαυμάσια ὡς ἀληθῶς καὶ ἀγαθῶν βουλευτῶν ἔργα, πρὸς ἀλήθειαν οἰσόντων τὴν ψῆφον. ἐπὶ τούτοις οὖν ἤδη λέγε, καὶ ὁ Ἀρεοπαγίτης ἐγὼ — τοῦτο γάρ ἔθου με — κατὰ σχῆμα τῆς βουλῆς ἀκούσομαί σου.

20 ΣΟΛ. Οὐκοῦν διὰ βραχέων προακοῦσαι χρή σε ἃ περὶ πόλεως καὶ πολιτῶν ἡμῖν δοκεῖ· πόλιν γὰρ ἡμεῖς οὐ τὰ οἰκοδομήματα ἡγούμεθα εἶναι, οἷον τείχη καὶ ἱερὰ καὶ νεωσοίκους, ἀλλὰ ταῦτα μὲν ὥσπερ σῶμά τι ἑδραῖον καὶ ἀκίνητον ὑπάρχειν ἐς ὑποδοχὴν καὶ ἀσφάλειαν τῶν πολιτευομένων, τὸ δὲ πᾶν κῦρος ἐν τοῖς πολίταις τιθέμεθα· τούτους γὰρ εἶναι τοὺς ἀναπληροῦντας καὶ διατάττοντας καὶ ἐπιτελοῦντας ἕκαστα καὶ φυλάττοντας, οἷόν τι ἐν ἡμῶν ἑκάστῳ ἐστὶν ἡ ψυχή. τοῦτο δὴ τοίνυν κατανοήσαντες ἐπιμελούμεθα μέν, ὡς ὁρᾷς, καὶ τοῦ σώματος τῆς πόλεως, κατακοσμοῦντες αὐτὸ ὡς κάλλιστον ἡμῖν εἴη, ἔνδοθέν τε οἰκοδομήμασι κατεσκευασμένον καὶ ταῖς ἔκτοσθεν ταύταις περιβολαῖς ἐς τὸ ἀσφαλέστατον πεφραγμένον· μάλιστα δὲ καὶ ἐξ ἅπαντος τοῦτο προνοοῦμεν, ὅπως οἱ πολῖται ἀγαθοὶ μὲν τὰς ψυχάς, ἰσχυροὶ δὲ τὰ σώματα γίγνοιντο· τοὺς γὰρ τοιούτους σφίσι τε αὐτοῖς καλῶς χρήσεσθαι ἐν εἰρήνῃ συμπολιτευομένους καὶ ἐκ πολέμου σώσειν τὴν πόλιν καὶ ἐλευθέραν καὶ εὐδαίμονα διαφυλάξειν. τὴν μὲν δὴ πρώτην ἀνατροφὴν αὐτῶν μητράσι καὶ τίτθαις καὶ παιδαγωγοῖς ἐπιτρέπομεν ὑπὸ παιδείαις ἐλευθερίοις ἄγειν τε καὶ τρέφειν αὐτούς, ἐπειδὰν δὲ συνετοὶ ἤδη γίγνωνται τῶν καλῶς ἐχόντων καὶ αἰδὼς καὶ ἐρύθημα καὶ φόβος καὶ ἐπιθυμία τῶν ἀρίστων ἀναφύηται αὐτοῖς καὶ αὐτὰ ἤδη τὰ σώματα ἀξιόχρεα δοκῇ πρὸς τοὺς πόνους, παγιώ-

γνώμονά σου ταῦτα, s. zu II, 53. — *ὡς ἀληθῶς*, s. zu I, 10. — *ἐπὶ τούτοις*, *hac condicione*. — *τοῦτο γάρ ἔθου με*, denn dazu (*Ἀρεοπαγίτην*) hast du mich für dich gemacht.

20. *γάρ*, nämlich. — *τιθέμεθα*. Was ist hier Abweichendes von der regelmässigen Construction? — *τοὺς ἀναπληροῦντας*, d. i. welche die leeren Häuserkörper gleichsam beseelen. — *καὶ ταῖς ἐκτ. ταύταις περιβολαῖς*. Hiermit weist Solon auf die Ringmauern der Stadt hin (*ταύταις*). — *τοὺς γὰρ τοιούτους κτἑ.* Wovon hängt der Accusat. c. Infinit. ab? Vgl. Kr. Gr. §. 65, 11, 7. — *ὑπὸ παιδείαις ἐλευθερίοις*, *liberali disciplina*. Ueber den Plural. Kr. Gr. §. 44, 3. Der Gebrauch von *ὑπό* mit dem Dativ. in dieser Weise gehört den Späteren an und findet sich auch da nur vereinzelt; vgl. c. 22 *ὑπὸ κωμῳδίαις καὶ τραγῳδίαις*. c. 37 *ὑπὸ νόμῳ*. — *τῶν καλῶς ἐχόντων*. Selten ist die Verbindung von *συνετός* mit dem Genetiv., Eur. Orest. 1404: *ξυνετὸς πολέμου*. Vgl. Kr. Gr. II. §. 47,

τερα γιγνόμενα καὶ πρὸς τὸ ἰσχυρότερον συνιστάμενα, τηνικαῦτα ἤδη παραλαβόντες αὐτοὺς διδάσκομεν ἄλλα μὲν τῆς ψυχῆς μαθήματα καὶ γυμνάσια προτιθέντες, ἄλλως δὲ πρὸς τοὺς πόνους καὶ τὰ σώματα ἐθίζοντες· οὐ γὰρ ἱκανὸν ἡμῖν ἔδοξεν αὐτὸ μόνον φῦναι ὡς ἔφυ ἕκαστος ἤτοι κατὰ τὸ σῶμα ἢ κατὰ τὴν ψυχήν, ἀλλὰ καὶ παιδεύσεως καὶ μαθημάτων ἐπ' αὐτοὺς δεόμεθα, ὑφ' ὧν τά τε εὐφυῶς διακείμενα βελτίω παρὰ πολὺ γίγνοιτο ἂν καὶ τὰ φαύλως ἔχοντα μετακοσμοῖτο πρὸς τὸ βέλτιον. καὶ τὸ παράδειγμα ἡμῖν παρὰ τῶν γεωργῶν, οἳ τὰ φυτά, μέχρι μὲν πρόσγεια καὶ νήπιά ἐστι, σκέπουσι καὶ περιφράττουσιν, ὡς μὴ βλάπτοιτο ὑπὸ τῶν πνευμάτων, ἐπειδὰν δὲ ἤδη παχύνηται τὸ ἔρνος, τηνικαῦτα περιτέμνουσί τε τὰ περιττὰ καὶ παραδιδόντες αὐτὰ τοῖς ἀνέμοις δονεῖν καὶ διασαλεύειν καρπιμώτερα ἐξεργάζονται. 21 τὴν μὲν τοίνυν ψυχὴν μουσικῇ τὸ πρῶτον καὶ ἀριθμητικῇ ἀναρριπίζομεν καὶ γράμματα γράψασθαι καὶ τορῶς αὐτὰ ἐπιλέξασθαι διδάσκομεν· προϊοῦσι δὲ ἤδη σοφῶν ἀνδρῶν γνώμας καὶ ἔργα παλαιὰ καὶ λόγους ὠφελίμους ἐν μέτροις κατακοσμήσαντες, ὡς μᾶλλον μνημονεύοιεν, ῥαψῳδοῦμεν αὐτοῖς. οἱ δὲ καὶ ἀκούοντες ἀριστείας τινὰς καὶ πράξεις ἀοιδίμους ὀρέγονται κατὰ μικρὸν καὶ πρὸς μίμησιν ἐπεγείρονται, ὡς καὶ αὐτοὶ ᾄδοιντο καὶ θαυμάζοιντο ὑπὸ τῶν ὕστερον, οἷα πολλὰ Ἡσίοδός τε ἡμῖν καὶ Ὅμηρος ἐποίησαν. ἐπειδὰν δὲ πλησιάζωσι πρὸς τὴν πολιτείαν καὶ δέῃ αὐτοὺς ἤδη μεταχειρίζεσθαι τὰ

26, 7. — *πρὸς τὸ ἰσχυρ. συνιστάμενα*, durch Consistenz zu grösserer Kraft gelangen. Seyffert. — *αὐτὸ μόνον*, eben nur, s. zu I, 9. — *σκέπουσι*, s. zu IX, 29. — *ἔρνος*, dichterisches und in späterer Prosa vorkommendes Wort. — *αὐτά*, worauf zu beziehen?

21. Der ethische Theil der eigentlichen Erziehung oder *παιδεία*. *μουσική* hier im engeren Sinne. Die *ἐγκύκλιος παιδεία* bestand in der früheren Zeit in der *γραμματική*, *μουσική* und *γυμναστική*; Später schloss sich die Zeichenkunst und der Unterricht in der Mathematik an. [Hermann's Privatalterth. §. 35.] — *ἀναρριπίζομεν*. Ebenso übertragen bei Plutarch. Mor. p. 785: *τὸ ποιητικὸν καὶ μουσικὸν ἐξώρμησε καὶ ἀνερρίπισεν*. Unten c. 26: *ἰσχὺς ἀναρριπιζομένη*. — *γράψασθαι*. Das Medium, wie oft bei Luc. und anderen Späten, wo man das Activ. erwartete. — *τορῶς ἐπιλέξασθαι*, *clara voce legere*. Häufig steht in dieser Bedeutung *ἐπιλέγεσθαι* bei Herodot. für das attische *ἀναγιγνώσκειν*. Ebenso Dial. mar. 5, 2. Ver. hist. 2, 36. Philopseud. 25. — *μέτροις*, Verse. — *αὐτοῖς*, epanaleptisch, wie häufig; Kr. Gr. §. 51, 5, 1. — Die Worte *οἷα* bis *ἐποίησαν* sollte man vorher nach *ἀοιδίμους* erwarten. — *πλησ. πρὸς τὴν πολιτ.*, *accedere ad rempublicam*. — *καίτοι*. Solon unterbricht sich hiermit selbst. Correctio, re-

κοινά — καίτοι ἔξω τοῦ ἀγῶνος ἴσως ταῦτα· οὐ γὰρ ὅπως τὰς ψυχὰς αὐτῶν ἀσκοῦμεν, ἐξ ἀρχῆς προὔκειτο εἰπεῖν, ἀλλὰ δι' ὅ τι τοῖς τοιούτοις πόνοις καταγυμνάζειν αὐτοὺς ἀξιοῦμεν. ὥστε αὐτὸς ἐμαυτῷ σιωπᾶν προστάττω, οὐ περιμείνας τὸν κήρυκα οὐδὲ τὸν Ἀρεοπαγίτην σέ, ὃς ὑπ' αἰδοῦς, οἶμαι, ἀνέχῃ ληροῦντα ἤδη τοσαῦτα ἔξω τοῦ πράγματος.

ΑΝΑΧ. Εἰπέ μοι, ὦ Σόλων, πρὸς δὲ δὴ τοὺς τὰ ἀναγκαιότατα μὴ λέγοντας ἐν Ἀρείῳ πάγῳ, ἀλλὰ ἀποσιωπῶντας, οὐδὲν τῇ βουλῇ πρόστιμον ἐπινενόηται;

ΣΟΛ. Τί τοῦτο ἤρου με; οὐδέπω γὰρ δῆλον.

ΑΝΑΧ. Ὅτι τὰ κάλλιστα καὶ ἐμοὶ ἀκοῦσαι ἥδιστα παρείς, τὰ περὶ τῆς ψυχῆς, τὰ ἧττον ἀναγκαῖα λέγειν διανοῇ, γυμνάσια καὶ διαπονήσεις τῶν σωμάτων.

ΣΟΛ. Μέμνημαι γάρ, ὦ γενναῖε, τῶν ἀπ' ἀρχῆς προρρήσεων καὶ ἀποπλανᾶν οὐ βούλομαι τὸν λόγον, μή σου ἐπιταράξῃ τὴν μνήμην ἐπιρρέων. πλὴν ἀλλὰ καὶ ταῦτα ἐρῶ διὰ βραχέων, ὡς οἷόν τε· τὸ γὰρ ἀκριβὲς τῆς περὶ αὐτῶν 22 *διασκέψεως ἑτέρου ἂν εἴη λόγου. ῥυθμίζομεν οὖν τὰς γνώμας αὐτῶν νόμους τε τοὺς κοινοὺς ἐκδιδάσκοντες, οἳ δημοσίᾳ πᾶσι πρόκεινται ἀναγινώσκειν μεγάλοις γράμμασιν ἀναγεγραμμένοι, κελεύοντες ἅ τε χρὴ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, καὶ ἀγαθῶν ἀνδρῶν συνουσίαις, παρ' ὧν λέγειν τὰ δέοντα ἐκμανθάνουσι καὶ πράττειν τὰ δίκαια καὶ ἐκ τοῦ ἴσου ἀλλήλοις συμπολιτεύεσθαι καὶ μὴ ἐφίεσθαι τῶν αἰσχρῶν καὶ ὀρέγεσθαι τῶν καλῶν, βίαιον δὲ μηδὲν ποιεῖν. οἱ δὲ ἄνδρες οὗτοι σοφισταὶ καὶ φιλόσοφοι πρὸς ἡμῶν ὀνομάζονται. καὶ μέντοι καὶ ἐς τὸ θέατρον συνάγοντες αὐτοὺς δημοσίᾳ παι-*

prehensio. — *ἔξω τοῦ ἀγῶνος*, dafür bald darauf *ἔξω τοῦ πράγματος*; s. vorher zu c. 19. — *οὐ περιμείνας τὸν κήρυκα*. Solon bezieht sich auf das c. 19 Gesagte. — *εἰπέ μοι, πρὸς δέ*, s. zu IV, 12. — *τῇ βουλῇ*, s. zu III, 6. — *πρόστιμον*, späteres Wort. — *τῶν . . προρρήσεων* bezieht sich auf das c. 18 z. E. von Anacharsis Gesagte. — *τὸ ἀκριβές*, s. zu I, 8.

22. *ῥυθμίζομεν*, in das rechte Ebenmass bringen; s. zu VIII, 2. — *οἳ δημοσίᾳ πρόκ. κτέ.* Zu verstehen von den *ἄξονες* und *κύρβεις* des Solon; s. unser Wörterbuch unter beiden WW. — *καὶ ἀγαθ. ἀνδρῶν συνουσίαις*, entsprechend dem vorhergehenden *νόμους τε τοὺς κ. ἐκδιδάσκοντες*. Wechsel der Construction, wie oft. — *ἐκ τοῦ ἴσου*, *ex aequo*, vom Zustande der Gleichheit aus, so dass sich Keiner über den Andern überhebt. Oft so bei Thukyd., desgl. *ἀπὸ τοῦ ἴσου*. — *σοφισταί*, Weise, zur Zeit des Solon und nachher noch ohne verächtlichen Nebenbegriff, = *φιλόσοφοι*. Letzteres ist hier gleichsam zur Erklärung hinzugefügt. — *πρὸς ἡμῶν*, s. zu II, 25. — *καὶ μέντοι καί*, und jedoch auch, aber auch, zum Ausdruck der

θεύομεν ὑπὸ κωμῳδίαις καὶ τραγῳδίαις, ἀρετάς τε ἀνδρῶν παλαιῶν καὶ κακίας θεωμένους, ὡς τῶν μὲν ἀποτρέποιντο, ἐπ' ἐκεῖνα δὲ σπεύδοιεν. τοῖς δέ γε κωμῳδοῖς καὶ ἀποσκώπτειν καὶ λοιδορεῖσθαι ἐφίεμεν ἐς τοὺς πολίτας, οὓς ἂν αἰσχρὰ καὶ ἀνάξια τῆς πόλεως ἐπιτηδεύοντας αἴσθωνται, αὐτῶν τε ἐκείνων χάριν, ἀμείνους γὰρ οὕτω γίγνονται ὀνειδιζόμενοι, καὶ τῶν πολλῶν, ὡς φεύγοιεν τὸν ἐπὶ τοῖς ὁμοίοις ἔλεγχον.

ΑΝΑΧ. Εἶδον, ὦ Σόλων, οὓς φῂς τοὺς τραγῳδοὺς καὶ κωμῳδούς, εἴ γε ἐκεῖνοί εἰσιν, ὑποδήματα μὲν βαρέα καὶ ὑψηλὰ ὑποδεδεμένοι, χρυσαῖς δὲ ταινίαις τὴν ἐσθῆτα πεποικιλμένοι, κράνη δὲ ἐπικείμενοι παγγέλοια, κεχηνότα παμμέγεθες· αὐτοὶ δὲ ἔνδοθεν μεγάλα τε ἐκεκράγεσαν καὶ διέβαινον οὐκ οἶδ' ὅπως ἀσφαλῶς ἐν τοῖς ὑποδήμασι. Διονύσῳ δέ, οἶμαι, τότε ἡ πόλις ἑώρταζεν. οἱ δὲ κωμῳδοὶ βραχύτεροι μὲν ἐκείνων καὶ πεζοὶ καὶ ἀνθρωπινώτεροι καὶ ἧττον ἐβόων, κράνη δὲ πολὺ γελοιότερα, καὶ τὸ θέατρον γοῦν ἅπαν ἐγέλα ἐπ' αὐτοῖς. ἐκείνων δὲ τῶν ὑψηλῶν σκυθρωποὶ ἅπαντες ἤκουον, οἰκτείροντες, οἶμαι, αὐτοὺς πέδας τηλικαύτας ἐπισυρομένους. 23

Verbindung und des Gegensatzes. Ebenso Conviv. 14. — ὑπό, s. vorher zu c. 20. — ἀρετάς bis θεωμ. bezieht sich nur auf die Tragoedie. — δέ γε, s. zu III, 19.

23. οὓς φῂς τοὺς τραγῳδούς, ohne Interpunction nach φῂς. Vitar. auct. 18: οὐκ ὁρῶ ταῦτα, ἅπερ λέγεις τὰ παραδείγματα. Kr. Gr. §. 51, 12, 2, u. zu IV, 17 z. E. In Bezug auf das Lateinische s. Zumpt §. 814. — ὑποδήμ. μὲν βαρ. κτέ. zu beziehen auf die Tragoeden, welche zur Erhöhung ihrer Gestalt eine Art Schnürstiefeln mit starken Sohlen und hohen Absätzen (κόθορνος) trugen. Dieselben nennt hernach Anacharsis ironisch πέδας. — χρυσαῖς ταιν. τὴν ἐσθ. πεποικ. Ihr Gewand war mit goldenen Streifen oder Stickerei verziert. — κράνη. Die Masken (πρόσωπα, προσωπεῖα), welche nicht allein das Gesicht, sondern auch den übrigen Kopf bedeckten, und einen bauschigen Haaraufsatz (ὄγκος) auf der Stirn hatten, erscheinen dem Anacharsis als Helme. — ἐπικείμενοι. Nach dem Sprachgebrauch der Attiker sollte es, wie bekannt, περικείμενοι heissen, wie auch Luc. selbst anderwärts sagt, s. zu IX, 33, und unten c. 32: ἐκεῖνα τὰ κράνη περιθήσεσθε τὰ κεχηνότα. Allein vgl. De saltat. 27: πρόσωπον ὑπὲρ κεφαλῆς ἀνατεινόμενον ἐπικείμενος. Pro imag. 3: ὥσπερ ἂν εἴ τινι ἀμόρφῳ προσωπεῖον εὔμορφον ἐπιθείη τις. — κεχηνότα παμμ., von der weiten Oeffnung des Mundes an den Masken. — μεγάλα ἐκεκρ., s. zu IV, 20. Pro Imag. 17: μεγάλα καὶ πέρα τοῦ μέτρου ἐπαινέσας. Der Singul. II, 11: μέγα κεκραγέναι. — διέβαινον οὐκ οἶδ' ὅπως ἀσφαλῶς, d. i. sie schritten auf unbegreifliche Weise sicher einher, nicht ironisch: *nescio quam firmiter.* — πεζοί. Die Komöden trugen eine leichte und niedrige Fussbekleidung, soccus, und gingen daher gleichsam zu Fuss. — καὶ τὸ θέατρον γοῦν. Hier sollte man kein καί erwarten. Ebenso stand früher Dial. deor. 15, 2: καὶ δύο γοῦν, wo aber die beiden besten Hdschrr. καί weg-

ΣΟΛ. Οὐκ ἐκείνους, ὦγαθέ, ᾤκτειρον, ἀλλὰ ποιητὴς ἴσως ἀρχαίαν τινὰ συμφορὰν ἐπεδείκνυτο τοῖς θεαταῖς καὶ ῥήσεις οἰκτρὰς ἐτραγῴδει πρὸς τὸ θέατρον, ὑφ᾽ ὧν ἐς δάκρυα κατεσπῶντο οἱ ἀκούοντες. εἰκὸς δέ σε καὶ αὐλοῦντας ἑωρακέναι τινὰς τότε, καὶ ἄλλους συνᾴδοντας, ἐν κύκλῳ συνεστῶτας, οὐδ᾽ αὐτά, ὦ Ἀνάχαρσι, ἀχρεῖα ᾄσματα καὶ αὐλήματα. τούτοις δ᾽ οὖν ἅπασι καὶ τοῖς τοιούτοις παραθηγόμενοι τὰς ψυχὰς ἀμείνους ἡμῖν γίγνονται.

24 Τὰ δὲ δὴ σώματα, ὅπερ μάλιστα ἐπόθεις ἀκοῦσαι, ὧδε καταγυμνάζομεν· ἀποδύσαντες αὐτά, ὡς ἔφην, οὐκέτι ἁπαλὰ καὶ τέλεον ἀσυμπαγῆ ὄντα πρῶτον μὲν ἐθίζειν ἀξιοῦμεν πρὸς τὸν ἀέρα, συνοικειοῦντες αὐτὰ ταῖς ὥραις ἑκάσταις, ὡς μήτε θάλπος δυσχεραίνειν μήτε πρὸς κρύος ἀπαγορεύειν, ἔπειτα δὲ χρίομεν ἐλαίῳ καὶ καταμαλάττομεν, ὡς εὐτονώτερα γίγνοιτο· ἄτοπον γάρ, εἰ τὰ μὲν σκύτη νομίζομεν ὑπὸ τῷ ἐλαίῳ μαλαττόμενα δυσραγέστερα καὶ πολλῷ διαρκέστερα γίγνεσθαι, νεκρά γε ἤδη ὄντα, τὸ δ᾽ ἔτι ζωῆς μετέχον σῶμα μὴ ἂν ἄμεινον ἡγοίμεθα ὑπὸ τοῦ ἐλαίου διατεθήσεσθαι. τοὐντεῦθεν ποικίλα τὰ γυμνάσια ἐπινοήσαντες καὶ διδασκάλους ἑκάστων ἐπιστήσαντες τὸν μέν τινα πυκτεύειν, τὸν δὲ παγκρατιάζειν διδάσκομεν, ὡς τούς τε πόνους καρτερεῖν ἐθίζοιντο καὶ ὁμόσε χωρεῖν ταῖς πληγαῖς μηδὲ ἀποτρέποιντο δέει τῶν τραυμάτων. τοῦτο δὲ ἡμῖν δύο τὰ ὠφελιμώτατα ἐξεργάζεται ἐν αὐτοῖς, θυμοειδεῖς τε παρασκευάζον ἐς τοὺς κινδύνους καὶ τῶν σωμάτων ἀφειδεῖν, καὶ προσέτι ἐρρῶσθαι

lassen. Vgl. indessen Aelian. de nat. animal. 1, 42: *καὶ ὀξυτάτους γοῦν ἰδεῖν ἕξει τοὺς ὀφθαλμούς.* — *ἀρχαίαν τινὰ συμφοράν*, ein tragisches Ereigniss aus der Heroenzeit, wie das Geschick des Oedipus u. a. — *ἐτραγῴδει*, *tragico more proferre*. — *οὐδ᾽ αὐτά* — *αὐλήματα*, Apposition zum Vorhergehenden.

24. *δὲ δή*, *iam vero*, s. zu III, 18. — *ὡς ἔφην*, worauf zu beziehen? — *τέλεον*. Erst Spätere gebrauchen dieses Neutrum für das Adverbium; ebenso De merc. cond. 5. Iup. trag. 25. — *ἀσυμπαγῆ*, der festeren Muskeln ermangelnd, nicht kompakt; vgl. oben c. 20: *παγιώτερα γιγνόμενα καὶ πρὸς τὸ ἰσχυρότερον συνιστάμενα.* Nur hier vorkommendes Wort. — *εὐτονώτερα*, d. i. elastisch. — *ὑπὸ τῷ ἐλαίῳ*, unter Einwirkung od. Einfluss. Iup. conf. 1: *πάντα, ὁπόσα γίγνεται, ὑπὸ τῷ τούτων ἀτράκτῳ στρεφόμενα.* ebend. 7: *ἀΐδιος ἡ δουλεία γίγνεται ὑπὸ μακρῷ τῷ λίνῳ στρεφομένη.* — *ἄν*, s. oben zu c. 17. — *τὸν μέν τινα*, Kr. Gr. §. 50, 1, 9. — *ὁμόσε χωρεῖν ταῖς πληγαῖς*, d. i. *obviam ire adversarii ictibus.* — *τοῦτο*, zu beziehen auf *πυκτεύειν* und *παγκρατιάζειν*. — *παρασκευάζον* in doppelter Construction, erst mit Accusat. des Praedicats, dann mit

καὶ καρτεροὺς εἶναι. ὅσοι δὲ αὐτῶν κάτω συννενευκότες παλαίουσι, καταπίπτειν τε ἀσφαλῶς μανθάνουσι καὶ ἀνίστασθαι εὐμαρῶς καὶ ὠθισμοὺς καὶ περιπλοκὰς καὶ λυγισμοὺς καὶ ἄγξαι δύνασθαι καὶ ἐς ὕψος ἀναβαστάσαι τὸν ἀντίπαλον, οὐκ ἀχρεῖα οὐδὲ οὗτοι ἐκμελετῶντες, ἀλλὰ ἓν μὲν τὸ πρῶτον καὶ μέγιστον ἀναμφιβόλως κτώμενοι· δυσπαθέστερα γὰρ καὶ καρτερώτερα τὰ σώματα γίγνονται αὐτοῖς διαπονούμενα· ἕτερον δὲ οὐδὲ αὐτὸ μικρόν· ἔμπειροι γὰρ δὴ ἐκ τούτου καθίστανται, εἴ ποτε ἀφίκοιντο εἰς χρείαν τῶν μαθημάτων τούτων ἐν ὅπλοις· δῆλον γὰρ ὅτι καὶ πολεμίῳ ἀνδρὶ ὁ τοιοῦτος συμπλακεὶς καταρρίψει τε θᾶττον ὑποσκελίσας καὶ καταπεσὼν εἴσεται ὡς ῥᾷστα ἐξανίστασθαι. πάντα γὰρ ταῦτα, ὦ Ἀνάχαρσι, ἐπ' ἐκεῖνον τὸν ἀγῶνα πορίζόμεθα τὸν ἐν τοῖς ὅπλοις, καὶ ἡγούμεθα πολὺ ἀμείνοσι χρήσασθαι τοῖς οὕτως ἀσκηθεῖσιν, ἐπειδὰν πρότερον αὐτῶν γυμνὰ τὰ σώματα καταμαλάξαντες καὶ διαπονήσαντες ἐρρωμενέστερα καὶ ἀλκιμώτερα ἐξεργασώμεθα καὶ κοῦφα καὶ εὔτονα καὶ τὰ αὐτὰ βαρέα τοῖς ἀνταγωνισταῖς. ἐννοεῖς γάρ, 25 οἶμαι, τὸ μετὰ τοῦτο, οἵους εἰκὸς σὺν ὅπλοις ἔσεσθαι τοὺς καὶ γυμνοὺς ἂν φόβον τοῖς δυσμενέσιν ἐμποιήσαντας, οὐ πολυσαρκίαν ἀργὸν καὶ λευκὴν ἢ ἀσαρκίαν μετὰ ὠχρότητος ἐπιδεικνυμένους, οἷα γυναικῶν σώματα ὑπὸ σκιᾷ μεμαρασμένα, τρέμοντα ἱδρῶτί τε πολλῷ εὐθὺς ῥεόμενα καὶ ἀσθμαίνοντα ὑπὸ τῷ κράνει, καὶ μάλιστα ἢν καὶ ὁ ἥλιος, ὥσπερ νῦν, τὸ μεσημβρινὸν ἐπιφλέγῃ. οἷς τί ἂν τις χρήσαιτο

Infinitiv. — κάτω συννενευκότες, s. oben c. 1 z. A. — εὐμαρῶς, bei Luc. oft, in der attischen Prosa selten vorkommendes Wort. — ὠθισμούς. Das Stossen wird dem Ringkampfe von den Alten mehrmals beigelegt. — δυσπαθέστερα, abgehärtet. — γίγνονται, s. zu IV, 22. — ἕτερον δὲ οὐδὲ αὐτὸ μικρόν, näml. ἐστίν. — γὰρ δή, s. zu VI, 14, 13. — χρήσασθαι. Man sollte χρήσεσθαι erwarten; jedoch s. Kr. Gr. §. 53, 1, 10 u. 6, 9. Bei Luc. finden sich mehrere derartige Stellen, die man wol nicht ohne weiteres zu ändern berechtigt ist. Vgl. c. 30 z. A. γενέσθαι. Dial. mort. 11, 2: οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα. — καὶ τὰ αὐτά, eademque, s. Zumpt's Gr. §. 697.

25. τὸ μετὰ τοῦτο, s. zu VII, 29. Vgl. unten c. 34. — γυμνούς, d. i. ohne Waffen. — ἂν . . ἐμποιήσαντας, s. oben zu c. 6. — τοῖς δυσμενέσιν = τοῖς πολεμίοις. Ebenso unten 30. 32. — οὐ πολυσ. . . ἐπιδεικνυμένους, begründender Zusatz zu dem Vorhergehenden. —ἱδρῶτι ῥεόμενα, von Schweiss triefend, oft bei Luc. — τὸ μεσημβρινὸν ἐπιφλέγῃ, d. i. des Mittags ihre Gluth entsendet. — τί, wozu; was möchte man mit diesen anfangen. Vitar. auct. 7: τί δ' ἂν τις αὐτῷ ῥυπῶντι χρήσαιτο; u. s. Kr. Gr.

διψῶσι καὶ τὸν κονιορτὸν οὐκ ἀνεχομένοις, καὶ εἰ αἷμα ἴδοιεν, εὐθὺς ταραττομένοις καὶ προαποθνήσκουσι πρὶν ἐντὸς βέλους γενέσθαι καὶ εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις; οὗτοι δὲ ἡμῖν ὑπέρυθροι ἐς τὸ μελάντερον ὑπὸ τοῦ ἡλίου κεχρωσμένοι καὶ ἀρρενωποί, πολὺ τὸ ἔμψυχον καὶ θερμὸν καὶ ἀνδρῶδες ἐπιφαίνοντες, τοσαύτης εὐεξίας ἀπολαύοντες, οὔτε ῥικνοὶ καὶ κατεσκληκότες οὔτε περιπληθεῖς ἐς βάρος, ἀλλὰ ἐς τὸ σύμμετρον περιγεγραμμένοι, τὸ μὲν ἀχρεῖον τῶν σαρκῶν καὶ περιττὸν τοῖς ἱδρῶσιν ἐξαναλωκότες, ὃ δὲ ἰσχὺν καὶ τόνον παρεῖχεν, ἀμιγὲς τοῦ φαύλου περιλελειμμένον ἐρρωμένως φυλάττοντες· ὅπερ γὰρ δὴ οἱ λικμῶντες τὸν πυρόν, τοῦτο ἡμῖν καὶ τὰ γυμνάσια ἐργάζεται ἐν τοῖς σώμασι, τὴν μὲν ἄχνην καὶ τοὺς ἀθέρας ἀποφυσῶντα, καθαρὸν δὲ
26 *τὸν καρπὸν διευκρινοῦντα καὶ προσσωρεύοντα. καὶ διὰ τοῦτο ὑγιαίνειν τε ἀνάγκη καὶ ἐπὶ μήκιστον διαρκεῖν ἐν τοῖς καμάτοις· ὀψέ τε ἂν ἰδίειν ὁ τοιοῦτος ἄρξαιτο καὶ ὀλιγάκις ἂν ἀσθενῶν φανείη· ὥσπερ ἄν, εἰ πῦρ τις φέρων ἅμα ἐμβάλοι ἐς τὸν πυρὸν αὐτὸν καὶ ἐς τὴν καλάμην αὐτοῦ καὶ ἐς τὴν ἄχνην — αὖθις γὰρ ἐπὶ τὸν λικμῶντα ἐπάνειμι — θᾶττον ἄν, οἶμαι, παρὰ πολὺ ἡ καλάμη ἀναφλεγείη, ὁ δὲ πυρὸς κατ' ὀλίγον οὔτε φλογὸς μεγάλης ἀνισταμένης οὔτε ὑπὸ μιᾷ*

§. 46, 5, 9. — *ἐντὸς βέλους*, in den Bereich der Schussweite, Gegensatz *ἔξω βέλους*. — *εἰς χεῖρας*, zum Handgemenge. — *οὗτοι*, die durch die Leibesübungen kräftigen, im Gegensatz zu den eben beschriebenen Weichlingen. — *ἀρρενωποί*, näml. *εἰσίν*. — *πολὺ τὸ ἔμψ. . . ἐπιφαίνοντες*. Ebenso Conviv. 7: *πολὺ τὸ κόσμιον ἐπιφαίνων τῷ προσώπῳ*. Saturnal. 28: *πολὺ τὸ νεκρῶδες ἐπιφαίνων*. Alexand. 3. — *ῥικνοί*, der attischen Prosa fremdes Wort. Wie hier, anonym. b. Suidas: *ῥικνοὶ καὶ κατεσκελετευμένοι*. — *περιπληθεῖς ἐς βάρος*, denen die Beleibtheit selbst zur Last ist. Spätere Ausdrucksweise. — *ἐς τὸ σύμμ. περιγεγραμμένοι*, von ebenmässigem Körperbau. — *τοῖς ἱδρῶσιν*. Ueber diesen Plural. s. Kr. Gr. §. 44, 3, 5. Unten c. 35: *ὑπὸ τῶν ἱδρώτων*. Xenoph. Cyrop. 8, 8, 8: *βουλόμενοι διὰ πόνων καὶ ἱδρώτων τὰ σώματα στερεοῦσθαι*. — *ἀμιγὲς τοῦ φαύλου*, Kr. Gr. §. 47, 26, 10. Bis accus. 8: *ἀμιγεῖς ἑτέρων χρωμάτων*. — *οἱ λικμῶντες τὸν πυρόν*. Was ist zu ergänzen? — *τὴν μὲν ἄχνην κτἑ.* Bild und Gegenbild fliessen in einander. Seyffert. — *ἄχνην*, für das attische *ἄχυρα*.

26. *ἐπὶ μήκιστον*, s. zu VIII, 1. — *ὥσπερ ἄν, εἰ . . θᾶττον ἄν*. Beachte die Wiederholung des *ἄν*. Aehnlich De conscrib. histor. 8 nach Jacobs' Verbesserung: *ὥσπερ ἂν εἴ τις ἀθλητὴν τῶν καρτερῶν . . ἁλουργίσι περιβάλλοι . . ., Ἡράκλεις ὡς καταγέλαστον ἂν αὐτὸν ἀπεργάσαιτο*. Diese Wiederholung des *ἄν* ist häufig; ebenso Plat. apolog. p. 17 D: *ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε δήπου ἄν μοι*. — *κατ' ὀλίγον*, paulatim, = *κατὰ μικρόν*. — *ὑπὸ μιᾷ τῇ ὁρμῇ*, uno impetu. De conscr. hist. 3: *συγ-*

τῇ ὁρμῇ, ἀλλὰ κατὰ μικρὸν ὑποτυφόμενος χρόνῳ ὕστερον καὶ αὐτὸς ἂν κατακαυθείη. οὐ τοίνυν οὐδὲ νόσος οὐδὲ κάματος ἐς τοιοῦτο σῶμα ἐμπεσόντα ῥᾳδίως ἐλέγξειεν ἂν οὐδ' ἐπικρατήσειεν εὐμαρῶς· τὰ ἔνδοθεν γὰρ εὖ παρεσκεύασται αὐτῷ καὶ τὰ ἔξω μάλα καρτερῶς πέφρακται πρὸς αὐτά, ὡς μὴ παριέναι ἐς τὸ εἴσω μηδὲ παραδέχεσθαι μήτε ἥλιον μήτε κρύος ἐπὶ λύμῃ τοῦ σώματος. πρός τε τὸ ἐνδιδὸν ἐν τοῖς πόνοις πολὺ τὸ θερμὸν τὸ ἔνδοθεν ἐπιρρέον, ἅτε ἐκ πολλοῦ προπαρεσκευασμένον καὶ ἐς τὴν ἀναγκαίαν χρείαν ἀποκείμενον, ἀναπληροῖ εὐθὺς ἐπάρδον τῇ ἀκμῇ καὶ ἀκαμάτους ἐπὶ πλεῖστον παρέχεται· τὸ γὰρ προπονῆσαι πολλὰ καὶ προκαμεῖν οὐκ ἀνάλωσιν τῆς ἰσχύος, ἀλλ' ἐπίδοσιν ἐργάζεται, καὶ ἀναρριπιζομένη πλείων γίγνεται.

καὶ μὴν καὶ δρομικοὺς εἶναι ἀσκοῦμεν αὐτούς, ἐς μῆκός τε διαρκεῖν ἐθίζοντες καὶ ἐς τὸ ἐν βραχεῖ ὠκύτατον ἐπικουφίζοντες· καὶ ὁ δρόμος οὐ πρὸς τὸ στερρὸν καὶ ἀντίτυπον, ἀλλὰ ἐν ψάμμῳ βαθείᾳ, ἔνθα οὔτε βεβαίως ἀπερεῖσαι τὴν βάσιν οὔτε ἐπιστηρίξαι ῥᾴδιον, ὑποσυρομένου πρὸς τὸ ὑπεῖκον τοῦ ποδός. ἀλλὰ καὶ ὑπεράλλεσθαι τάφρον εἰ δέοι, ἢ εἴ τι ἄλλο ἐμπόδιον, καὶ πρὸς τοῦτο ἀσκοῦνται ἡμῖν, ἔτι καὶ μολυβδίδας χειροπληθεῖς ἐν ταῖν χεροῖν ἔχοντες. εἶτα περὶ ἀκοντίου βολῆς ἐς μῆκος ἁμιλλῶνται. εἶδες δὲ καὶ ἄλλο τι ἐν τῷ γυμνασίῳ χαλκοῦν περιφερές, ἀσπίδι μικρᾷ ἐοικός, ὄχανον οὐκ ἐχούσῃ οὐδὲ τελαμῶνας, καὶ ἐπειράθης γε αὐτοῦ κειμένου ἐν τῷ μέσῳ καὶ ἐδόκει σοι βαρὺ καὶ δύσληπτον (27)

γραφέας τοσούτους ἀνέφυσεν ὑπὸ μιᾷ τῇ ὁρμῇ. Sonst *μιᾷ ὁρμῇ* und *ἀπὸ μιᾶς ὁρμῆς*. — *χρόνῳ ὕστερον*, eine geraume Zeit nachher. Ebenso Gall. 17. Ver. hist. 1, 22. — *οὐδὲ .. οὐδέ*, nicht einmal .. noch auch. — *ἐλέγξειεν*, *convincere*, zu Schanden machen. — *τὰ ἔνδοθεν*. Vgl. oben c. 12. — *πρὸς αὐτά*, näml. *νόσον καὶ κάματον*. — *πρὸς τὸ ἐνδιδόν*, gegen den nachlassenden, erschlaffenden Theil. — *τὸ θερμόν*, d.i. die belebende Wärme. — *ἐκ πολλοῦ προπαρ.*, durch die gymnastischen Uebungen. — *ἐπάρδον τῇ ἀκμῇ*, d. i. mit frischer Kraft benetzen od. tränken. Amor. 45: *τοιαύταις ἀρεταῖς ἁπαλὴν ἔτι τὴν ψυχὴν ἐπάρδων*. — *ἀκαμάτους*, der attischen Prosa fremdes Wort.

27. *καὶ μὴν καί*, s. oben zu VIII, 35. — *ἐς μῆκος διαρκεῖν*, *in longitudinem sufficere*. — *ἐν βραχεῖ*, räumlich. — *ἐπικουφίζοντες*, *expedire*. — *πρὸς τὸ στερρόν*, wir: auf hartem Boden; *πρός*, weil der Fuss auf oder gegen den Boden tritt. — *πρὸς τὸ ὑπεῖκον*. *πρός*, gegen .. hin, in der Richtung nach. — *μολυβδίδας χειροπληθεῖς*, händefüllende (kugelförmige) Bleimassen, Sprungkolben, gewöhnlich *ἁλτῆρες* genannt. — *ταῖν χεροῖν*, s. zu I, 6. — *περὶ ἀκοντ. βολ. ἐς μῆκος*, *de proiiciendis in longum iaculis*. — *ἄλλο τι κτέ.*, den Diskos, welcher flachrunde linsen-

ὑπὸ λειότητος. ἐκεῖνο τοίνυν ἄνω τε ἀναρριπτοῦσιν εἰς τὸν ἀέρα καὶ ἐς τὸ πόρρω φιλοτιμούμενοι ὅστις ἐπὶ μήκιστον ἐξέλθοι καὶ τοὺς ἄλλους ὑπερβάλοιτο· καὶ ὁ πόνος οὗτος ὤμους τε αὐτῶν κρατύνει καὶ τόνον τοῖς ἄκροις ἐντίθησιν.

28 ὁ πηλὸς δὲ καὶ ἡ κόνις, ἅπερ σοι γελοιότερα ἐξ ἀρχῆς ἔδοξεν, ἄκουσον, ὦ θαυμάσιε, ὅτου ἕνεκα ὑποβέβληται. πρῶτον μέν, ὡς μὴ ἐπὶ τὸ κραταιὸν ἡ πτῶσις αὐτοῖς γίγνοιτο, ἀλλ' ἐπὶ τὸ μαλακὸν ἀσφαλῶς πίπτοιεν· ἔπειτα καὶ τὸν ὄλισθον ἀνάγκη πλείω γίγνεσθαι, ἱδρούντων ἐν τῷ πηλῷ, ὃ σὺ ταῖς ἐγχέλεσιν εἴκαζες, οὐκ ἀχρεῖον οὐδὲ γελοῖον ὄν, ἀλλὰ καὶ τοῦτο ἐς ἰσχὺν καὶ τόνον οὐκ ὀλίγα συντελεῖ, ὁπόταν οὕτως ἐχόντων ἀλλήλων ἀναγκάζωνται ἐγκρατῶς ἀντιλαμβάνεσθαι καὶ συνέχειν διολισθάνοντας· αἴρεσθαί τε ἐν πηλῷ ἱδρωκότα μετ' ἐλαίου, ἐκπεσεῖν καὶ διαρρυῆναι τῶν χειρῶν σπουδάζοντα, μὴ μικρὸν εἶναι νόμιζε. καὶ ταῦτα πάντα, ὥσπερ ἔφην ἔμπροσθεν, καὶ ἐς τοὺς πολέμους χρήσιμα, εἰ δέοι φίλον τρωθέντα ῥᾳδίως ἀράμενον ὑπεξενεγκεῖν ἢ καὶ πολέμιον συναρπάσαντα ἥκειν μετέωρον κομίζοντα. καὶ διὰ τοῦτο ἐς ὑπερβολὴν ἀσκοῦμεν τὰ χαλεπώτερα προτιθέντες, ὡς τὰ

29 μικρότερα μακρῷ εὐκολώτερον φέροιεν. τὴν μέντοι κόνιν ἐπὶ τὸ ἐναντίον χρησίμην οἰόμεθα εἶναι, ὡς μὴ διολισθάνοιεν συμπλεκόμενοι· ἐπειδὰν γὰρ ἐν τῷ πηλῷ ἀσκηθῶσι συνέχειν τὸ διαδιδρᾶσκον ὑπὸ γλισχρότητος, ἐθίζονται καὶ ἐκφεύγειν αὐτοὶ ληφθέντες ἐκ τῶν χειρῶν, καὶ ταῦτα ἐν ἀφύκτῳ ἐχό-

förmige Gestalt hatte. — ἀναρριπτοῦσιν. Diese Form findet sich bei Lucian mehrmals, ἀναρριπτεῖν Hermotim. 28. ἀνερρίπτουν De saltat. 83. συναναρριπτοῦντες Zeux. 10. ἀπορριπτοῦντες Tim. 12. ἀπερρίπτουν Ver. hist. 1, 41. ῥιπτεῖν De merc. cond. 5. Apol. 10. Conviv. 44. ῥιπτεῖ Asin. 44. ῥιπτουμένους Conviv. 45 u. s. Auch bei den Attikern findet sich dieselbe, wie bei Thukyd. 4, 95. 5, 103. u. a. — ἐς τὸ πόρρω, *in longinquum*. — τοῖς ἄκροις, den Fussspitzen, Zehen.

28. γελοιότερα, Kr. Gr. §. 49, 6. — κραταιόν, hart, Gegensatz von μαλακός, poetisches, und dann in später Prosa vorkommendes Wort. — ἔπειτα, s. zu VII, 11. — ἱδρούντων ἐν τῷ πηλῷ, indem sie (die Kämpfenden) im Schlamme, in dem sie sich wälzen, schwitzen. — ὅ allgemein, in Bezug auf das Vorhergehende τὸν ὄλισθον κτέ. Vgl. oben c. 1: ὥσπερ αἱ ἐγχέλυες ἐκ τῶν χειρῶν διολισθαίνοντες. — ἐν πηλῷ ἱδρωκότα μετ' ἐλαίου, d. i. *eum, qui praeter oleum in luto sudore permaduit*. Das Perfect. ἵδρωκα findet sich auch De merc. cond. 26. ἵδρωται Hermotim. 2. — διαρρυῆναι τῶν χειρῶν, den Händen entschlüpfen. — πολέμιον συναρπ. ἥκ. μετ. κομ., d. i. *hostem comprehensum sublimem rapere*. — ἐς ὑπερβολήν, ausserordentlich.

29. τὸ διαδιδρᾶσκον, das, was entwischt, = τὸν διαδιδράσκοντα, nur allgemeiner. — ἐν ἀφύκτῳ ἔχεσθαι, *captum teneri*

μενοι. καὶ μὴν καὶ τὸν ἱδρῶτα συνέχειν δοκεῖ ἡ κόνις ἀθρόον ἐκχεόμενον ἐπιπαττομένη καὶ ἐπὶ πολὺ διαρκεῖν ποιεῖ τὴν δύναμιν καὶ κώλυμα γίγνεται μὴ βλάπτεσθαι ὑπὸ τῶν ἀνέμων ἀραιοῖς τότε καὶ ἀνεῳγόσι τοῖς σώμασιν ἐμπιπτόντων. ἄλλως τε καὶ τὸν ῥύπον ἀποσμᾷ καὶ στιλπνότερον ποιεῖ τὸν ἄνδρα. καὶ ἔγωγε ἡδέως ἂν παραστησάμενος πλησίον τῶν τε λευκῶν τινα ἐκείνων καὶ ὑπὸ σκιᾷ δεδιῃτημένων καὶ ὃν ἂν ἕλῃ τῶν ἐν τῷ Λυκείῳ γυμναζομένων, ἀποπλύνας τὴν κόνιν καὶ τὸν πηλόν, ἐροίμην ἄν σε, ποτέρῳ ἂν ὅμοιος εὔξαιο γενέσθαι· οἶδα γὰρ ὡς αὐτίκα ἕλοιο ἂν ἐκ πρώτης προσόψεως, εἰ καὶ μὴ ἐπὶ τῶν ἔργων πειραθείης ἑκατέρου, συνεστηκὼς καὶ συγκεκροτημένος εἶναι μᾶλλον ἢ θρύπτεσθαι καὶ διαρρεῖν καὶ λευκὸς εἶναι ἀπορίᾳ καὶ φυγῇ εἰς τὰ εἴσω τοῦ αἵματος.

Ταῦτ' ἔστιν, ὦ Ἀνάχαρσι, ἃ τοὺς νέους ἡμεῖς ἀσκοῦμεν, 30 *οἰόμενοι φύλακας ἡμῖν τῆς πόλεως ἀγαθοὺς γενέσθαι καὶ ἐν ἐλευθερίᾳ βιώσεσθαι δι' αὐτούς, κρατοῦντες μὲν τῶν δυσμενῶν, εἰ ἐπίοιεν, φοβεροὶ δὲ τοῖς περιοίκοις ὄντες, ὡς ὑποπτήσσειν τε καὶ ὑποτελεῖν ἡμῖν τοὺς πλείστους αὐτῶν. ἐν εἰρήνῃ τε αὖ πολὺ ἀμείνοσιν αὐτοῖς χρώμεθα περὶ μηδὲν τῶν αἰσχρῶν φιλοτιμουμένοις μηδ' ὑπ' ἀργίας ἐς ὕβριν τρεπομένοις, ἀλλὰ περὶ τὰ τοιαῦτα διατρίβουσι καὶ ἀσχόλοις οὖσιν ἐν αὐτοῖς. καὶ ὅπερ ἔφην τὸ κοινὸν ἀγαθὸν καὶ τὴν ἄκραν πόλεως εὐδαιμονίαν, τοῦτ' ἔστιν, ὁπότε ἔς τε εἰρήνην καὶ ἐς πόλεμον τὰ ἄριστα παρεσκευασμένη φαίνοιτο ἡ νεότης, περὶ τὰ κάλλιστα ἡμῖν σπουδάζοντες.*

ita, ut evadere nequeas oder *aegre possis.* Dieselbe Redensart Dial. deor. 17, 1. Ebenso *ἐν ἀπόρῳ ἔχεσθαι* Thukyd. 1, 25. Luc. Ver. hist. 2, 42. *ἐν στενῷ ἔχεσθαι* Iup. trag. 30. *ἐν ἀπορίῃ ἔχεσθαι* Herodot. 9, 98. — *ἀθρόον ἐκχεόμενον*, wenn er stark hervorbricht. — *ἐπὶ πολύ*, s. zu VIII, 47. — *ἀραιοῖς*, deren Haut locker und erweicht ist. — *ἀνεῳγόσι*, deren Poren sich geöffnet haben. Ueber *ἀνέῳγα* s. zu V, 4, 1., und über die Wortstellung Kr. Gr. §. 50, 11, 1. — *τότε*, worauf zu beziehen? — *ἄλλως τε καί*, und zudem oder ausserdem auch, s. zu V, 14, 5. — *ἀποσμᾷ*, s. zu IX, 14. — *ἡδέως ἂν* .. *ἐροίμην ἄν σε. ἄν* ist der Entfernung wegen wiederholt wie oft. Kr. Gr. §. 69, 7, 3. Vgl. unten 33. — *τῶν τε λευκῶν.* Welches *καί* entspricht diesem *τὲ*? — *συνεστηκώς*, dicht, fest geworden. — *συγκεκροτημένος*, zusammengehämmert, mit Bezug auf die *πληγαί.* — *διαρρεῖν*, wie das latein. *diffluere.*

30. *γενέσθαι.* Man sollte *γενήσεσθαι* erwarten; s. oben zu c. 24. — *βιώσεσθαι*, Wechsel des Subiects. — *ὑποτελεῖν*, Tribut zahlen, sonst bei Luc. mit dem Accus. *δασμόν, φόρον.* So absolut schon bei Thukyd. 3, 46. — *ἀμείνοσιν*, näml. als wenn sie nicht so geübt wären. — *τὰ ἄριστα*, s. oben zu c. 14. — *σπουδάζοντες*, s. oben zu 17.

31 ΑΝΑΧ. Οὐκοῦν, ὦ Σόλων, ἤν ποτε ὑμῖν ἐπίωσιν οἱ πολέμιοι, χρισάμενοι τῷ ἐλαίῳ καὶ κονισάμενοι πρόϊτε καὶ αὐτοί, πὺξ τὰς χεῖρας ἐπ' αὐτοὺς προβεβλημένοι, κἀκεῖνοι δηλαδὴ ὑποπτήσσουσιν ὑμᾶς καὶ φεύγουσι, δεδιότες μὴ σφίσι κεχηνόσι πάσητε τὴν ψάμμον ἐς τὸ στόμα, ἢ περιπηδήσαντες, ὡς κατὰ νώτου γένησθε, περιπλέξητε αὐτοῖς τὰ σκέλη περὶ τὴν γαστέρα, καὶ διάγχητε ὑπὸ τὸ κράνος ὑποβαλόντες τὸν πῆχυν. καὶ νὴ Δί' οἱ μὲν τοξεύσουσι δῆλον ὅτι καὶ ἀκοντιοῦσιν, ὑμῶν δὲ ὥσπερ ἀνδριάντων οὐ καθίξεται τὰ βέλη, κεχρωσμένων πρὸς τὸν ἥλιον καὶ πολὺ τὸ αἷμα πεπορισμένων. οὐ γὰρ καλάμη καὶ ἀθέρες ὑμεῖς ἐστε, ὡς τάχιστα ἐνδιδόναι πρὸς τὰς πληγάς, ἀλλὰ ὀψέ ποτε ἂν καὶ μόλις, κατατεμνόμενοι βαθέσι τοῖς τραύμασιν, αἷμα ὀλίγον ὑποδείξαιτε. τοιαῦτα γὰρ φῄς, εἰ μὴ πάνυ παρήκουσα
32 τοῦ παραδείγματος. ἢ τὰς πανοπλίας ἐκείνας τότε ἀναλήψεσθε τὰς τῶν κωμῳδῶν τε καὶ τραγῳδῶν, καὶ ἢν προτεθῇ ὑμῖν ἔξοδος, ἐκεῖνα τὰ κράνη περιθήσεσθε τὰ κεχηνότα, ὡς φοβερώτεροι εἴητε τοῖς ἐναντίοις μορμολυττόμενοι αὐτούς, καὶ ὑποδήσεσθε τὰ ὑψηλὰ ἐκεῖνα δηλαδή· φεύγουσί τε γάρ, ἢν δέῃ, κοῦφα, καὶ ἢν διώκητε, ἄφυκτα τοῖς πολεμίοις ἔσται, ὑμῶν οὕτω μεγάλα διαβαινόντων ἐπ' αὐτούς. ἀλλ' ὅρα μὴ ταῦτα μὲν ὑμῖν τὰ κομψὰ λῆρος ᾖ καὶ παιδιὰ ἄλλως καὶ διατριβαὶ ἀργοῦσι καὶ ῥᾳθυμεῖν ἐθέλουσι τοῖς νεανίσκοις. εἰ δὲ βούλεσθε πάντως ἐλεύθεροι καὶ εὐδαίμονες εἶναι, ἄλλων ὑμῖν γυμνασίων δεήσει καὶ ἀσκήσεως ἀληθινῆς τῆς ἐν τοῖς ὅπλοις, καὶ ἡ ἅμιλλα οὐ πρὸς ἀλλήλους μετὰ παιδιᾶς, ἀλλὰ

31. *τῷ ἐλαίῳ.* Warum ist der Artikel hinzugefügt? — *καὶ αὐτοί*, wie jene sich übenden Jünglinge. — *τὰς χεῖρ. προβεβλημένοι*, mit Anspielung auf *προβεβλῆσθαι τὰ ὅπλα* u. s. w. Ueber das Medium Kr. Gr. §. 52, 10, 1. — *δηλαδή*, ironisch, wie oft. — *περιπηδήσαντες*, nur hier vorkommendes Wort, ebenso *διάγχητε*, wenn nicht für letzteres mit Cobet *ἄγχητε* zu schreiben ist. — *πρὸς τὸν ἥλιον*, an der Sonne. Vgl. oben 25: *ἐς τὸ μελάντερον ὑπὸ τοῦ ἡλίου κεχρωσμένοι.* — *πεπορισμένων*, euch verschafft oder erworben habet (durch die Uebungen). — *ἐνδιδόναι πρὸς τὰς πληγάς*, *plagis cedere.* Toxar. 11. Calumn. non tem. cred. 20. — *εἰ μὴ πάνυ παρ. τοῦ παραδ.*, d. i. *nisi plane aberravi a sensu similitudinis.*

32. *τὰς πανοπλίας*, zu beziehen auf das oben c. 23 beschriebene Kostüm der Schauspieler. Auch das Schauspiel war nach Solon ein Bildungsmittel der Jugend. — *φεύγουσι*, näml. *ὑμῖν*, entsprechend dem folgenden *ἢν διώκητε.* — *ἢν δέῃ*, Kr. Gr. §. 55, 4, 11. — *κοῦφα*, näml. *τὰ ὑψηλὰ ἐκεῖνα.* — *οὕτω μεγάλα διαβαινόντων*, so weit ausschreiten; s. zu V, 28, 1. — *παιδιὰ ἄλλως*, *nihil nisi*

πρὸς τοὺς δυσμενεῖς ἔσται, μετὰ κινδύνων μελετῶσι τὴν ἀρετήν. ὥστε ἀφέντες τὴν κόνιν καὶ τὸ ἔλαιον διδάσκετε αὐτοὺς τοξεύειν καὶ ἀκοντίζειν, μὴ κοῦφα διδόντες τὰ ἀκόντια καὶ οἷα διαφέρεσθαι πρὸς τὸν ἄνεμον, ἀλλ' ἔστω λόγχη βαρεῖα μετὰ συρισμοῦ ἑλιττομένη καὶ λίθος χειροπληθὴς καὶ σάγαρις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ καὶ θώραξ καὶ κράνος. ὡς δὲ νῦν ἔχετε, θεῶν τινος εὐμενείᾳ σώζεσθαί μοι δοκεῖτε, 33 οἳ μηδέπω ἀπολώλατε ὑπό τινων ὀλίγων ψιλῶν ἐπιπεσόντων. ἰδού γέ τοι, ἢν σπασάμενος τὸ μικρὸν τοῦτο ξιφίδιον τὸ παρὰ τὴν ζώνην μόνος ἐπεισπέσω τοῖς νέοις ὑμῶν ἅπασιν, αὐτοβοεὶ ἂν ἕλοιμι τὸ γυμνάσιον φυγόντων ἐκείνων καὶ οὐδενὸς ἀντιβλέπειν τῷ σιδήρῳ τολμῶντος, ἀλλὰ περὶ τοὺς ἀνδριάντας ἂν περιιστάμενοι καὶ περὶ τοὺς κίονας κατακρυπτόμενοι γέλωτα ἄν μοι παράσχοιεν δακρύοντες οἱ πολλοὶ καὶ τρέμοντες. καὶ τότ' ἂν ἴδοις οὐκέτι ἐρυθριῶντας αὐτοὺς τὰ σώματα, οἷοι νῦν εἰσιν, ἀλλὰ ὠχροὶ ἅπαντες αὐτίκα γένοιντ' ἂν ὑπὸ τοῦ δέους μεταβαφέντες. οὕτως ὑμᾶς ἡ εἰρήνη διατέθεικε βαθεῖα οὖσα, ὡς μὴ ἂν ῥᾳδίως ἀνασχέσθαι λόφον ἕνα κράνους πολεμίου ἰδόντας.

ΣΟΛ. Οὐ ταῦτα ἔφασαν, ὦ Ἀνάχαρσι, Θρᾳκῶν τε ὅσοι 34 μετ' Εὐμόλπου ἐφ' ἡμᾶς ἐστράτευσαν καὶ αἱ γυναῖκες ὑμῶν αἱ μετὰ Ἱππολύτης ἐλάσασαι ἐπὶ τὴν πόλιν οὐδὲ ἄλλοι ὅσοι ἡμῶν ἐν ὅπλοις ἐπειράθησαν. ἡμεῖς γάρ, ὦ μακάριε, οὐκ ἐπείπερ οὕτω γυμνὰ τὰ σώματα ἐκπονοῦμεν τῶν νέων, διὰ

ludus; s. zu III, 6. — *μελετῶσι*. Worauf ist dieser Dativ zu beziehen? — *οἷα διαφέρεσθαι*, *talia quae*; s. oben zu IX, 20. — *διαφέρεσθαι πρὸς τὸν ἄνεμον*, d.i. vom Winde hier und dorthin geführt werden. — *συρισμοῦ*. Die gebräuchliche Form ist *συριγμός*.

33. *ὑπό τινων ὀλίγων*, Kr. Gr. §. 51, 16, 4. — *ψιλῶν*, leichtbewaffnet. — *ἰδού γέ τοι*, siehe wenigstens; s. zu II, 11. — *τὸ μικρὸν τοῦτο ξιφ.*, s. zu II, 6. — *αὐτοβοεί*, beim ersten Kriegsgeschrei, beim ersten Angriff. Bei den Attikern, ausser Thukydides, findet sich das Wort nicht. — *γέλωτα ἄν μοι*, s. vorher zu c. 29. — *ὑπὸ τοῦ δέους*, s. zu II, 40.

34. *μετ' Εὐμόλπου*. Eumolpos, König der Thraker, soll von den Eleusiniern gegen den König der Athenäer, Erechtheus, zu Hilfe gerufen, aber von diesem besiegt und sogar mit seinen beiden Söhnen getödtet worden sein. — *αἱ γυναῖκες κτἑ.* Das Weibervolk der Amazonen fiel unter Anführung ihrer Königin Hippolyte in Attika ein, um den Theseus, der an dem Zuge des Herakles gegen sie Theil genommen und die Schwester der Hippolyte, die Antiope, entführt hatte, zu züchtigen. Allein die Amazonen sollen bis auf wenige vernichtet worden und Theseus im Besitze seiner Beute geblieben sein. — *ὦ μακάριε*, mein Guter, Trefflicher, ironisch. — *καθ'*

τοῦτο καὶ ἄνοπλα ἐξάγομεν ἐπὶ τοὺς κινδύνους, ἀλλ' ἐπειδὰν καθ' αὑτοὺς ἄριστοι γένωνται, ἀσκοῦνται τὸ μετὰ τοῦτο ξὺν τοῖς ὅπλοις, καὶ πολὺ ἄμεινον χρήσαιντ' ἂν αὐτοῖς οὕτω διακείμενοι.

ΑΝΑΧ. Καὶ ποῦ τοῦτο ὑμῖν ἐστι τὸ γυμνάσιον τὸ ἐν τοῖς ὅπλοις; οὐ γὰρ εἶδον ἔγωγε ἐν τῇ πόλει τοιοῦτον οὐδὲν ἅπασαν αὐτὴν ἐν κύκλῳ περιελθών.

ΣΟΛ. Ἀλλὰ ἴδοις ἄν, ὦ Ἀνάχαρσι, ἐπὶ πλέον ἡμῖν συνδιατρίψας, καὶ ὅπλα ἑκάστῳ μάλα πολλά, οἷς χρώμεθα ὁπόταν ἀναγκαῖον ᾖ, καὶ λόφους καὶ φάλαρα καὶ ἵππους, καὶ ἱππέας σχεδὸν τὸ τέταρτον τῶν πολιτῶν. τὸ μέντοι ὁπλοφορεῖν ἀεὶ καὶ ἀκινάκην παρεζῶσθαι περιττὸν ἐν εἰρήνῃ οἰόμεθα εἶναι, καὶ πρόστιμόν γ' ἔστιν, ὅστις ἐν ἄστει σιδηροφοροίη μηδὲν δέον ἢ ὅπλα ἐξενέγκοι εἰς τὸ δημόσιον. ὑμεῖς δὲ συγγνωστοὶ ἐν ὅπλοις ἀεὶ βιοῦντες· τό τε γὰρ ἐν ἀφράκτῳ οἰκεῖν ῥᾴδιον ἐς ἐπιβουλήν, καὶ οἱ πολέμιοι μάλα πολλοί, καὶ ἄδηλον ὁπότε τις ἐπιστὰς κοιμώμενον κατασπάσας ἀπὸ τῆς ἁμάξης φονεύσει· ἥ τε πρὸς ἀλλήλους ἀπιστία, αὐθαιρέτως καὶ μὴ ἐν νόμῳ ξυμπολιτευομένων, ἀναγκαῖον ἀεὶ τὸν σίδηρον ποιεῖ, ὡς πλησίον εἶναι ἀμυνοῦντα, εἴ τις βιάζοιτο.

35 ΑΝΑΧ. Εἶτα, ὦ Σόλων, σιδηροφορεῖν μὲν οὐδενὸς

αὐτούς, an und für sich. Tox. 48 u. s. — καὶ ποῦ, s. oben zu VIII, 18. — ἴδοις ἄν, Kr. Gr. §. 54, 3, 7. — τὸ τέταρτον, das Viertel, der vierte Theil. Allein die Ritter machten nicht eigentlich den vierten Theil der gesammten Bürgerschaft aus, wie es hier heisst, sondern eine von den vier Schatzungsclassen (τέλη, τιμήματα, Pentakosiomedimnen, Ritter, Zeugiten, Theten). — ὅστις, = εἴ τις, Kr. Gr. §. 51, 13, 11. — ἐν ἄστει σιδηρ. In den gebildeten hellenischen Staaten vertraute der Bürger dem Schutze der Gesetze und führte im friedlichen, heimischen Verkehr keine Waffen bei sich. — μηδὲν δέον, s. zu V, 27, 1. Warum steht μηδέν und nicht οὐδέν? — εἰς τὸ δημόσιον, *in publicum*. — συγγνωστοὶ βιοῦντες. Ueber diese nur bei Späteren vorkommende Construction s. zu V, 12, 5. — ἐν ἀφράκτῳ οἰκεῖν. Zu beziehen auf die nomadische Lebensweise der Skythen; vgl. oben c. 18 z. A. — ῥᾴδιον ἐς ἐπιβουλήν, wie im Latein. *facile ad insidias* oder *insidiandum*. Eine ähnliche Stelle ist nicht zur Hand. — ἄδηλον ὁπότε, d. i. ungewiss ob nicht einmal. Thukyd. 1, 2, 1: ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν καὶ ἀτειχίστων ἅμα ὄντων ἄλλος ἀφαιρήσεται. 8, 96, 2: ἄδηλον ὂν ὁπότε σφίσιν αὐτοῖς ξυρράξουσιν. — ἐπιστὰς .. κατασπάσας, Kr. Gr. §. 56, 15, 2. — ἐν νόμῳ, *secundum legem*, unter Einfluss oder Anwendung. Plat. Criti. p. 121 B: ἐν νόμοις βασιλεύων. u. s. — ξυμπολιτευομένων, ohne ὑμῶν, weil das Particip. allgemeiner zu verstehen ist. — ἀμυνοῦντα, um abzuwehren.

ἀναγκαίου ἕνεκα περιττὸν ὑμῖν δοκεῖ καὶ τῶν ὅπλων φείδεσθε, ὡς μὴ διὰ χειρὸς ὄντα φθείροιτο, ἀλλὰ φυλάττετε ἀποκείμενα ὡς χρησόμενοι τότε, τῆς χρείας ἐπιστάσης· τὰ δὲ σώματα τῶν νέων οὐδενὸς δεινοῦ ἐπείγοντος καταπονεῖτε παίοντες καὶ ὑπὸ τῶν ἱδρώτων καταναλίσκοντες, οὐ ταμιευόμενοι πρὸς τὸ ἀναγκαῖον τὰς ἀλκὰς αὐτῶν, ἀλλ' εἰκῇ ἐν τῷ πηλῷ καὶ τῇ κόνει ἐκχέοντες;

ΣΟΛ. Ἔοικας, ὦ Ἀνάχαρσι, τοιόνδε τι δυνάμεως πέρι ἐννοεῖν, ὡς οἴνῳ ἢ ὕδατι ἢ ἄλλῳ τῶν ὑγρῶν ὁμοίαν αὐτὴν οὖσαν· δέδιας γοῦν, μὴ ὥσπερ ἐξ ἀγγείου κεραμεοῦ λάθῃ διαρρυεῖσα ἐν τοῖς πόνοις, κᾆτα ἡμῖν κενὸν καὶ ξηρὸν οἴχηται τὸ σῶμα καταλιποῦσα ὑπὸ μηδενὸς ἔνδοθεν ἀναπληρούμενον. τὸ δὲ οὐχ οὕτως ἔχει σοι, ἀλλ' ὅσῳ τις ἂν αὐτὴν ἐξαντλῇ τοῖς πόνοις, τοσῷδε μᾶλλον ἐπιρρεῖ κατὰ τὸν περὶ τῆς Ὕδρας μῦθον, εἴ τινα ἤκουσας, ὡς ἀντὶ μιᾶς κεφαλῆς τμηθείσης δύ' ἀεὶ ἄλλαι ἀνεφύοντο. ἢν δὲ ἀγύμναστος ἐξ ἀρχῆς καὶ ἄτονος ᾖ μηδὲ διαρκῆ τὴν ὕλην ἔχῃ ὑποβεβλημένην, τότε ὑπὸ τῶν καμάτων βλάπτοιτο ἂν καὶ καταμαραίνοιτο, οἷόν τι ἐπὶ πυρὸς καὶ λύχνου γίγνεται· ὑπὸ γὰρ τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακαύσειας ἂν καὶ μεῖζον ἐν βραχεῖ ποιήσειας παραθήγων τῷ πνεύματι, καὶ τὸ τοῦ λύχνου φῶς ἀποσβέσειας οὐκ ἔχον ἀποχρῶσαν τῆς ὕλης τὴν χορηγίαν, ὡς διαρκῆ εἶναι πρὸς τὸ ἀντιπνέον· οὐ γὰρ ἀπ' ἰσχυρᾶς, οἶμαι, τῆς ῥίζης ἀνεφύετο.

ΑΝΑΧ. Ταυτὶ μέν, ὦ Σόλων, οὐ πάνυ συνίημι· λεπτότερα γὰρ ἢ κατ' ἐμὲ εἴρηκας, ἀκριβοῦς τινος φροντίδος καὶ 36

35. *εἶτα*, s. zu V, 16, 1. — *διὰ χειρὸς ὄντα*, *dum in manibus sint*, wol nur hier vorkommende Redensart, gebildet nach *διὰ χειρὸς ἔχειν*. — *ἀλλά*, auf welche Negation zu beziehen? — *τῆς χρείας ἐπιστάσης*, Erklärung von *τότε*. — *ὑπὸ τῶν ἱδρώτων*, s. zu IV, 7. Dial. deor. 15, 2: *τὸν Ὑάκινθον ὑπὸ τοῦ δίσκου ἀπώλεσα*. — *τοιόνδε τι*, s. zu VIII, 9. — *ὡς . . ὁμοίαν αὐτὴν (τὴν δύναμιν) οὖσαν*, Accusativ. absolut., der bei *ὡς* und *ὥσπερ* neben dem Genetiv. gebräuchlich ist, Kr. Gr. §. 56, 9, 10. Iup. trag. 30. Hermotim. 28. 60. — *τὸ δέ*, dieses aber; s. zu V, 6, 1. — *ὅσῳ*, wir: je mehr. Phalar. 1, 8: *ὅσῳ γὰρ ἂν ἐκκόπτωμεν, τοσῷδε πλείους ἡμῖν ἀναφύονται τοῦ κολάζειν ἀφορμαί*. Dipsad. 4: *ὅσῳπερ ἂν πίνωσι, τοσούτῳ μᾶλλον ὀρέγονται τοῦ ποτοῦ*. S. zu VII, 18. — *εἴ τινα*, ebenso im Latein. *si quam*, d. i. wenn du irgend etwas davon gehört hast. — *τὴν ὕλην*, die Uebungen sind der Stoff, an dem die Kraft sich stärkt. Seyffert. — *ὑπὸ γάρ*, *ope*, wie oft. — *οὐκ ἔχον . . χορηγίαν*, d. i. wenn es nicht hinlänglichen Stoff zu verwenden hat. — *ῥίζης*, d. i. der Docht. Uebrigens vgl. Nigrin. 36: *οὐ γὰρ ἀπ' ἰσχυρᾶς ἐντολῆς ἀπεστέλλετο*.

36. *λεπτότερα*, *subtiliora*. — *ἢ κατ' ἐμέ*, d. i. *quam pro meo captu*, Kr. Gr. §. 49, 4. Häufig bei Luc.

διανοίας ὀξὺ δεδορκυίας δεόμενα. ἐκεῖνο δέ μοι πάντως εἰπέ, τίνος ἕνεκα οὐχὶ καὶ ἐν τοῖς ἀγῶσι τοῖς Ὀλυμπίασι καὶ Ἰσθμοῖ καὶ Πυθοῖ καὶ τοῖς ἄλλοις, ὁπότε πολλοί, ὥς φῄς, συνίασιν ὀψόμενοι τοὺς νέους ἀγωνιζομένους, οὐδέποτε ἐν ὅπλοις ποιεῖσθε τὴν ἅμιλλαν, ἀλλὰ γυμνοὺς ἐς τὸ μέσον παραγαγόντες λακτιζομένους καὶ παιομένους ἐπιδείκνυτε καὶ νικήσασι μῆλα καὶ κότινον δίδοτε; ἄξιον γὰρ εἰδέναι τοῦτό γε, οὗτινος ἕνεκα οὕτω ποιεῖτε.

ΣΟΛ. Ἡγούμεθα γάρ, ὦ Ἀνάχαρσι, τὴν ἐς τὰ γυμνάσια προθυμίαν οὕτως ἂν πλείω ἐγγενέσθαι αὐτοῖς, εἰ τοὺς ἀριστεύοντας ἐν τούτοις ἴδοιεν τιμωμένους καὶ ἀνακηρυττομένους ἐν μέσοις τοῖς Ἕλλησι. καὶ διὰ τοῦτο ὡς ἐς τοσούτους ἀποδυσόμενοι εὐεξίας τε ἐπιμελοῦνται, ὡς μὴ αἰσχύνοιντο γυμνωθέντες, καὶ ἀξιονικότατον ἕκαστος αὑτὸν ἀπεργάζεται. καὶ τὰ ἆθλα, ὥσπερ ἔμπροσθεν εἶπον, οὐ μικρά, ὁ ἔπαινος ὁ παρὰ τῶν θεατῶν καὶ τὸ ἐπισημότατον γενέσθαι καὶ δείκνυσθαι τῷ δακτύλῳ ἄριστον εἶναι τῶν καθ' αὑτὸν δοκοῦντα. τοιγάρτοι πολλοὶ τῶν θεατῶν, οἷς καθ' ἡλικίαν ἔτι ἡ ἄσκησις, ἀπίασιν οὐ μετρίως ἐκ τῶν τοιούτων ἀρετῆς καὶ πόνων ἐρασθέντες· ὡς εἴ γέ τις, ὦ Ἀνάχαρσι, τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν γένοιτο, ἢ τίς ἄν τι λαμπρὸν ἐργάσασθαι ἐπιθυμήσειε; νῦν δὲ καὶ ἀπὸ τούτων εἰκάζειν παρέχοιεν ἄν σοι, ὁποῖοι ἐν πολέμοις ὑπὲρ πατρίδος καὶ παίδων καὶ γυναικῶν καὶ ἱερῶν γένοιντ' ἂν ὅπλα ἔχοντες οἱ κοτίνου πέρι καὶ μήλων γυμνοὶ
37 *τοσαύτην προθυμίαν ἐς τὸ νικᾶν εἰσφερόμενοι. καίτοι τί ἂν*

— *ὀξὺ δεδορκυίας*, s. zu IV, 21. — *ἄξιον γάρ*, *operae enim pretium est*. — *ἡγούμεθα γάρ*. Wie ist *γάρ* zu erklären? — *διὰ τοῦτο* weist auf das Vorhergehende, besonders auf *ἐν μέσοις τοῖς Ἕλλησι* zurück, und erhält noch den erklärenden Zusatz *ὡς ἐς τοσ. ἀποδυσόμενοι*. — *ἐς τοσούτους*, d. i. vor so viele hintretend, vor den Augen so vieler. Thukyd. 1, 6, 3: *ἐγυμνώθησάν τε πρῶτοι καὶ ἐς τὸ φανερὸν ἀποδύντες λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο*. Vgl. Kr. Gr. §. 68, 21, 6. — *ἔμπροσθεν*, s. oben c. 10. — — *δείκνυσθαι τῷ δακτύλῳ*, s. zu I, 11. — *τῶν καθ' αὑτόν*, *aequalium suorum*. — *τοιγάρτοι*, darum denn. — *καθ' ἡλικίαν*, *tempestiva*. — *ἀπίασιν*, s. zu VII, 9 z. E. — *ἐκ τῶν τοιούτων*, in Folge dieser Belohnungen. — *νῦν δέ*, nun aber, *nunc autem, nunc vero*. — *παρέχοιεν ἄν σοι*, Gelegenheit geben, gestatten. Dial. mar. 14, 2: *ἡ Ἀθηνᾶ παρέσχεν αὐτῷ ἰδεῖν τὴν εἰκόνα τῆς Μεδούσης* u. s. Welches Wort ist das Subject? — *προθυμίαν ἐς τὸ νικᾶν*. Vgl. vorher *τὴν ἐς τὰ γυμνάσια προθυμίαν*. — *εἰσφερόμενοι*, s. v. a. an den Tag legen. Ebenso wird im Latein. *afferre* gebraucht. Vgl.

πάθοις, εἰ θεάσαιο καὶ ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνας παρ' ἡμῖν καὶ σπουδὴν ἐπὶ τούτοις οὐ μικράν; ἢ γελάσῃ δῆλον ὅτι, καὶ μάλιστα ἢν μάθῃς, ὡς ὑπὸ νόμῳ αὐτὸ δρῶμεν καὶ προστέτακται πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως; ἀλλ' οὐδὲ τοῦτο γελοῖον· ὑποδύεται γάρ τις ἠρέμα ταῖς ψυχαῖς ὁρμὴ ἐς τοὺς κινδύνους, ὡς μὴ ἀγεννέστεροι καὶ ἀτολμότεροι φαίνοιντο τῶν ἀλεκτρυόνων μηδὲ προαπαγορεύοιεν ὑπὸ τραυμάτων ἢ καμάτων ἢ του ἄλλου δυσχεροῦς. τὸ δὲ δὴ ἐν ὅπλοις πειρᾶσθαι αὐτῶν καὶ ὁρᾶν τιτρωσκομένους ἄπαγε· θηριῶδες γὰρ καὶ δεινῶς σκαιὸν καὶ προσέτι γε ἀλυσιτελὲς ἀποσφάττειν τοὺς ἀρίστους καὶ οἷς ἄν τις ἄμεινον χρήσαιτο κατὰ τῶν δυσμενῶν. ἐπεὶ δὲ φής, ὦ Ἀνάχαρσι, καὶ τὴν ἄλλην Ἑλλάδα ἐπελεύσεσθαι, μέμνησο, ἤν ποτε καὶ ἐς Λακεδαίμονα ἔλθῃς, μὴ καταγελάσαι μηδὲ ἐκείνων μηδὲ οἴεσθαι μάτην πονεῖν αὐτούς, ὁπόταν ἢ σφαίρας πέρι ἐν τῷ θεάτρῳ συμπεσόντες παίωσιν ἀλλήλους ἢ ἐς χωρίον ἐσελθόντες ὕδατι περιγεγραμ- 38

Apol. pro merc. cond. 13: προνοίας, ἣν εἰσφέρονται προσκοποῦντες κτἑ. Iup. conf. 15. Ebenso πᾶσαν εἰσεφέροντο σπουδήν bei Diod. Sic. 1, 83. 84. 14, 108 u. s. u. A.

37. καίτοι, quamquam, s. zu V, 14, 6. — τί ἂν πάθοις, quomodo affectus fueris. — ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνας. Die Kämpfe der Hähne und Wachteln waren nicht nur in Athen, sondern überhaupt in Griechenland ein Vergnügen, das man leidenschaftlich liebte. In ersterer Stadt waren sie selbst ein politisches Institut und wurden nach dem Gesetze seit den Perserkriegen jährlich gehalten. (Becker's Charikles I. S. 149.) Also hier wiederum ein Anachronismus, wie oben c. 19. — ἤ, s. oben zu c. 9. — ὑπὸ νόμῳ, s. oben zu c. 20. — ὑποδύεται, subit, seltener so wie hier mit dem Dativ. — ἀγεννέστεροι κτἑ. Was ist das Subject dazu? — προαπαγορεύοιεν. Die Erklärung des προ ist in den vorhergehenden Worten μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως enthalten. — δὲ δή, s. zu III, 18.

38. ἐπελεύσεσθαι, bereisen, durchwandern. So nicht selten bei Späteren, aber auch schon bei Herodot. — ἐκείνων, τῶν Λακεδαιμονίων. — σφαίρας πέρι. Das Ballspiel stand in Sparta in sehr grossem Ansehn. Welche Art desselben hier zu verstehen sei, ist nicht bestimmt zu sagen. Vielleicht bezieht sich Luc., wie Krause, (Gymnast. 1 S. 305 f.) anzunehmen geneigt ist, auf das Spiel ἐπίσκυρος, welches von einer grösseren Zahl Spielgenossen, die in zwei Reihen einander gegenüber standen, vorgenommen wurde. Man zog dabei, sagt Pollux, in ihrer Mitte eine Linie, σκῦρος genannt. Auf diese Linie ward der Ball gelegt, und zwei andere Linien wurden hinter beiden Reihen der Spielenden gezogen. Wer des Balles zuerst sich bemächtigte, warf ihn über die gegenüberstehende Reihe hinweg, welcher es nun oblag, ihn zu fangen und wieder den Gegnern zuzuwerfen. Dieses wurde so oft wiederholt, bis die eine Partei die andere bis zu der hinter ihr beschriebenen Linie zurückgetrieben hatte. — ἐς χωρίον ἐσελθ. κτἑ. Dieses bezieht sich auf das Kriegsspiel der Epheben

μένον, ἐς φάλαγγας διαστάντες, τὰ πολεμίων ἀλλήλους ἐργάζωνται γυμνοὶ καὶ αὐτοί, ἄχρι ἂν ἐκβάλωσι τοῦ περιγράμματος τὸ ἕτερον σύνταγμα οἱ ἕτεροι, τοὺς κατὰ Λυκοῦργον οἱ καθ' Ἡρακλέα ἢ ἔμπαλιν, συνωθοῦντες ἐς τὸ ὕδωρ· τὸ γὰρ ἀπὸ τούτου εἰρήνη λοιπόν, καὶ οὐδεὶς ἂν ἔτι παίσειε· μάλιστα δὲ ἢν ὁρᾷς μαστιγουμένους αὐτοὺς ἐπὶ τῷ βωμῷ καὶ αἵματι ῥεομένους, πατέρας δὲ καὶ μητέρας παρεστώσας οὐχ ὅπως ἀνιωμένας ἐπὶ τοῖς γιγνομένοις, ἀλλὰ καὶ ἀπειλούσας, εἰ μὴ ἀντέχοιεν πρὸς τὰς πληγάς, καὶ ἱκετευούσας ἐπὶ μήκιστον διαρκέσαι πρὸς τὸν πόνον καὶ ἐγκαρτερῆσαι τοῖς δεινοῖς. πολλοὶ γοῦν καὶ ἐναπέθανον τῷ ἀγῶνι, μὴ ἀξιώσαντες ἀπαγορεῦσαι ζῶντες ἔτι ἐν ὀφθαλμοῖς τῶν οἰκείων μηδὲ εἶξαι τοῖς σώμασιν, ὧν καὶ τοὺς ἀνδριάντας ὄψει τιμωμένους δημοσίᾳ ὑπὸ τῆς Σπάρτης ἀνασταθέντας. ὅταν τοίνυν ὁρᾷς κἀκεῖνα, μήτε μαίνεσθαι ὑπολάβῃς αὐτοὺς μήτε εἴπῃς, ὡς οὐδεμιᾶς ἕνεκα αἰτίας ἀναγκαίας ταλαιπωροῦσι, μήτε τυράννου βιαζομένου μήτε πολεμίων διατιθέντων· εἴποι γὰρ ἂν σοι καὶ ὑπὲρ ἐκείνων Λυκοῦργος ὁ νομοθέτης αὐτῶν πολλὰ τὰ εὔλογα καὶ ἃ συνιδὼν κολάζει αὐτούς, οὐκ ἐχθρὸς ὢν οὐδὲ ὑπὸ μίσους αὐτὸ δρῶν οὐδὲ τὴν νεολαίαν τῆς πόλεως εἰκῇ παραναλίσκων, ἀλλὰ καρτερικωτάτους καὶ παντὸς δεινοῦ κρείττονας ἀξιῶν εἶναι τοὺς σώζειν μέλλοντας τὴν πατρίδα. καίτοι κἂν μὴ ὁ Λυκοῦργος εἴπῃ, ἐννοεῖς, οἶμαι, καὶ αὐτός, ὡς οὐκ ἄν ποτε ληφθεὶς ὁ τοιοῦτος ἐν πολέμῳ ἀπόρρητόν τι ἐξείποι τῆς Σπάρτης αἰκιζομένων τῶν

in dem Garten *πλατανιστάς*, der von einem Wassergraben umgeben ist. (Krause: Gymnast. 2 S. 670.) — *τὰ πολεμίων*, Kr. Gr. §. 47, 5, 10. Ueber die Construction von *ἐργάζεσθαι* §. 46, 12. — *τοὺς κατὰ Λυκοῦργον κτἑ.* Nach dem Lykurgos und Herakles nannten sich die beiden gegenüber stehenden Parteien; Pausan. 3, 14, 8 f. — *τὸ ἀπὸ τούτου . . λοιπόν*, hierauf . . fortan, *post deinde*. — *ἐπὶ τῷ βωμῷ*, der Arthemis Orthia, an deren Altar die Knaben bei den Spartanern zur Gewöhnung an Schmerz gegeisselt wurden. — *παρεστώσας*, im Anschluss an *μητέρας*. Wie sollte es eigentlich heissen? Vgl. Kr. Gr. §. 58, 3, 1. — *οὐχ ὅπως .. ἀλλὰ καί*, *non modo non .. sed etiam*. Toxar. 26: *καὶ οὐχ ὅπως αἰσχύνεται τῷ γάμῳ, ἀλλὰ καὶ σεμνυνομένῳ ἔοικεν.* De Saltat. 79. Epist. Saturn. 20. Eunuch. 6. De dom. 15 u. s. Kr. Gr. §. 67, 14, 3. 69, 46, 1. — *ἀντέχοιεν πρός*, s. zu IV, 16. — *μὴ ἀξιώσαντες*, da sie es nicht für würdig, geziemend erachteten. — *ἀπαγορεῦσαι*, *animum despondere, defatigari*. — *εἶξαι τοῖς σώμασιν*, *cedere corporibus*. — *διατιθέντων*, d. i. in eine solche Lage oder Nothwendigkeit versetzen. Ebenso absolut steht das Verbum bei Plutarch. mor. p. 1025 F. — *Λυκοῦργος*. Dieser lebte, wie bekannt, lange vor Solon. — *ἃ συνιδών*, *quid spectans, quo consilio*. — *νεολαίαν*, dichterisches Wort,

ἐχθρῶν, ἀλλὰ καταγελῶν αὐτῶν μαστιγοῖτο ἄν, ἁμιλλώμενος πρὸς τὸν παίοντα, ὡς πρότερος ἀπαγορεύσειεν.

ΑΝΑΧ. Ὁ Λυκοῦργος δὲ καὶ αὐτός, ὦ Σόλων, ἐμαστιγοῦτο ἐφ' ἡλικίας, ἢ ἐκπρόθεσμος ὢν ἤδη τοῦ ἀγῶνος ἀσφαλῶς τὰ τοιαῦτα ἐνεανιεύσατο; 39

ΣΟΛ. Πρεσβύτης ἤδη ὢν ἔγραψε τοὺς νόμους αὐτοῖς Κρήτηθεν ἀφικόμενος· ἀποδεδημήκει δὲ παρὰ τοὺς Κρῆτας, ὅτι ἤκουεν εὐνομωτάτους εἶναι, Μίνωος τοῦ Διὸς νομοθετήσαντος ἐν αὐτοῖς.

ΑΝΑΧ. Τί οὖν, ὦ Σόλων, οὐχὶ καὶ σὺ ἐμιμήσω Λυκοῦργον καὶ μαστιγοῖς τοὺς νέους; καλὰ γὰρ καὶ ταῦτα καὶ ἄξια ὑμῶν ἐστιν.

ΣΟΛ. Ὅτι ἡμῖν ἱκανά, ὦ Ἀνάχαρσι, ταῦτα τὰ γυμνάσια, οἰκεῖα ὄντα· ζηλοῦν δὲ τὰ ξενικὰ οὐ πάνυ ἀξιοῦμεν.

ΑΝΑΧ. Οὔκ, ἀλλὰ συνίης, οἶμαι, οἷόν τί ἐστι μαστιγοῦσθαι γυμνόν, ἄνω τὰς χεῖρας ἐπαίροντα, μηδενὸς ἕνεκα ὠφελίμου ἢ αὐτῷ ἑκάστῳ ἢ κοινῇ τῇ πόλει. ὡς ἔγωγε ἤν ποτε ἐπιδημήσω τῇ Σπάρτῃ, καθ' ὃν καιρὸν ταῦτα δρῶσι, δοκῶ μοι τάχιστα καταλευσθήσεσθαι δημοσίᾳ πρὸς αὐτῶν, ἐπιγελῶν ἑκάστοις, ὁπόταν ὁρῶ τυπτομένους καθάπερ κλέπτας ἢ λωποδύτας ἤ τι ἄλλο τοιοῦτον ἐργασαμένους. ἀτεχνῶς γὰρ ἐλλεβόρου δεῖσθαί μοι δοκεῖ ἡ πόλις αὐτῶν οὕτω καταγέλαστα ὑφ' αὐτῆς πάσχουσα.

ΣΟΛ. Μὴ ἐρήμην, ὦ γενναῖε, μηδὲ τῶν ἀνδρῶν απόντων μόνος αὐτὸς λέγων οἴου κρατεῖν· ἔσται γάρ τις ὁ καὶ ὑπὲρ ἐκείνων σοι τὰ εἰκότα ἐν Σπάρτῃ ἀντερῶν. πλὴν ἀλλ' ἐπείπερ ἐγὼ τὰ ἡμέτερά σοι διεξελήλυθα, σὺ δὲ οὐ πάνυ 40

das dann Spätere bisweilen gebraucht haben. — πρότερος, näml. ὁ παίων.

39. ἐφ' ἡλικίας, d. i. *quum iuvenis esset.* Ebenso Alciphr. 1, 37, 4. — ἐκπρόθεσμος τοῦ ἀγῶνος, d. i. über das zum Kampfe taugliche Alter hinaus. ἐκπρόθεσμος ist späteres, besonders von Luc. oft gebrauchtes Wort, wofür bei den Att. ὑπερήμερος steht, das in ähnlicher Uebertragung angewendet wird. — ἐνεανιεύσατο, *iuvenili quadam animi ferocia constituit.* — ἤκουε, gehört hatte, wusste. Toxar. 27: ἤκουε ταύτας ὑψηλὰς οὔσας μὴ παρέχεσθαι σκιάν. Calumn. non tem. cred. 2. Vgl. Kr. Gr. §. 53, 1, 2. — τί οὖν οὐχὶ καὶ σὺ ἐμιμήσω, s. zu II, 31. Zu beachten ist hier die Verbindung mit dem Präsens (μαστιγοῖς). — οὔκ, *non ita.* — πρὸς αὐτῶν, s. zu II, 25. — ἀτεχνῶς, ganz und gar, durchaus.

40. ἐρήμην, näml. δίκην. Iup. trag. 25: ἐξ ἐρήμης οὕτω κρατεῖν δόξομεν. S. unser Wörterb. unter ἔρημος 2). — τῶν ἀνδρῶν, d. i. der Spartaner. — μόνος αὐτός, s. zu

ἀρεσκομένῳ αὐτοῖς ἔοικας, οὐκ ἄδικα αἰτήσειν ἔοικα παρὰ σοῦ, ὡς καὶ αὐτὸς ἐν τῷ μέρει διεξέλθῃς πρός με, ὃν τρόπον ὑμεῖς οἱ Σκύθαι διασκεῖτε τοὺς νέους τοὺς παρ' ὑμῖν καὶ οἷστισι γυμνασίοις ἀνατρέφετε καὶ ὅπως ὑμῖν ἄνδρες ἀγαθοὶ γίγνονται.

ΑΝΑΧ. Δικαιότατα μὲν οὖν, ὦ Σόλων, καὶ ἔγωγε διηγήσομαι τὰ Σκυθῶν νόμιμα, οὐ σεμνὰ ἴσως οὐδὲ καθ' ὑμᾶς, οἵ γε οὐδὲ κατὰ κόρρης παταχθῆναι τολμήσαιμεν ἂν μίαν πληγήν· δειλοὶ γάρ ἐσμεν· ἀλλὰ εἰρήσεταί γε ὁποῖα ἂν ᾖ. ἐς αὔριον μέντοι, εἰ δοκεῖ, ὑπερβαλώμεθα τὴν συνουσίαν, ὡς ἅ τε αὐτὸς ἔφης ἔτι μᾶλλον ἐννοήσαιμι καθ' ἡσυχίαν ἅ τε χρὴ εἰπεῖν συναγάγοιμι τῇ μνήμῃ ἐπελθών. τὸ δὲ νῦν ἔχον ἀπίωμεν ἐπὶ τούτοις· ἑσπέρα γὰρ ἤδη.

II, 35. — *ἀρεσκομένῳ ἔοικας*, Kr. Gr. §. 56, 4, 9. — *αἰτήσειν ἔοικα*, s. zu II, 34. — *ἐν τῷ μέρει*, an deinem Theile, deinerseits, s. zu II, 8. — *πρός με*, s. zu II, 13. — *διασκεῖτε*. Der späteren Zeit angehöriges Wort. — *μὲν οὖν*, *immo*, häufig in Antworten. — *καθ' ὑμᾶς*, euch angemessen, für euch passend. — *κατὰ κόρρης*, unattisch für *ἐπὶ κόρρης*, indessen häufig bei Luc. zu finden (Prom. 10. Dial. mort. 20, 2. Necyom. 17. Catapl. 12. Gall. 30. Conviv. 33.), wiewohl er auch *ἐπὶ κόρρης* hat (Iud. voc. 9. Asin. 10). Ebensowenig attisch ist die Form *παταχθῆναι* für *πληγῆναι*, s. oben zu c. 3. Uebrigens beachte die Ironie in diesen Worten. Ueber den Accusat. *μίαν πληγήν* Kr. Gr. §. 46, 5. Aeschyl. Agamemn. 1343: *πέπληγμαι καιρίαν πληγήν*. Aristoph. ran. 636: *οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί*; — *ὑπερβαλώμεθα*, verschieben, wie auch sonst bei Luc. — *ἔφης*, unattisch, aber bei Luc. nicht selten; s. zu V, 7, 1. — *τῇ μνήμῃ ἐπελθών*, *memoria persequutus*. Hermotim. 1: *ἃ εἶπε πρὸς ἡμᾶς, ἀνεπεμπαζόμην ἐπιὼν τῇ μνήμῃ ἕκαστα*. — *τὸ δὲ νῦν ἔχον*, *ut nunc se res habet*, für jetzt, spätere Formel; vgl. Catapl. 13. Iup. conf. 17. Aelian. nat. animal. 12, 32. Plutarch. mor. p. 749 A. — *ἐπὶ τούτοις*, d. ist *τοῖς εἰρημένοις*.

ABWEICHUNGEN
VOM FRÜHEREN TEXTE.

Demonax 1 ist es nach Cobet gewiss, dass für *ἐκφαίνειν* geschrieben werden müsse *ἐκφανεῖν*. ebend. habe ich die Besserung Gesner's *ἐπὶ πόας* für *ἐπίπονος* beibehalten. Die Vermuthung Cobet's *ἐπ' ἠόνος*, welche Dindorf aufgenommen, will mir nicht behagen trotz der Bemerkung: *ἡ ἐπὶ πόας εὐνὴ* mollior est quam ut in tam duro cor-

